ANECDOTA GRÆCA E CODICIBUS REGIIS DESCRIPSIT...

ANEKΔOTA.

PARISIIS ET ARGENTORATI,
APUD F. G. LEVRAULT;

BRUXELLIS,
APUD EUMDEM, IN BIBLIOPOLIO PARISINO.

ΑΝΕΚΔΟΤΑ.

ANECDOTA GRÆCA

E CODICIBUS REGIIS

DESCRIPSIT ANNOTATIONE ILLUSTRAVIT

J. Fr. BOISSONADE.

Συναγάγετε τὰ περισσεύσαντα κλάσματα,
ἵνα μή τι ἀπόληται. — Joann. vi, 12.

VOL. III.

PARISIIS,
EXCUSUM IN REGIO TYPOGRAPHEO
REGIS PERMISSU.

M. DCCC. XXXI.

PRÆLOQUIUM.

Editis, tertio hocce Anecdotorum volumine, Theodori Hyrtaceni encomio Deiparæ et horti Annæ descriptione, jam nihil ejus opusculorum restat edendum in codice saltem regio, quem unicum, si catalogis sit fides, nunc superesse reor. Mariæ encomium summis quidem ac valde hyperbolicis laudibus Dutheilius extulit (vide p. 55), sed quas multum vereor ut judicibus genuino literarum græcarum succo enutritis probare queat.

Proximum alii Mariæ laudatori locum dedi, Joanni scilicet Gabræ, quem, ni fallor, eadem tulit ætas Andronicea, elegantium mater non sterilis ingeniorum. Atque est Gabras elegans quidem, si ipsam dictionis conformationem spectes, sed in sententiis operosior et obscurus.

Qui proximus sequitur, Mazaris, Lucianeo more, utinam stylo etiam, iter descripsit suum *per Ditis domos.* Ibi, quos habuit obvios, primores arripuit, qui sub Manuele Palæologo plurimum gratia valuerant, et alios simul homines nondum mortuos, summos et infimos, acri sale defricuit. Sed fatendum est facetias ejus nunc sæpius frigere, ac dicteria, quibus ad vivum inimicos tunc famosos circumrodebat, jam hebetata languere. Si ampliorem

historiæ eorum temporum privatæ et arcanæ notitiam haberemus, magis placeret nobis Mazaris, quem magis intelligeremus. Ipsi autem spero non parum lucis affusum iri ex Manuelis Palæologi epistolis, quas ad editionem paratas habere se significavit quodam ad Bondelmontium loco Sinnerus vir doctissimus. Novimus quidem immenso nunc operi Sinnerum insudare, cujus ac sociorum laborem Deus fortunet! Sed gravioribus quæ miscentur leviora juvant; et Manueli principi literato doctisque ejus amicis Demetrio, Chrysoloræ, aliis, si horulas impertiverit subcesivas, poterit, animo relaxato, adsuetam fortius præstare vicem, ut mea faciam Phædri verba, quem nunc ipsum in cultissima Bergeri editione legebam.

Iter Mazareum excipiunt Nicephori Gregoræ epistolæ undecim. In regia quidem Bibliotheca plures superesse non existimo; sed aliæ latent, nec numero paucæ, Romæ ac Monachii, quas qui in vulgus emitteret, operæ pretium facturum esse reor.

Pselli, quem post Gregoram legendum propono, poeticum de re grammatica libellum nonnulli ad partes vocaverunt olim eruditi viri, Kœnius in primis ad Gregorium. Paululum vereor ne lectores quidam, fastidioso tristiores supercilio, oblatum oculis oderint, quem ineditum forte quæsiverunt; sed si qui judices sedebunt æquiores, invenient non mala plu-

rima, parte præsertim ea qua rariorum vocum significationes traditæ sunt.

Agmen ducit Psellus grammaticorum ac rhetorum plurimorum. Nomina insunt illustria, Herodiani, Tryphonis; sunt et obscuriora, etiam plane nova, Nicetæ, Polybii Sardiani, Cocondrii, Zonæi.

Grammaticis succedit scriptor doctus et elegans, Nicephorus Chumnus; Chumno medicus de alimentis, atque Hippocrates, non verus, sed personatus ille qui ad Ptolemæum de sanitate tuenda scripsit epistolam. Dioclis ad Antigonum de simili argumento epistolam Fabricius edere dignatus est, in qua quidem, ut in tenui, non satis posuit laboris ac diligentiæ. Ego, qui non sum Fabricius, non id putavi vel in medicastrum mihi licere, et ad duos codices Pseudohippocratis præcepta accurate recensui.

In ultima folia conjeci Pselli, Basilii Megalomytis, latine Nasicam dicas, et Aulicalami ænigmata, quibus Anthologia edita poterit suppleri et illustrari; tum Joannis Comneni versus, quos Anacreonticos nuncupavit, ob metrum scilicet ac non elaboratum pedem, sed nulla quibus inest protervitas, imo pietatis multum, ac juncta pietati eximia in homine recente orationis bonitas; dein Planudæ versus et politicos et elegiacos nonnullos, quorum elegiacorum facilitatem valde sum mira-

tus, quum recentiores illi versificatores, si forte lyram antiquam attrectaverint, durissima plerumque ac scabra contortaque oratione usi sint, et eo rhythmo quem vix ferreæ aures durare queant.

Pro epimetro addidi gnomica nonnulla.

Ceterum notarum ratio eadem est atque in aliis voluminibus; scilicet ut plerumque vel inedita loca, vel ineditæ editorum scriptorum varietates, afferantur, nec neglecta tamen, pro temporis brevissimi ac curtæ eruditionis modulo, auctorum ipsorum circa res ac verba illustratione.

Quartum volumen, quod jam prelo submitti cœptum est, intra præsentem annum absolutum iri spero.

ΑΝΕΚΔΟΤΑ.

ΘΕΟΔΩΡΟΥ ΕΥΤΕΛΟΥΣ ΤΟΥ ΥΡΤΑΚΗΝΟΥ

ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

ΕΙΣ ΤΗΝ ΕΠΙ ΓΗΣ ΠΟΛΙΤΕΙΑΝ

ΤΗΣ ΥΠΕΡΕΥΛΟΓΗΜΕΝΗΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ

ΑΕΙΠΑΡΘΕΝΟΥ ΚΑΙ ΘΕΟΤΟΚΟΥ ΤΗΣ ΑΚΑΤΑΜΑΧΗΤΟΥ.*

Ἔδει μὲν, ὦ παρόντες, μὴ πρὸς τὸν ἱερὸν ἀγῶνα (1) τοῦτον ἡμᾶς ἀποδύσασθαι, μηδ᾽ ἐπιχειρῆσαι θαῤῥῆσαι τηλικούτων πραγμάτων ἐφάψασθαι, καὶ πρὸς τὴν ὑπερτέραν πασῶν ἀσυγκρίτως (2) τῶν ἄνω δυνάμεων τῷ λόγῳ βλέψαι πειράσασθαι, ἀλλὰ πρῶτα

* E cod. 1209, pag. 1. — De Theodoro Hyrtaceno, quem jam noverunt lectores mei, adeant t. II, p. 409.

(1) Ex illa voce, et præsertim e formula ἄνδρες διαιτηταὶ, qua non semel Theodorus est usus, Dutheilius Notit. Mss. t. V, p. 718, quo in loco docte de Theodoro agit, non male infert hanc orationem ad solennem concertationem propositumque præmium fuisse compositam. Andronicus, qui, ut ex ejus edicto de festo Assumptionis abunde patet (vide t. II, pag. 107), Virginem ferventissime colebat et adorabat, oratores forsan ad Deiparæ laudes celebrandas præmio constituto invitaverat.

(2) Non id dixit sine exemplo. Exstat enim ineditum Nicephori Gregoræ opusculum hoc indice: ἐπίλυσις περὶ τοῦ, τίνος χάριν ὁ ὑμνῳδὸς, ἐνδοξοτέραν τῶν Σεραφὶμ τὴν Θεοτόκον ὑμνήσας, διὰ τὴν προσθήκην αὖθις τοῦ « ἀσυγκρίτως » ἀσύγκριτον τὸ συγκεκριμένον ἐποίησε. Vid. Biblioth. Gr. t. VII, p. 634. Infra sic noster, p. 45, ubi etiam notabo.

μὲν πρὸς τὰ φρικτὰ τῆς Θεοτόκου καὶ μεγάλα μυστήρια καὶ ῥητόρων ὁμοῦ καὶ φιλοσόφων ὑπερκαθήμενα, εἶτα δὲ καὶ τοὺς ἡμετέρους λόγους ἰδόντας οὔτ' ἐπιστημονικῆς μετέχοντας ὑψηλότητος καὶ παντοδαπῆς σοφιστικῆς ἀπηλλαγμένους δεινότητος (1), οὐμενοῦν ἐγχειρεῖν θαῤῥεῖν τοῖς ὑπὲρ ἰσχύν· ἐπειδὴ δὲ τοῦ λόγου πόθος (2), ἀναγκαίου δὲ μᾶλλον λόγου ὀφλήματος (3), ἐνσκήψας ὥς τις ἀπαραίτητος τύραννος, οὐ πρὶν ἀνήσειν διϊσχυρίζεται, πρὶν ἂν πρὸς ἔργον ἐκβῆναι καὶ λόγου συστῆναι πατήρ, ἥττημαι τοῦδε τοῦ λόγου πρὸς θεῖον διαπορθμεύοντος ἔρωτα, καὶ τῷ τῶν ἀγώνων κρατίστῳ φέρων ἐμαυτὸν παραδίδωμι, πεποιθὼς ἐκεῖθεν πρὸς τὰ τῆς ὑποθέσεως συγκροτήσεσθαι. Εἴητε δὲ τῷ λόγῳ συναιρόμενοι καὶ ὑμεῖς ταῖς εὐχαῖς, ὅσοις τὸ προσῆκον τῇ παρούσῃ καταστάσει λειτούργημα τῆς ἱερᾶς πανηγύρεως ἐξάρχους ἐφίησι προκαθέζεσθαι· οὐ γὰρ χαμαιζήλων προκινδυνεύειν, ὅτι μὴ καὶ τῶν μεγίστων, προείλετο, καὶ τοσούτῳ πάντως, ὅσῳ τὴν Θεοτόκον τῶν νοερῶν ὑπερανῳκισμένην οἶδε δυνάμεων· ὃς, κἂν που τοῦ καθήκοντος ἀμυδρόν τι λίαν καὶ μετέωρον ἅψαιτο, τὴν οἰκείαν ἴσως δόξει σπουδὴν ἐπιδείξασθαι. Εἰ δὲ κατόπιν τῶν ἐγκωμίων (4) ἔλθοι παντάπασι, τῶν τε πραγμάτων πρὸς

(1) Et alibi modeste de se loquitur : cf. t. 1, p. 288, n. 5.

(2) Sic ipse Epistola 55 : ταῦτ' ἄρα καὶ πείθει πόθος ἐμὲ πρὸς λόγον.

(3) Quid sit illud debitum nunc nemo facile dixerit. Et sunt loca alia nunc obscura, et quæ vix intelligi queant, ob ignoratas plurimarum rerum, temporum atque locorum, circumstantias.

(4) Procopius Gaz. Panegyr. Anastasii p. 32, hac loquutione usus est, loco quidem pulcherrimo, sed quem librarii male habuerunt : ἄλλοις μὲν οὖν ἐκ πρώτης γενέσεως ἁλουργίδες καὶ τὰ σπάργανα, καὶ βασιλεῖς εὐθὺς καλοῦνται, πρὶν αἰσθέσθαι τῆς τύχης· ὕστερον δὲ πολ-

ἀξίαν οὐκ ἐφικόμενος, καὶ τοῦ τῶν ἔργων μεγέθους, οὐχ ἧττον ἢ δυσμαὶ τῶν ἀνατολῶν ἢ τὸ κέντρον τῆς ἀνωτάτω σφαίρας, λειπόμενος (τοῦτο γὰρ ἀνάγκη πᾶσα καὶ πείσεσθαι), καὶ οὕτως οὐχ ὅπως καὶ ῥηθῆναι ῥάω χάριν εἴσεταί γε τῇ Θεομήτορι, τῷ τε μὴ μόνον τηλικαύτης ἀξίας μετειληχυῖαν ἅπαντας ἅπασιν ὑπεραίρειν, ἀλλὰ καὶ τῷ μόνην ἁπάντων τῆς τῶν λόγων ὑπερκαθῆσθαι δυνάμεως.

Εἰ δ᾿ ἀπερισκέπτως δῆθεν τοῖς ὑπὲρ ἰσχὺν ἐγχειρούντων καθάπτεσθαί τινες βούλοιντο, πειρωμένων τὰ μεγάλα λόγῳ σταθμᾶσθαι μικρῷ, ἐπαινῶ μὲν τοὺς ἄνδρας τῆς τῶν ἱερῶν εὐλαβείας ἐγώ, συνεπαινέσονται δὲ καὶ οἷς τὰ θεῖα σέβειν ἔργον οὐχ ἥκιστα· ἀκουόντων δ᾿ ὅμως οὖν καὶ τοιαῦτα καὶ μή ποτ᾿ ἴσως οὐ φαῦλ᾿ ἄττα ὑπεραπολογουμένων ἡμῶν. Ἔσθ᾿ ὁπότε καὶ νηπίων παρακεκινδυνευμένα ψελλίσματα καὶ λόγων ἐξημβλωμένων ἐκτρώματα κεκομψευμένων καὶ περιηρθρωμένων ἡδίω καὶ χαριέστερα (1), τήν τ᾿ ἀκοὴν κατακνῶντα καὶ γαργαλίζοντα, τήν τε ψυχήν (πῶς

λάκις, ἀνάξιοι φανέντες τῆς δωρεᾶς, κατηγόρους ἐφιστῶσι τῷ δαίμονι, ὡς οὐδὲν ἠπίστατο τῶν μελλόντων, οὐδὲ κρίνειν οἶδε καλῶς, ἀλλ᾿ εἰκῇ φιλοτιμεῖται, καὶ δίδωσιν ἑαυτὴν οὐχ ὅσοις ἄξιον, ἀλλ᾿ ὅσοις καὶ βούλεται· εἰ δὲ ἄξιοι φανεῖεν τοῦ πράγματος, ἀλλ᾿ οὖν δοκοῦσι τῇ τῆς τιμῆς ἀνᾷ, καὶ τῷ μὴ κατόπιν ὀφθῆναι ταύτης, ἐπιτηδεύειν τὰς ἀρετάς. Videtur deesse nonnihil quo τὰ παράγανα regia esse declarentur, ni fuerit περὶ τὰ σπ. Tollendum et καὶ ante βούλεται, ni verbum olim fuerit quod superstiti βούλεται copula καὶ jungeret. Sed majus est in ἀνᾷ vitium, cui Villoisonus mederi posse putabat, legendo ἀναστάσει vel ἀνατάσει, infelicissime. Equidem nullus dubito quin ἀνάγκῃ rescribendum sit.

(1) Præivit Gregorius presbyter Vita Gregorii Naz. p. 2: Οἶμαι δὲ ὡς ἐν πᾶσι τέλειος ἀνὴρ καὶ τοῦτο μετειάσει τὸν παρ᾿ ἐμοῦ ἔπαινον, ἐπειδὴ καὶ φίλα πατράσι τὰ τῶν νηπίων ψελλίσματα, ἐξ ἀτέχνου μάλιστα προϊόντα τῆς διανοίας, ἢ τῶν τελείων οἱ ἐμβριθέστεροι λόγοι καὶ τὰ σοβαρὰ λαρυγγίσματα.

ἡδέως δοκεῖτε;) νύττοντά τε καὶ διαχέοντα, καὶ, συνελόντι φάναι, τέρψιν οὐχ ἧττω μουσικῶν ἰύγγων ἐνστάζοντα, καὶ τὸν ἀκροώμενον ἧπερ (1) αἱ σειρῆνες καταγοητεύοντά τε καὶ καταθέλγοντα. Ἀποχρήσειε δ' ἂν μοι καὶ τοιοῦτό τι πρὸς ἀπολογίαν δευτέραν, εἶναι καὶ τῶν ἐλασσόνων ἀφοσιοῦν, ὁπόταν τις ᾑρημένος μείζω μὴ καὶ πόρον ἔχῃ τῇ προθέσει συμβαίνοντα.

Καὶ μὴν καὶ μεγάλους μάγους (2) Περσῶν βασιλέας ἴσμεν τῷ τῶν οὐρανῶν ἐπὶ γῆς βασιλεῖ δι' ἡμᾶς προσκυνήσαντας μηδαμῇ καὶ δῶρα προσενηνοχότας ἀνάλογα (3), κἂν μυστικὸν ἄλλον λόγον ἀνάλογα (4)· μεθ' ὕστερον δ' οὐδὲν ἧττον καὶ τὸν Λόγον αὐτὸν τῶν νομικῶν ἱερέων προκαθεζόμενον, ἧγε νῦν τῶν τῆς χάριτος, τῷ ἱερῷ τῶν εὐπορούντων μείζω καλλιερούντων τὸν ἔρανον, μακρῷ τὰ τῆς ἀπόρου χήρας προτετιμηκότα λεπτὰ (5), ἥκιστά γε τὸ φαῦλον τῶν δύο τεθαυμακότα

(1) Codex, ἤπρ. Infra ἔχει.

(2) Matth. cap. II.

(3) Matth. II, 11: προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν.

(4) Notum responsorium in officio Epiphaniæ: « tria sunt » munera pretiosa, quæ obtule» runt magi Domino in die ista, » et habent in se divina mysteria: » in auro, ut ostendatur regis » potentia; in thure, sacerdotem » magnum considera, et in myr» rha, dominicam sepulturam. » Leo papa lectione sexta ejusdem officii: « illi de thesauris suis » mysticas Domino munerum » species obtulerunt. » Et Gregorius papa lectione septima officii tertia die infra octavam recitandi: « . . . . eum ergo magi quem » adorant etiam mysticis mune» ribus prædicant, auro regem, » thure Deum, myrrha morta» lem . . . . . » Pariter Epiphanius t. II, p. 300 . . . χρυσὸν μὲν ὡς βασιλεῖ, λίβανον δὲ ὡς Θεῷ καὶ σμύρναν ὡς θνητῷ, μᾶλλον δὲ ἵνα καὶ τὸν ἐνταφιασμὸν μηνύσωσι τοῦ πάντων κτίστου καὶ δημιουργοῦ Χριστοῦ. Conf. Gregor. Nazianz. Orat. XXXVIII, pag. 623.

(5) Vide Marc. XII, 42. Theodorus Hyrt. secum est ipse conferendus; similis est enim ejus sententia Epist. 55: καθάπερ εἰ (imo καθάπερει, ut est in cod.) Χριστὸς τὰ δύο λεπτὰ τῆς χήρας προσ-

λεπτῶν, τὸ δαψιλὲς δὲ πάντως ἥ τις προσενήνοχε πρόθεσις. Ἡ γάρ, ὅ γε μόνον εἶχε καλλιερήσασα, δηλαδὴ τὰ τῆς γνώμης, συνέστησεν ὡς, κἂν μειζόνων ἦν εὐποροῦσα, κἂν τὰ μείζω καθιερούργηκε· καὶ ὁ τὴν τῶν ἐλασσόνων προσέμενος ἐπιμᾶλλον προσένεξιν, εἶναι καὶ ψιλὴν ἀντὶ δώρου προσίεσθαι πρόθεσιν (2), ἐπειδὰν μηδὲν τῷ προσῇ τῶν κατ' ἀξίαν, ὡς ἔφαμεν.

Εἰ δὲ δή που καὶ παῖδας Ἑλλήνων ἀνέγνωμεν ἑαυτῶν καὶ μέχρις αἱμάτων ἠφειδηκότας, κοτίνου πέρι καὶ δάφνης καὶ σερίδος (1), οὐτιδανῶν ἀναδημάτων (ἐῶ γὰρ οὐδένων φάναι), τίνος οὐκ ἔχοιτ' ἂν ἀτοπίας, ποίας δ' ἂν ἀπονοίας εἴη μᾶλλον λειπόμενον, περὶ τὸν ἱερὸν ἡμᾶς ἀγῶνα τοῦτον γλισχρεύεσθαι, δεδιότας ὥσπερ μὴ τῶν αὐτόθεν χρηστῶν ἀπολαύσαιμεν, μηδὲ τῶν αὐτῶν τοῖς ἄλλοις καλῶν κοινωνήσαιμεν, καὶ ταῦτ' ἐξόν, κἂν τοῖς ἐγκωμίοις ἔλθωμεν δεύτεροι, τῆς γε μὴν εὐλογίας οὐ πολλῷ τῶν ἐφθακότων βαδιεῖσθαι κατόπιν. Εἰ γὰρ μέγα μὲν ἄλλοις, ἐπιδείξεως εἵνεκα, ὄγκοι λόγων καὶ ἀξιώματα, ἰδέαι τε καὶ ποικιλίαι, καὶ μεγέθη καὶ κάλλη, συνθῆκαι τε καὶ ῥυθμοὶ καὶ διάρματα, καὶ οἷς πᾶσιν ἑτέροις ἡ σοφιστικὴ δεινότης σεμνύνεται, τοῖς τε διδοῦσι τοῖς τε μεταλαμβάνουσι, μέγιστον τῇ Θεοτόκῳ πρὸς εὐφημίαν σεμνῶν καταστάσεις ἠθῶν καὶ ποιότητες, ψυχῶν τ' εὐγενῶν σπουδῆς

ἤκατο, μὴ πρὸς τὸ τῶν λεπτῶν προσενηνοχὼς εὐτελές, ἀλλὰ τὸ πολὺ τῆς προσενεγκάσης προθέσεως. Admove alium locum ex ejus Epist. 26. Adponam et ineditum Georgium Lapitham v. 499 : Θεὸς γὰρ κατὰ δύναμιν αἰτεῖ τὰς εὐποιΐας, Ψυχῆς ὁρῶν διάθεσιν καὶ γνώμην ταλαντεύων, Καὶ δύο λεπτὰ προτιμᾷ πολυταλάντων δώρων.

(1) Verius scripsisset σελίνου, si summa diligentia in talibus esset ab oratore exigenda, quod non puto.

προθέσεις μεσταὶ, καὶ βίων διαφόρων καὶ γενναίων αἱρέσεις, πρὸς δ' ἔτι καὶ ἄριστά πως ἔχουσαι τῶν γνωμῶν, καὶ τὸ μᾶλλον τοῖς εὐφημεῖν ἑλομένοις παρ' ἑαυτῆς συνεισενεγκεῖν.

Οὐκοῦν ἐπειδή μοι τοὺς καλοὺς ὑμᾶς συναιρημένους ἔχω διαιτητὰς, τῇ τε ἄλλῃ καὶ τῇ ψήφῳ τῇδε συμβαίνοντας, ὥστ' οὐκ ἔξω που βάλλω σκοποῦ, ἐγκωμιάζουσι δὲ νόμος (1) τὴν ἀρχὴν διά τ' ἔθνους ἰοῦσι καὶ πατρίδος, πατέρων τε καὶ τῶν ἄνωθεν, εἶτα καθεξῆς, γενέσεως δηλαδὴ, τροφῆς τε καὶ ἀγωγῆς, καὶ τῶν εὖ πως πεπραγμένων, τοῖς ὑπὲρ ὧν προὔθετό τις λέγειν ἀποδεδωκότας εἶναι τὸν λόγον, οὐχ ἧττόν μοι δοκεῖν εἰς (2) ἐγκωμίων λύσιν (3) τὸ μὴ νόμοις πιθέσθαι σοφιστικοῖς, οὔκουν τεχνωμένῳ κοσμεῖν τὴν Θεοτόκον ἐκ τῶν ἀνέκαθεν, ὡς εἴ γε μηδὲν οἴκοθεν παρ' ἑαυτῆς εἶχε σεμνύνεσθαι, καὶ δογματίζειν ἀλογίστως ταὐτὸν δεῖσθαι μὲν ἀστέρων τὸν ἥλιον, δεῖσθαι δὲ ταύτην τῆς ἐκεῖθεν συστάσεως· οἷς κἂν μὴ κατώρθωτό τι τῶν πρὸς εὐγένειαν ἕτερον, τό γε μόνον

(1) Illius encomiastarum legis non semel alibi meminit: conf., si tanti est, t. II, p. 410, n. 1; p. 413, n. 3; et infra p. 37, n. 4.

(2) Nitidius foret, οὐχ ἧττον, ἐμοὶ δοκεῖν, εἰς. Sed sic sæpe scribunt, pronuntiando diligentiorem distinctionem delentes. Lucianus De Cal. 4: ἄγνοιά μοι δοκεῖ, καὶ ὑπόληψις. Plato Menex. p. 23 Gottleb.: ὅπῃ μοι δοκεῖ, συνετίθει τὸν ἐπιτάφιον λόγον. Tauchnitz.: ὅπῃ, μοὶ δοκεῖ, συνετ· quod mihi quidem placuisset olim, nunc displicet. Heindorfius ad Euthyd. p. 398, scripsit, ὅπῃ, ἐμοὶ δοκεῖ, συνετ. Malim: ὅτ', ἐμοὶ δ'. Difficilior mutatio in hoc alio Platonis loco Clit. p. 267: ἀπεκρίνατό τις, ὦ Σώκρατες, μοὶ τῶν σῶν ἑταίρων. Impenderunt nuper atque nunc impendunt sedulam Platoni corrigendo operam viri doctissimi, quorum libros nondum novi.

(3) Innuit iterum sibi esse solvendum id debitum, de quo modo p. 2.

τοιαύτην καὶ τηλικαύτην προσενεγκεῖν ποίαν εὐγενειῶν οὐκ ἀπέκρυψεν (1);

Ἦν ὅτε τὴν οἰκουμένην ἀπ' ἄκρων ἐς ἄκρα μικροῦ περιεῖχεν εἰδωλομανίας σκοτόμαινα, ἥγε νῦν ὁ λαμπρὸς ἀναχυθεὶς τῆς χάριτος ἥλιος ἀπελήλακε μὲν ἐκ μέσου τὴν τέως ἐπιπολάζουσαν βαθεῖαν ἐκείνην ἀχλὺν, θεογνωσίας δὲ μεγάλῳ φωτὶ περιήστραψεν ἅπασαν. Τῶν τοίνυν κατ' ἐκεῖνο καιροῦ δεισιδαιμονεῖν ὡς μὴ ὤφειλον ἀναπεπεισμένων, μόνοις Ἑβραίοις τὸ τῷ ζῶντι λατρεύειν ἐφεῖτο θεῷ· καὶ, τῶν λοιπῶν ἄπο νόμου πεπλανημένων, οἱ δ' ἐπ' αὐχένι νομίμην ζεύγλην ὡμίζοντο. Ἐντεῦθεν καὶ περιεῖναι τοῖς ἀνδράσιν ἐξῆν ἐπικράτειαν, καί γε δὴ νικᾶν ἀνακράτος προσβάλλοντας τοῖς ἐχθροῖς, καὶ, μᾶλλον ἤπερ ἐκείνων, τῆς ἀσεβείας καταστρατηγοῦντας καὶ κατισχύοντας. Ὃ, καίπερ τὸ τηνικάδε πολλῶν καλῶν παρόντων Ἑβραίοις, τοῦτο (2) κάλλιον ᾤοντο, καὶ τῶν ἄλλων μᾶλλον εἰς λόγον ἧκον μεγέθους καὶ θαύματος.

Ἐδγνᾶταί μοι τὸν λόγον ὁ μέγας καὶ πρῶτος ἐν πατριάρχαις, τοῦτο μὲν τῷ χρόνῳ, ἐκεῖνο δ' αὖ τῷ τρόπῳ γενόμενος, ὁ ἐξ Ἄβραμ σεμνὸς Ἀβραὰμ δι' ἐσομένην τιμὴν ὑπερβάλλουσαν καὶ τὸ πατὴρ ἐθνῶν κατασήσεσθαι (3), ὁ τῆς Χαλδαϊκῆς μετανάστης (4),

(1) De hoc verbo notatum fuit t. II, p. 35.

(2) Velim abesset τοῦτο, quum ὅ tam proxime præcedat.

(3) Genes. XVII, 5: καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἄβραμ· ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραὰμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Philo, alia sequutus, Legis Allegoriis II, pag. 76: ἑρμηνεύεται Ἄβραμ, πατὴρ μετέωρος. Hesychius, cumulatis variis hujus nominis interpretationibus: Ἄβραμ· περάτης, ἢ πατὴρ μετέωρος. Ἀβραὰμ δὲ, πατὴρ πολλῶν ἐθνῶν. Lege ibi quæ multa apposuerunt interpretes.

(4) Genes. XI, 31.

τῆς δὲ τῶν Χαναναίων οἰκιστὴς (1), εἴπω τὸ μεῖζον, ὁ τῆς μακαρείας Τριάδος ἑστιάτωρ καὶ ξενιστὴς (2), καὶ Θεὸν μόνος εἰστιακῶς ἐφ' ὅσον ἐστὶν ἑστιώμενος.

Συνεγγυᾶται καὶ Ἰσαὰκ, ὁ τῆς ἐπαγγελίας καρπὸς, ἢ τῆς καινῆς ξενίας μισθὸς, καὶ τυθεὶς μικροῦ καὶ θύσας Θεῷ (3), ἐκεῖνο μὲν οἷς ὅσον τὸ πρὸς Ἀβραὰμ ἱερουργητο, τοῦτο δ' οἷς αὐτὸς ἑαυτὸν ἱερούργηκε καὶ τῆς ὄντως ἱερουργίας ἐπιστάτης κεχειροτόνητο, εἰς τύπον τοῦ μονογενοῦς Χριστοῦ τοῦ μεγάλου καὶ θύτου καὶ θύματος ἀφωρισμένος ἀνέκαθεν.

Τρίτος μετ' ἄμφω καὶ Ἰακὼβ (4), ὁ καὶ γένος μὲν καὶ σέβας καὶ θρόνον διάδοχος· αἷς δὲ γυμνασίαις προσέβαλε, καὶ θεωρίαις ὡμίλησεν, οὐχ ἧττον ἐς ἄκρον ἐληλακὼς ἀναβάσεως, ὁτὲ μὲν συμβολικῶς τὴν θεοτόκον ἑωρακὼς γῆθεν ἐς οὐρανὸν ἀνατρέχουσαν κλίμακα (5), ὁτὲ δὲ τῷ κρείττονι συμπλακεὶς, πρὸς

(1) Genes. XII, 2; XIII, 12.

(2) Genes. XVIII. Est de hoc argumento Theodori Prodromi epigramma a Dutheilio editum in Notitiis Mss. t. VIII, part. II, pag. 193 : Τί ταῦτα ποιεῖς; βουθυτεῖς, Ἀβραὰμ γέρον; — Οὐκ· ἀλλὰ δεῖπνον καὶ τράπεζαν ἀρτύω. — Ὁ δαιτυμὼν τίς, ᾧ τὸ δεῖπνον ἀρτύεις; — Ἡ Τριὰς αὐτή. — Καὶ Θεὸς βοῦν ἐσθίει; — Οὐ γὰρ ἐρευνῶ τοὺς ἀπορρήτους λόγους. — Ὡς ὑπέρευγε πίστεως τῆς σῆς, γέρον! Ὡς ὑπέρευγε τοῦ φιλοξένου βίου! Καρπὸν γὰρ ἀμφοῖν, καρπὸν ὀσφύος φέρει. Ad φέρει adscripsit editor *sic,* scilicet significaturus se de lectione ipsa vel de sententia dubitare. Atqui non est sincera lectio, sed facili opera restituetur, si φέρῃ legas, hoc sensu : « fructum enim ambarum (fidei nimirum ac hospitalitatis) fers, renum tuorum fructum (Isaac nempe, quem mox vetula concipiet uxor). Et ignoravit Dutheilius sex primos versus ejus epigrammatis fuisse olim, a. videlicet 1611, editos in libello rarissimo a Fed. Morello. Qui edimus inedita, sic nonnunquam labimur.

(3) Genes. XXII.

(4) Repetatur συνεγγυᾶται.

(5) Genes. XXVIII, 12. Sic facta allusione mystica ad Jacobi scalam Maria Joanni Damasceno, tom. II, pag. 843, dicta est ἡ νοητὴ κλίμαξ κ. τ. λ.

μυστικωτέραν πάλην ἐγγυμναζόμενος (1). Εἶτα δὴ καὶ οἱ δώδεκα (2), οὐμενοῦν εἰκῆ καὶ μάτην ἕκαστος ἑκάστης φυλῆς προκαθήμενοι, λόγον δὲ πάντως τινὰ μυστικώτερον, ἐφ᾽ ᾧ δηλαδὴ καὶ τὴν χρονικὴν ἁγιασθῆναι περίοδον τριττῇ τετράδι περιεστεμμένην μηνῶν, καὶ τῷ Χριστῷ χορὸν μαθητῶν περιποιηθῆναι τοσάριθμον, τῷ εὐαγγελίῳ τὸν περίγειον κύκλον (3) διαλαμβάνοντας.

Ἄθλα γε μὴν τῇ προνοίᾳ τῶν εἰρημένων εἵνεκα θαυμασίως τετερατούργητο οὐκ ἄλλου του πάντως ἢ τῆς ἐς ἐκείνην αὐτὴν πεποιθήσεως, νυνὶ μὲν τοῦ σοφοῦ Μωσέως δημαγωγοῦντος, νυνὶ δ᾽ Ἰησοῦ τοῦ τοῦ Ναυῆ (4) στρατηγοῦντος, οὔτ᾽ ἐγχωρούντων τῷ καιρῷ πρὸς ὑφήγησιν, οὔτ᾽ οὖν τῆς ἀνὰ χεῖρας πραγματείας ὄντων, καὶ τοῦ λόγου δ᾽ αὐτοῦ, μὴ διεξιέναι καθ᾽ ἕκαστα σθένοντος, ἱκανὰ περὶ τοῦ ἔθνους διειληφότος, ἀναγκαῖον ἐπιβάλλειν τοῖς ἐφεξῆς.

Τὸ τῆς ὄντως παρθενίας ἱερὸν τουτὶ καὶ μέγα κειμήλιον, τὸ τῆς θεότητος ἐνδιαίτημα, τὸ τῆς ἀνθρωπότητος ἐγκαλλώπισμα, ἐκεῖθεν τῆς ἐς τὸν βίον εἰσόδου τυχὸν (ἔδει γὰρ ἔδει τῷ τῶν ἐθνῶν κρατίστῳ τῇ μεγίστῃ λειτουργῆσαι τῶν ὑποθέσεων), ἤνεγκε μὲν ἡ περιθρύλλητος Ἱερουσαλήμ, Ἱερουσαλὴμ ἡ περιφανεστάτη μητρόπολις, καὶ τοῦτο ταῖς λοιπαῖς γνω-

(1) Genes. XXXII, 24.....

(2) Duodecim scilicet Jacob filii. Supple συνεγγυῶνται e præcedentibus.

(3) Κύκλος περίγειος illustretur e nota t. II, p. 328. Διαλαμβάνοντας χορὸν non sollicitetur.

(4) Duplicem illum articulum asserui t. II, pag. 296. Sed non erit relinquendus Theodoro Prodromo Rhod. III, p. 109, sic edito : Εἰ μή τις εἴπῃ τῶν θείων θείαν χάριν Δοθεῖσαν αὐτῷ, τῶν ξενισμάτων χάριν, Τὸν τὴν φυσικὸν φυσικῶς θανεῖν μόρον. Reponendum puto, τὸ τὴν φυσ.

ριζομένη τῶν πόλεων, ὅπερ οὖσα ταῖς παρθένοις ἡ Θεοτόκος ἐτύγχανεν, Ἱερουσαλὴμ ἣν καὶ διὰ τἄλλα μέν (οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν ὅτου καλοῦ καὶ κάλλους ἑτέρα, μήπω παραστησαμένη πρότερον ἑαυτῇ, παρεχώρησεν· ὧν δὲ μᾶλλον μετέσχηκεν, οἷα μήτηρ εὐγενεστάτη, μεταδεδωκέναι ταῖς ἄλλαις θυγατέρων τρόπον οὐ παρῃτήσατο· ναί γε μὴν καὶ τὸ πατηθῆναι καὶ μαρτυρηθῆναι παρ' ὅτου, ταῦτ' ἐκείνῃ, ποταμοὶ καθὰ θαλάττῃ, συνέῤῥευσαν). Γῆν Ἐπαγγελίας ἀκούομεν. Καὶ ταῖς μὲν οἴκων ὕψη καὶ μεγέθη, καὶ κάλλη ποικιλίαις διηνθισμένα καὶ χρωμάτων καὶ χρυσοῦ περιστίλψεσι καὶ λεπτῶν ψηφίδων συνθέσεσι, καὶ λοιπὸς ἅπας κόσμος, παρ' οἷς τιμᾶται καὶ ταῦτα τὸ θεῖον, ἐπίσημα· πρὸς δ' ἔτι βάθη πλούτων, ὄγκοι χρημάτων, πολυτέλειαι κτημάτων, γῆς εὖ ἔχουσαι θέσεις, ἀέρων κράσεις, καρπῶν ἀφθονίαι, τρυφῶν εὐθηνίαι, καὶ ὅσ' ἄττα τῶν τοιούτων, αὐχήματα· τῇ δὲ τὸ κράτος ὑπὲρ αὐτὰς, τῷ τε μηδεμιᾶς ἐπ' οὐδενὶ τῶν ἁπάντων ἐνδεῖν, καὶ τῷ παχυνθέντα (1) τὸν Λόγον ἐναγκαλίσασθαι καὶ προενέγκαι βροτὸν τὸν Θεὸν, μηθ' ὅπερ ἦν ἀποβαλόντα καὶ ὅγε οὐκ ἦν προσλαβόντα (τοῦ μυστηρίου!), σαρκὶ περιγεγραμμένον τὸν ἀπερίγραπτον, καὶ τὸν εὐαγγελικὸν φθόγγον, ὥσπερ ἀπὸ σημείου γραμμὰς ἑαυτῆς, ἢ μὴν ἀφ' ἡλίου ἀκτῖνας, πρὸς τὰ τῆς οἰκουμένης ἐκδισκεύσασθαι τέρματα.

Ἀλλὰ τηλικούτου μὲν ἔθνους, τοιαυτησὶ δὲ προενή-

(1) Παχυνθέντα, i. e. incarnatum. Adponam obiter versiculos in imaginem Verbi incarnati, e cod. 1630, p. 63, 1: Νοῦς ὢν μέγιστος, σαρκὸς εἴληφας πάχος. Ταύτην γράφω νῦν, τὴν δ' ἄνω φύσιν σέβω, Οὐ χερσὶ γραπτὸν, οὐ περιγραπτὸν πω.

νεκῶ πόλεως· εἰς γενέας δὲ καὶ τοὺς ἄνω ἢ τὸ παράπαν ἠτύχηκεν, ἢ χεῖρον ἐσχήκει τινὸς ἢ τὴν ἴσην βεβάδικεν, ἢ μὴν ὑπερελήλακέ τι σμικρόν; ἥκιστα· τοσούτῳ δὲ κἂν τούτοις, ὅσῳ κἂν ἐκείνοις ὑπερηκόντικεν ἅπαντας (1), παρὰ τοσοῦτον δὲ μᾶλλον ἐπῆρε περιφανείας, παρ' ὅσον εὐπαιδίᾳ τῶν ἄλλων ἐκράτησαν· καὶ τοὺς ἐξ ὧν ὑπερεσχηκότες τοῖς κατορθώμασιν, εὖ γε μόνης ὑπερητῆσθαι πεπόνθασιν, ὥσπερ ἐκ ταπεινοτέρων ἐφ' ὑψηλότερα προχωρεῖν βιαζομένης τῆς φύσεως.

Τοιγαροῦν πρόγονοι μὲν ὁ θεῖος Ἰεσσαὶ καὶ Δαυίδ (2). Τῆς γὰρ εὐγενοῦς ῥίζης ἐκείνης, ἣ προφήτας ἅμα καὶ βασιλέας, τόν τε θαυμαστὸν καὶ ἱερατικὸν ἀνέσχε κατάλογον (3), ἀνεδόθη βλαστὸς εὐγενέστερος. Ἐχρῆν γὰρ, ἐχρῆν τὴν ζῶσαν ῥίζαν ζῶντας προβαλέσθαι καρποὺς, κἀκεῖθεν ῥάβδον τὴν παρθένον ἐξανατεῖλαι, καὶ ἄνθος ἀναβῆναι Χριστὸν, ἧπερ ὁ μέγας κῆρυξ Ἡσαΐας (4) εὐαγγελίζεται.

Γεννήτορες δὲ τηλικαύτης ἄξιοι κεφαλῆς, οἷς οὔθ' ἑτέρας ἢ ταύτης ἔδει πατέρας ἀκηκοέναι, οὔτ' ἄλλων αὐτὴν θυγατέρα ὅτι μὴ τούτων ἐκφῦναι γενέων, ὥσπερ ἀντισηκούντων ἀλλήλοις τῆς εὐγενείας τὰ σύσ-

(1) Conf. similia in ejusdem oratione t. II, pag. 412, 12. Et infra idem styli color pp. 16, 17.

(2) Matth. I, 5: Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί· Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ τὸν βασιλέα. Epiphanius monachus Vita Mariæ p. 40: οἱ πάντες ἀπὸ Δαυὶδ κατάγεσθαι αὐτὴν λέγουσιν· ubi Mingarellius.

(3) Catalogum vide apud evangelistas Matthæum et Lucam.

(4) Isai. XI, 1: καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Epiphan. pariter t. II, p. 292: ἐκ τῆς ῥίζης δὲ Ἰεσσαὶ Δαβὶδ ὁ βασιλεὺς, καὶ ἐκ τῆς φυλῆς Δαβὶδ τοῦ βασιλέως ἡ ἁγία παρθένος, ἡ ὁσία τῶν ὁσίων ἀνδρῶν θυγάτηρ, ἧς οἱ γονεῖς Ἰωακεὶμ καὶ Ἄννα....

σημα (1), μᾶλλον δὲ τῶν πατέρων, κἂν μὴ πρὸς τοσοῦτο μέτρον (2) ἐφθάκεσαν ὥσθ' ἁπάντων καλῶν κάλλιστον προκεῖσθαι τοῖς ἄλλοις ἀρχέτυπον, παρὰ μόνης δεδυνημένων ἐληλακέναι πρὸς ἄκρον εὐδοκιμήσεως. Νυνὶ δ' ἐπισήμους καθεστῶτας ἐξ ἀρετῆς ἐπισημοτέρους τῷ βελτίστῳ τῆς σφετέρας πολιτείας συνίστησι, κάλλιστά γε τοῖς γεγεννηκόσιν ἀποδεδωκυῖα τροφεῖα.

Τίς οὐκ οἶδε τὸν τὰ θεῖα πολὺν ἐκεῖνον Ἰωακεὶμ, τίς Ἄνναν (3) τὴν κεχαριτωμένην (4) τε καὶ περίφημον; Τὸ χρυσοῦν τῷ ὄντι καὶ ἱερὸν ζεῦγος, τὴν τῶν ἀγαθῶν θάλατταν (5), τὸ παντὸς καλοῦ καταγώγιον, ἀγαθῶν ἀγαθίδας (6), ἢ κέρας Ἀμαλθείας (7), εὐστόχως ἄν τις ὠνόμασεν. Ὁ μὲν γὰρ καθαπερεί τις

(1) Cf. quæ habet similia t. II, p. 411.

(2) Deest forsan ἀρετῆς.

(3) Conf. Epiphanius supra p. 11, n. 4; et Jo. Damascenus lectione septima officii in festo S. Joachim recitandi, ubi multa de Mariæ parentibus.

(4) Est in eo epitheto allusio ad vim hebraicæ vocis. Glossarium N. T. ab Albertio editum: Ἄνα· χάρις αὐτοῦ. Epiphanius t. II, pag. 292: Ἰωακεὶμ γὰρ ἑρμηνεύεται ἑτοιμασία Κυρίου· ἐξ αὐτοῦ γὰρ ἡτοιμάσθη ναὸς Κυρίου ἡ παρθένος· Ἄννα δὲ πάλιν ὁμοίως χάρις ἑρμηνεύεται· χάριν γὰρ ἔλαβεν Ἰωακεὶμ καὶ Ἄννα· quæ latine legi possunt lectione quarta officii modo laudati, cui addas ejusdem officii nonam lectionem. Hieronymus Epistola ad Furiam p. 430: « Anna interpre» tatur gratia. » Conf. Oratio sequens sub finem.

(5) Hyperbole apud recentiores frequentissima. Theophylact. Simoc. Phys. 2, p. 22: Θεόφραστον τὴν τῆς γνώσεως θάλατταν. Idem Hist. pag. 2: ὠκεανὸς γὰρ ἐπιστήμης ἔφυς καὶ λόγων τις. Damascius Photii p. 1037, de Hierocle: τοῦτο μὲν οὖν ἐπιδείκνυται τοῦ ἀνδρὸς ἡλίκον ἦν ἄρα τὸ τῶν φρενῶν πέλαγος. Poetaster in Notit. Mss. t. VI, p. 509: Τῶν δογμάτων θάλασσα τῶν θεογράφων, Χριστοῦ μιμητά.

(6) Proverbium est apud Suidam, et in Phrynichi Apparatu p. 9. Cf. Eustath. ad Dionys. 517.

(7) Dion Chrys. t. II, p. 327: τὸ δὲ τῆς Ἀμαλθείας κέρας μηνύει τὴν τῶν ἀγαθῶν δόσιν τε καὶ εὐδαιμονίαν· ubi Reisk. Adde quæ notavi ad Philostr. Her. p. 344.

κόσμος πολύολβος τῷ τῶν ἀνδρῶν ἐνέπρεπε κόμματι· τὴν δ' ἐξηρημένην καλλονὴν καὶ χάριν εὐτύχουν ὅσαι γυναικῶν τοῦ συντάγματος. Ποῖ δ' ἄρα καὶ πότε καὶ ποίων οὐκ ἐν γλώτταις εὐφήμοις κεῖνται καὶ χείλεσι; τίνας οἰκουμένας, ποίας ἀοικήτους ἐρήμας οὐ τοῖς σφετέροις περιλαμβάνουσι κατορθώμασί τε καὶ θαύμασι; Μαρτυρούντων οἵ γε τὰς ἠπείρους οἰκοῦντες, καὶ οἱ ταῖς θαλάτταις διαπλωΐζονται, ὅσοι τοῦ ἀσκητικοῦ καὶ μονάζοντος, καὶ ὅσοι τοῦ μιγάδος ὄχλου καὶ σύγκλυδος· οὓς ὑπερβαλέσθαι πάντας τοσοῦτον σπουδῆς ἐνεδείξαντο, ὥστε, παρθενίας καὶ γάμου πλεῖστον ὅσον ἀπ' ἀλλήλων διῳκισμένων, ἐς ταὐτὸν συνδραμεῖν μόνους τὴν φύσιν βιάσασθαι, εἶναι δὲ μᾶλλον ἄπορον ἑκατέρου μέρους ὁποτέρου λογίσασθαι. Εἰ γὰρ παραθεῖναί τις τοῖς παρθενίαν ἀσκεῖν ἑλομένοις πεῖραν ποιήσαιτο, εὕροι γάμῳ μετρίως ὡμιληκότας, ἐφ' ὅσονοῦν τὴν ἐξ ἀπαιδίας ἀποτρίψεσθαι νέμεσιν· εἰ δ' αὖ γε δὴ τοῖς ὑπὸ ζυγῷ, δι' ἄκραν σωφροσύνην φέροντας παρθένων οὐκ ἔλασσον· ἐφ' ἓν δ' ὁμοῦ συνελὼν, καὶ τοῖς ἐν σαρκὶ φιλοσοφοῦσιν ἀντεξητακὼς ἀσαρκίαν, ὑπεράνω που κειμένοις ἐντεύξεται, καὶ τὰς κοινὰς αἱρέσεις τῶν βίων οἰκεῖον σφίσι πεποιημένοις κατόρθωμα. Αἱ γὰρ ψυχαὶ τῶν θείων ἀνδρῶν, ἐπειδὰν ἐφάπαξ ἀποῤῥαγεῖεν τῆς ὕλης, τῆς τῶν ἐφετῶν ἀκρότητος ἐφαψάμεναι, κατ' οὐδὲν τῶν λυομένων τερπνῶν ἐπιστρέφονται, φιλοπόνως δὲ τὰς ἀρετὰς μετιοῦσαι πρὸς ἓν ἐκεῖνο συντείνουσι, τὴν ἑστῶσαν εἰς αἰῶνας ἀπόλαυσιν. Ἔνθεν τοι καί τις (1) ἀπὸ ποιμαντικῆς ἐπὶ τὴν βασίλειον ἀπήνην ἁλάμενος, καὶ τὴν σύζυγα πρὸς

(1) David scilicet.

προφητείαν μεθαρμοσάμενος, καὶ μετὰ σαρκὸς κατὰ σαρκὸς ὁπλισάμενος, κἀντεῦθεν ἐν ἐκστάσει θείᾳ γενόμενος, ὀπίσω Θεοῦ τῇ ψυχῇ κολληθῆναι (1) φιλοσοφεῖ· καὶ εἰκότως ἄρα. Εἰ γάρ τι τῶν συειρμένων δουλαγωγήσαντες ἔρωτες οὐ ῥαδίως ἀνανεύειν παραχωροῦσιν ἐφ᾽ ἕτερα, πῶς ποθ᾽ ὅ·τι γε πόθος ἑστὼς παραστήσαιτο, κἂν σμικρὸν ἐνδοίη προσχωρῆσαι τοῖς ῥέουσιν; ὀλιγωρεῖν δὲ μᾶλλον ἀναπείθει καὶ τοῦ συνδέσμου, εἴθ᾽ ὡς εἰς κόνιν ἀναλυσομένου μετὰ διάζευξιν, εἴτ᾽ οὖν καὶ ὡς λυμηναμένου τῇ συζυγίᾳ τὴν σύννομον.

Τὸ μὲν ἐς δεῦρο δὴ ῥᾷστα διὰ μιᾶς ὁ λόγος ἐφέρετο, πρὸς ἓν ἐκεῖνο βλέπων, τὴν προκειμένην ὑπόθεσιν· ἐπειδὴ δὲ καὶ τὰ τῶν τῆς Θεοτόκου πατέρων συνέδραμεν ἐνταυθοῖ, καὶ διπλοῦν ἀνέῳγε στάδιον, δυσχεραίνει μὲν πρὸς ἑκατέραν ἅμιλλαν· ἀλλὰ καλῆς προθυμίας ἡττώμενος ἀποδύσασθαι διανίσταται, οὐχ ἧττον ἕξων, οἶμαι, ταύτην συγγνώμονα, εἴπερ ἐφίκοιτ᾽ ἂν τῆς ἀρετῆς ἐκείνων μετρίως, καὶ τὰς ἀπαρχὰς τῶν ἐπαίνων ἀφοσιώσαιτο. Ἀλλὰ γὰρ εἴπετέ μοι συγγνώμονες, ἄνδρες διαιτηταὶ, εἰ, τῶν πραγμάτων ὧδε γενόμενος, μεταξύ τι τῶν ἐγκωμίων ἐκτραγῳδήσαιμι, ἐξὸν τοῖς ἐπιοῦσιν ἀντισηκῶσαι τὰ φθάσαντα, καὶ χρυσῷ περιγανῶσαι τὸν ἄργυρον.

Νόμος τοὺς ἐξ Ἰσραὴλ ἐσωφρόνιζεν, ᾗγε χαλινὸς πώλων ἀναστέλλει θρασύτητα· τὸ γὰρ ἔξω νόμου κεῖσθαι τοὺς ἄλλους καὶ πλανᾶσθαι πόῤῥω Θεοῦ, κἀντεῦθεν βαρείαις περιπίπτειν πληγαῖς, τοῦτο νοῦν ἐκείνοις ἐτίθει· ᾗγε δὴ, κυναρίων ἱμασσομένων, τὰ

(1) Psalm. LXII, 8 : ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου.

πλημμελῆ σκιρτήματα συνετίζονται (1) λέοντες, ἐπειδὰν τῇ φύσει χρησάμενοι πρὸς θηριωδίαν μεταβαῖεν ἐξ ἡμερότητος. Ἦν τοιγαροῦν τῷ νόμῳ παράγγελμα (ἀλλ' οὐκ οἶδ' ὁπόθεν καὶ ὅπως (2), οἷα δικαστὴς ἀδέκαστος προκαθήμενος, τοῖς μὲν ἄλλοις δικαίας ψήφους ἐξήνεγκε καὶ δίκας ἀξίας τοῖς τετολμημένοις ἐπράττετο· τῷ γε μέντοι μετ' ὀλίγον εἰρησομένῳ τύραννος ἦν ἀπότομος καὶ τοὺς ἀνευθύνους ὅσα καὶ ὑπευθύνους ᾐκίζετο, καὶ, λαχὼν καθικνεῖσθαι γνωμῶν πονηρῶν, ἄλλως ἀνδρῶν δεδυστυχηκότων κατεψηφίζετο καὶ γυναίων στειρευόντων κατηυθαδίζετο), ἦν δ' οὖν ὅμως παράγγελμα, εἴ τις γάμῳ μὲν ὡμίλησεν, ἥκιστα δὲ τῶν ἐκ τῆς συναφείας ἀπώνατο δι' ἃ καὶ τὸ γύναιον ἦν ἀγαγόμενος, ὥσθ' ἑκατέρας μοίρας τῆς εἰς παρθενίαν καὶ τεκνογονίαν ἡκούσης ἐκπεπτωκέναι, τοῦτον, κἂν τοῦ πρώτου γένους ἐτύγχανεν ὢν, κἂν παιδείας ἐπιφανὴς, κἂν ἐπιφανέστερος ἀρετῆς, κἂν μελέταις ἐκπεπόνητο θείαις, συμπαθείας ἢ φιλανθρωπίας μηδ' ἡστινοσοῦν ἀξιοῦν, τοὐναντίον μὲν οὖν ἀπεληλάσθαι πανέστιον (3). Ἀμέλει περιβόλων μὲν ἱερῶν ἐκτετόπιστο, πασῶν δὲ θυσιῶν ἐξωστράκιστο, ἀποδεδοκίμαστο τελετῆς, ἀπεψήφιστο προσφορᾶς (4),

(1) Const. Manasses Chron. pag. 56 : Ὡς δὲ πολλὰς καὶ συνεχεῖς πλέξασα παραινέσεις, Καὶ λόγοις συνεπίσασα τοῖς σωφρονιστηρίοις Πλέον ἐπέρανεν οὐδὲν (in Londinensi Stephani Thesauro quod dixi, forsan esse legendum συνεθίσασα, pro indicto haberi velim), τεχνᾶταί τι τοιοῦτον, Θηρεύοι τε τὸν ἀδελφὸν ἀστίαις ἐπινοίαις : scrib. θηρεύει.

(2) Pari formula Epist. 37 : ἡμῖν δ', οὐκ οἶδ' ὅθεν καὶ ὅπως, τὸ λυποῦν ἀμετάβολον. Et sic supra t. II, p. 421, 2.

(3) Codex, πανέστιος, cum dittographia πανέστιον.

(4) Hinc in Protevangelio Jacobi c. 1, quum die festo Israelitæ dona offerrent Deo, et cum aliis ad aram Joachim accederet,

ἱερατικῆς συνουσίας ἀπεῖρκτο, δημοτικῆς, ἀλλοτρίας, συμφυλέτιδος· τί δεῖ μηκύνειν; οὐ τῆς αὐτῆς τραπέζης ἀπεσιτεῖτο, οὐδὲ τῶν αὐτῶν τοῖς ἄλλοις ἁλῶν ἐκοινώνει (1)· πρᾶγμα ἐπιεικῶς ἀνεπίφθονον (2) καὶ ὃ μηδ' ὁ λίαν ἔκνους εὔξαιτ' ἂν πείσεσθαι. Μῶν γὰρ ἦσαν ὧν οὐχ ὁμογνίων μὲν, φιλίων δὲ, ἢ μὴ φιλίων μὲν, ἐφεστίων δὲ τὸ παράπαν ἐτύγχανεν; ἥκιστα· παρ' ὅτων δὲ μᾶλλον ἐκαραδόκει παραμυθίαν, οὐδ' εἴ τις ἐνῆν, οὐκ ἀφήρητο, οὐδένων εὖ διατιθεμένων ἀμφὶ τὸ τοιοῦτο δυσπράγημα, τοὐναντίον δ' οὖν ὕβρεσι πλυνόντων, ἀνόσιον καλούντων, βέβηλον, ἀλιτήριον τοῦ Θεοῦ, ἀρρητοποιῶν οὐδὲν οὐδενὶ διαφέροντα.

Πρὸς ταῦτα τίνα δὴ ψυχὴν οἴεσθε εἶχον, ὁπόθ' ὑμεῖς καὶ πρὸς μόνην ἀκρόασιν ἰλίγγου μεμέστωσθε; Εἰ γάρ τι τῶν ἀπροσδοκήτων ὑπαντῆσαν ἐξαπίνης ἐκστατικὸν, πολλοῦ πάντως, εἰ μὴ καὶ λῷον, ἐκστατικώτερον. Πειρᾶν μὲν οὖν ἀντέχειν, ὦ ἄνδρες, ἠβούλοντο μὲν, οὐδὲν ἑαυτοῖς συνειδότες αὐθαίρετον ἔγκλημα·

ἔστη κατέναντι αὐτοῦ Ῥουβεὶμ ὁ ἀρχιερεὺς λέγων: οὐκ ἔξεστί σοι προσενεγκεῖν τὰ δῶρα σου, καθότι σπέρμα οὐκ ἐποίησας ἐν Ἰσραήλ. Vide ibi Fabric. Quid sit προσφορὰ declarat Anonymus in cod. 1630, p. 201, 9: δεῖ δὲ γινώσκειν ὅτι διαφέρει προσφορὰ, θυσία, δῶρα, ὁλοκαυτώματα. Προσφορὰ μὲν γάρ ἐστιν ἡ προσένεξις ἡ ἀναίμακτος· θυσία δὲ, ἡ μετὰ αἵματος καὶ κρέως· δῶρα δὲ, τὰ ἀναθήματα ἤτοι χαρίσματα· ὁλοκαύτωσις, ἡ ἐξ ὁλοκλήρου τελειουμένη καὶ καιομένη· σπονδὴ δὲ ἡ λοιβὴ, δηλονότι ὁ σταλαγμός. Qui locus excerptus videtur e commentario in Epistolam Apostoli ad Hebr. x, 5, 6, vel Psalmum xxxix, 6.

(1) Jungunt sæpe τράπεζαν καὶ ἅλας, formulamque alibi me illustrare memini. Georgius Lapitha ineditus v. 773: Ἡ δὲ τραπέζης τῆς αὐτῆς καὶ ἁλῶν κοινωνία Τοσοῦτον πᾶσιν ἔδοξεν αἰδέσιμος ἀρχαίοις, Ὡς καὶ νόμον εἰσαγαγεῖν τοὺς κοινωνοὺς τραπέζης Γεγονότας μὴ ἀνελεῖν ἐξεῖναι τὸ παράπαν.

(2) Significatione insolita id posuisse videtur pro ἄζηλον, ἀζήλωτον.

ἠδύναντο δὲ οὐδαμῆ, τῶν πικρῶν κατὰ τῶν τοιούτων λογοθετῶν φάρμακον μὲν οὐδενὸς κεραννύντος, δηλητηρίου δὲ μὴ πεφιδημένου παντός. Τοιγαροῦν ἐταλάνιζον ἑαυτοὺς (1) τῆς ζωῆς, εὐδαιμόνιζον τοὺς οἰχομένους, καὶ ὁ τοῖς πᾶσιν ὁ λαμπρὸς ἥλιος ἥδιστον, μόνοις ἔχθιστον ἐλογίζετο (2). Κἂν μὴ τῆς σῆς φιλανθρωπίας προελήφθησαν, δέσποτα, τάχ' ἂν καὶ διεχειρίσαντο· τηλικοῦτον ἀνάγκη δυσκαταγώνιστον καὶ τῶν ἐσχάτων δεινῶν ἐξευρετικόν.

Ἀλλ' ἐκείνως μὲν τῶν λοιπῶν, ἄλλως δὲ τῶν τῆς Θεοτόκου πατέρων κατεψηφίσατο τὸ παράγγελμα; ἢ μὴν ἄλλως μὲν οὔ, φιλανθρωπότερον δέ; ἢ μὴ φιλανθρωπότερον μέν, μετριώτερον δέ; ἄπαγε· ὅσῳ δὲ γένει καὶ πολιτείᾳ προύχοντες ἦσαν, τοσούτῳ καὶ καθήψατο βιαιότερον, καὶ δριμέσι κατειργάσθησαν ἐξετάσμασιν.

Ἀλλὰ γὰρ ὁρῶ τὸν λόγον οὐχ ἧττον ἤδη συγκαθημμένον καὶ τῶν ὑμετέρων ψυχῶν, καὶ προσταλαιπωρεῖσθαί πως ἀναγκάζοντα· τὸ γάρ τῳ συνημμένον ἐρωτικῶς, ὁπότε καὶ συμπράττειν ἐθέλει τῷ πρὸς ὃ διατέθειται, ὅπως ποτ' ἔχει φίλτρου συνιστᾷν ἰσχυρίζεται.

Ἀλλ' ὁ μὲν τῶν κρειττόνων λόγος ἀναμεινάτω τέως ἔτι μικρόν· ἡμῖν δ' ἐμφιλοχωρητέον τοῖς χείροσι.

Τὸ θαυμάσιον τοῦτο καὶ περιδέξιον ζεῦγος, οὗ τὸν βίον ἧττον ἢ τὰ σώματα, ἄρουραν μὲν ἀγαθὴν τὴν ἀρετὴν ἐργαζόμενοι, ἀρότρῳ δὲ σωφροσύνης βαθείας

(1) Ipse Epist. 77 : ἐγὼ δ' ἐμαυτὸν ταλανίζω, τὴν ἐμὴν δυσδαιμονίαν διανοούμενος.

(2) Vide de Joachimi mœrore Evangelium De nativitate Mariæ et Jacobi Protevangelium.

ἀνοίγοντες αὔλακας (1), τά τε τῆς θεογνωσίας καθαρὰ καταβαλλόμενοι σπέρματα, καὶ συχνοῖς δακρύων ὄμβροις ἐπάρδοντες, τοὺς πνευματικοὺς ἐγεώργουν ἑκατοστεύοντας στάχυας. Ἀλλὰ γὰρ καὶ ἐν ἀμπέλῳ βάτος, καὶ τῷ σίτῳ δέ φασι (2) συναναφύεσθαι τὰ ζιζάνια· συνανεδίδοτο δὴ κἀκείνοις ὁπόσα τῶν ἀπὸ στειρώσεως ἐλαττώματα, δόξαν οὕτω τῇ σοφωτάτῃ προνοίᾳ.

Ἰωακεὶμ τοίνυν, οὐχ ὅπως ῥᾷων ὢν φέρειν ἦν τῷ μή πω συστῆναι πατὴρ προσετρίβετο νέμεσιν, καὶ τὴν ἐφ᾽ ὁτιοῦν σύμμιξιν πέρα παντὸς ᾤετο φορτικοῦ, πρός τε τοῦ εἰρημένου νόμου βαλλόμενος καὶ τὴν φύσιν ὥσπερ ἐπαισχυνόμενος, ὁρῶν δὲ λόχμαις ἐνεχωρίαζε, καὶ τοῖς, ὅσα ζώων βαθείαις ὕλαις ἐντέθραπτο, κομιδῇ συνανεστρέφετο, καὶ, πάτον ἀλεείνων ἀνθρώπων (3), μετὰ Δαυὶδ ὡς στρουθίον μεταναστεύων (4), ἐρημαίοις λόφοις ηὐλίζετο (5), τά τε τῆς ὑπομονῆς συμφιλοσοφῶν καὶ τὸν ἀπὸ καταιγίδος (6) σώζοντα προσδεχόμενος. Οὕτω δὲ τῶν οἴκοι μετανιστάμενος καὶ τῶν

(1) Respicit, quem multi respexerunt, Æschyli versum de Amphiarao : Βαθεῖαν ἄλοκα διὰ φρενῶν καρπούμενος, Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα. Quem posteriorem versum suum fecit Anonymus de S. Theodoro 39 : Ἔτρωσας αὖθις εἰς κεφαλὴν ἀγρίαν, Ἐξ ἧς τὰ λοξὰ βλαστάνει βουλεύματα.

(2) Notula in margine : παροιμία. Allusio ad locum Matthæi XIII, 25. Const. Manasses Chron. pag. 55 : Οὗτος ὁ Θεοδόσιος τἄλλα μὲν ἦν ἀστεῖος, Χαρίεις, μεγαλόδωρος, βίβλοις ἀεὶ σχολάζων· Ἀλλὰ τοῖς προτερήμασιν εἶχε συναναβαίνων Καί τι κακὸν ζιζάνιον· codex melius, συναναβαῖνον.

(3) Homerus Il. Z, 201, de Bellerophonte : ἀλᾶτο Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

(4) Psalm. X, 2 : μεταναστεύω ἐπὶ τὰ ὄρη ὡς στρουθίον.

(5) Protevangelium Jacobi c. 2 : ἐλυπήθη Ἰωακεὶμ σφόδρα... ἔδωκεν ἑαυτὸν εἰς τὸν ἔρημον καὶ ἔπηξε τὴν σκευὴν αὐτοῦ ἐκεῖ. Lego, σκηνήν.

(6) Est et hic aliquid biblicæ imitationis; frequens est enim nomen in Bibliis καταιγίς.

τοῦ βίου συλλήβδην ἀπανιστάμενος, ὑπῆγε δούλην τὴν σάρκα τῷ πνεύματι. Ῥᾷστα μὲν τὸ βαρὺ τῆς ὕλης ὑπολυόμενος, ῥᾷστα δὲ τοῖν ποδοῖν τὸν ἐκ προσπαθείας ῥύπον θερμοῖς ἀπονιζόμενος δάκρυσιν, ὡραίων δὲ τοῦ λοιποῦ δεικνυμένων καὶ τὴν γῆν τῆς ἀπαθείας πατούντων, ἢ τάχος τοῖς τοῦ νοῦ πτεροῖς πρὸς τὸν πρῶτον νοῦν ὑπερίπτατο, πυκναῖς ἐντεύξεσι χρώμενος.

Ἡ γε μὴν σύζυγος, οὐκ ἐξὸν ἐκχωριάζειν αὐτῇ οὔτ' ὀρέων ἐπιβαίνειν, εἰργομένη φύσει καὶ γήρᾳ (1), ἀναγκαίως οἴκοι διέτριβε, κατ' οὐδὲν ἑτέρας ἐχομένη τἀνδρὶ διαθέσεως. Κἂν γὰρ τόπῳ διωριζέσθην, τρόπῳ συνεβαινέτην, καὶ πρὸς ἕνα σκοπὸν ἀπηυθύνοντο. Οὔκουν ἠμέλει μὲν τῶν πρὸς τὴν οἰκείαν κατάστασιν· οὐδενός· ἀλλ', εἰ μή τοι προσεπινοήσοι καὶ πλείω, ἀγεννὲς ἡγεῖτο καὶ ἀνελεύθερον· οὕτω μεγαλόψυχον ἑαυτὴν τῷ οἷς μὲν ἔπασχε φέρειν, οἷς δ' ἔφερε προστιθέναι, καὶ προχωρεῖν ἑκατέρωθεν, ἐφιλοσόφει παρέχεσθαι. Οὔκουν ἐπὶ τῷ χωρίῳ χαρίεντι (ὡραῖος τὸ χωρίον ἐν γειτόνων (2) παράδεισος) φέρουσα συνέκλειεν ἑαυτὴν, οὐκ ἐφ' ᾧ τοῖς ἐνοῦσι τερπνοῖς ἐντρυφᾷν, ἐφ' ᾧ δὲ σποδὸν ὡς ἄρτον ἐσθίειν, καὶ κιρνᾷν τὸ πόμα κλαυθμῷ (3). Οὐδὲ γὰρ ὥσπερ ἐν ἑτέροις,

(1) Videtur fuisse olim duplex lectio γήρει et γήρᾳ, et illa in ipso textu; hæc nunc tantum superest. Γήρει est in Nostri epistola 43. Cf. t. II, p. XV.

(2) Meminit et illius horti Epiphanius t. II, p. 292: Ἰωακεὶμ καὶ ἐν τῷ ὄρει ηὔχετο, καὶ Ἄννα ἐν τῷ παραδείσῳ αὐτῆς.

(3) Psalm. CI, 9: ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Noster eodem respiciens Epist. 55: ἐχθροὺς ....χοῦν τὸν ὑποπόδιον λείχοντας, σποδὸν τρυφῶντας ὡς ἄρτον καὶ πόμα δάκρυα πίνοντας. Et notandum ibi etiam respici Psalm. LXXI, 9: οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

οὕτω κἀνταῦθα τὴν σεμνὴν ἐμιμεῖτο Σωσάνναν καὶ σώφρονα (1). Σωσάννῃ μὲν γὰρ ἐπὶ χρέει χλιδῆς ὁ παράδεισος (2)· Ἄννῃ δὲ κἂν προτέρῳ κείμενος ἦν τοῦ Σωσάννης, κἂν πολλῷ χαριέστατος, καὶ τὰ πρῶτα φέρων (3) κατὰ παντὸς, οὐδὲν ἱερὸν (4) πρὸς Ἄννης λελόγιστο.

Ἀλλ' ὁ μὲν περὶ ἐκείνου λόγους ἰδιαιτάτως ἂν ἐκφρασθείη (5)· ἡμῖν δὲ καιρὸς τῶν κρειττόνων ἐφάψασθαι.

Ὡς ὄντως οὐκ ἐπελάθετό σου Θεὸς, ἱερὰ ξυνωρίς! Οὐ τεραστίων ὑπερεῖδε τῶν εἰωθότων, οὐδὲ θαυμασίων τῶν ἐφθακότων· ἀλλὰ καὶ νῦν ἤδη μετὰ λαμπροτέρων ἐφίσταται, καί γε δὴ παραδοξοτέρων. Ἀλλὰ βαβαί! πῶς ἂν χρησαίμην ἀξίως τῷ λόγῳ; πῶς δ' ἐγχειρησαίμην δεόντως τῷ διηγήματι; προφθάνει γὰρ τῶν πραγμάτων τὸ μέγεθος τὴν τῶν ῥημάτων ἰσχύν. Σπείρει (6) μὲν, ὦ ἄνδρες, ὁ μέγας Ἰωακεὶμ, συλλαμβάνει δ' ἡ χάρις Ἄννα, καὶ ἀποτίκτει τὴν ὑπέραγνον

(1) Ordo foret iste melior : *τὴν σεμνὴν καὶ σώφρονα Σωσάνναν ἐμιμεῖτο*· vel, *τ. σ. ἐμ. καὶ σώφρονα Σωσ.*

(2) De horto Susannæ vide Susannæ librum seu Danielis cap. XIII.

(3) Infra p. 37, *δεύτερα φέρουσα*. De usu activi pro medio in hac loquutione egi ad Aristoph. Eq. 568.

(4) Notula marginalis: *παροιμία*. Et est apud parœmiographos proverbium, *οὐδὲν ἱερόν*. Libanius Epist. 351 : *ἆρ' ἂν ἀνάξιοι τιμωμένης τῆς ἀληθείας; οὐδὲν ἱερὸν, φασί.* Theodorus noster Epist. 8 : *Ἑρμῆς δὲ καὶ Μοῦσαι καὶ λόγοι οὐδὲν ἱερὸν, οὐδέν τι πρὸς ἄλφιτα.* Utetur et infra, p. 68, eodem proverbio.

(5) Descripsit Annæ hortum oratione proximo loco edenda.

(6) Si non tam nude dixisset rem, se mihi quidem probaret magis. Sed nec periphrasi uti placuit Joanni Damasc. t. II, p. 842 : *ὦ ὀσφὺς τοῦ Ἰωακεὶμ παμμακάριστε, ἐξ ἧς κατεβλήθη σπέρμα πανάμωμον! ὦ μήτρα τῆς Ἄννης ἀοίδιμε, ἐν ᾗ ὁ παῖς κατὰ μικρὸν ἐξ αὐτῆς προσθήκαις ηὐξήθη καὶ διαμορφωθὲν ἐτέχθη βρέφος πανάγιον!* Concionator hodie talia non ausit.

Μαριὰμ, Μαριὰμ τὴν ὡς ἀληθῶς κυρίαν τῆς κτίσεως, καὶ φωτὶ θείῳ περιαστράπτουσαν οὐρανὸν ὁμοῦ καὶ γῆν καὶ τὰ σύμπαντα (1), Μαριὰμ τὸ κοινωφελὲς καλὸν καὶ μέγα σωτήριον, τὸν ἀῤῥαβῶνα τῆς τῶν ἀκηράτων ἀγαθῶν ἀπολαύσεως, καὶ πρὸς τὴν προτέραν ἀξίαν ἡμετέραν ἀποκατάστασιν. Ἔδει καὶ γάρ, ὥσπερ τῷ τῆς κακίας προστάτῃ, δόξαν καταστρατηγῆσαι τὴν φύσιν, ἵν', ὡς μὴ ὤφελε, τοῖς τοῦ καλοῦ συληθεῖσι δορυφορηθῇ καὶ αὐτὸς, συνεργὸς ἐκλάπη γυνὴ, οὕτω δὴ, δεῆσαν καὶ τῷ Θεῷ τὸν κοινὸν πολέμιον καθελεῖν, τὸν δι' ἡττηθέντα πρὸς τὴν ἀρχαίαν εὐγένειαν ἐπαναγαγεῖν, παρθένον κόρην τοῦ μεγάλου μυστηρίου παραληφθῆναι διάκονον, ἵν' ὅθεν τὸ τῆς ἀπωλείας ἀνεφύη ζιζάνιον, ἐκεῖθεν τὸ τῆς σωτηρίας ἀναθήλῃ γεώργιον, καὶ τὸ τὴν ἀῤῥωστίαν ἐνέγκαν ἀντεισενέγκῃ τὴν ἰατρείαν (ὅ φασι δρᾷν τὰς ἐχίδνας, ὥσπερ ἐπῃσχυμένας, εἰ μὴ τὰ σφέτερα φαρμάγματα φαρμακεύσαιεν), καὶ ὁ δελεάσας ἐλπίδι θεώσεως (2) δελεασθῇ, ἀπαγχθῇ δὲ μᾶλλον ἀγκίστρῳ σαρ-

(1) Allusit ad vim nominis Hebraici. Lexicon N. T. ab Albertio editum : Μαριάμ, κυριεύουσα· Μαριάμ, φωτίζουσα. Gregor. Thessal. Homilia in Annuntiat. p. 76 : τὸ ὄνομα, φησὶ, τῆς παρθένου Μαριάμ· τοῦτο δὲ ἑρμηνεύεται κυρία. Epiphanius t. II, pag. 292 : ἡ γὰρ Μαρία ἑρμηνεύεται κυρία, ἀλλὰ καὶ ἐλπίς· κύριον γὰρ ἔτεκε τὴν ἐλπίδα τοῦ παντὸς κόσμου, Χριστόν. Pariter Jo. Damascenus loco laudato supra p. 12 : « *Gratia* (nam hoc sonat » Annæ vocabulum) *dominam* » parit : id enim Mariæ nomine » significatur. Vere etenim re» rum omnium conditarum do» mina facta est, cum creatoris » mater exstitit. » Quæ Damasceni Hyrtacenus imitatus esse videtur. Addam ex eodem tom. II, p. 853 : χαῖρε, Μαρία, ἤτοι μυρία, διὰ τὸ ἀπειροπληθὲς τῶν ἐγκωμίων· μυρία γὰρ εἰπὼν περὶ σοῦ τις οὐκ ἂν ἐφίκοιτο τῆς ἀξίας· χαῖρε, κυρία, ὡς τοῦ τῶν ὅλων κυρίου μητροπρεπῶς τὴν κυρείαν εἰληφυῖα, ἧς τὰ σύμπαντα δοῦλά τις φήσας οὐκ ἀπὸ σκοποῦ βάλλοι τὸν λόγον.

(2) Genes. III, 5.

κώσεως, καὶ, κατενεχθεὶς πτῶμα ἐξαίσιον, γνῷ, τὴν τυραννίδα καταλυθεὶς, εἰκῇ τὸν κρείττω δουλαγωγῶν.

Ἐντεῦθεν ἄρχεται μὲν Ἄννα μήτηρ καλεῖσθαι, Ἰωακεὶμ δὲ πατήρ· συνάρχεται δ' οὐδὲν ἧττον καὶ τὰ δεύτερα δεσμὰ τῆς στειρώσεως, πολλῷ βιαιότερα τῶν προτέρων. Ἐκεῖνα μὲν γὰρ ἐξῆν πως καὶ διαλέλυτο· ταῦτα δ' ἐφικτὸν οὐδαμῇ, οἱονεὶ τῆς φύσεως ἀπαγορευούσης μηκέτι τοιόνδε τόκον προενεγκεῖν.

Ἐντεῦθεν ὡς ἀπ' ἀργυρίτιδος (1) γῆς τῆς πρεσβύτιδος ἄσταχυς ἐμεταλλεύθη χρυσοῦς, ἄμφω καλὼ προϊσχόμενος, ἄρτον μὲν φυράσειν οὐράνιον, ψυχαῖς λιμωττούσαις πνευματικὴν τροφὴν διαθρύψοντα, ἐς γῆν δὲ τὸν καρπὸν καθαιρήσειν τῆς παραβάσεως.

Ἐντεῦθεν ὁ νοητὸς φυτουργεῖται παράδεισος, ἵν' ἐπαναγάγῃ πρὸς τὸν ὁρώμενον, καὶ, ὃν ἔκλεισεν Εὔα συμβουλίᾳ πρότερον ὄφεως, διὰ χρηστῆς ἀνοίξῃ προνοίας ἡ τῆς Εὔας ἀπόγονος δευτέρα.

Ἐντεῦθεν οὐκ ἐκ πλευρᾶς ἄῤῥενος θῆλυ, τοὐναντίον δ' ἐκ θήλεος καὶ παρθενικῶν αἱμάτων ἄῤῥεν ὁ νέος Ἀδὰμ (2) προελθεῖν προμνηστεύεται· ἐκείνως μὲν γὰρ διὰ τῆς Εὔας ὠδινήσειν ὁ φθόνος θάνατον ἔμελλεν· οὕτω δὲ διὰ τῆς παρθένου ζωὴν ἔδει προενεχθήσεσθαι, διὰ δ' αὖ θανάτου ζωῆς ζωὴν προκύψειν ἀθάνατον.

Ἐντεῦθεν ἡ νέα τοῦ μαρτυρίου σκηνὴ (3) τῷ μεγάλῳ Βεσελεὴλ (4) ἀρχιτεκτονεῖται συνεργίᾳ τοῦ

(1) Corruptus est Moschopulus Π. σχ. p. 41, in nomine vicino: χρυσῆτις γῆ, ἡ ψῆγμα χρυσοῦ ἔχουσα. Rescrib. χρυσῖτις, ut est in cod. 2599.

(2) Stylo patrum mystico Christus sæpius novus Adam vocatur.

(3) Et Joannes Damasc. Mariam allegorice tabernaculum testimonii nuncupat, t. II, p. 854: χαῖρε, σκηνὴ, ὁ θεότητος πόλος...

(4) Exod. XXXI, 2, et alibi.

πνεύματος, καὶ τῇ καινῇ διαθήκῃ κιβωτὸς (1) καινοτέρα συμπήγνυται, ὡς κατακλυσθείη μὲν τὰ τῆς πρώτης κακίας ἀπόγονα, τῇ μεγάλῃ δὲ τῆς χάριτος κιβωτῷ περιφρουρηθείη τὰ τοῦ πρώτου Νῶε (2) τέκνα, Θεοῦ κόσμον καινουργήσοντα δεύτερον.

Ἐντεῦθεν τῷ θείῳ μάννᾳ καὶ ζωτικῷ στάμνος σφυρηλατεῖται χρυσῆ (3), καὶ μυστικὴ τῷ μυστικῷ ἄρτῳ διατορνεύεται τράπεζα (4).

Τὸ θαυμάσιον ὀσφράδιον, ἐξ Ἀραβικῶν ἀρωμάτων συντίθεται, ἵν' ἐκ μέσου τὴν κοσμικὴν δυσωδίαν διασκεδάσῃ, καὶ, τὴν ἐκκλησίαν εὐωδιάσαν Χριστοῦ, τοὺς κατὰ Χριστοῦ δογματίζοντας ὡς κοπρογενεῖς (5) ἀποπνίξῃ κανθάρους.

Τὸ ἱερὸν καλλιτεχνεῖται θυμιατήριον (6), ἐφ' ᾧ τὴν ὡραίαν νύμφην Θεοῦ (ἡ νέα δ' Ἱερουσαλὴμ αὕτη), τὸν ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων (7) μεμνηστευμένην νυμφίον, εὐωδίας πληρώσει (8) πνευμα-

(1) Epiphanius similiter t. II, pag. 293 : χαῖρε, κεχαριτωμένη, ἡ νοερὰ τῆς δόξης κιβωτός. Jesus, apud Gregorium Thaumat. p. 94, Gabrielem alloquens : λάλησον εἰς τὰ ὦτα τῆς λογικῆς κιβωτοῦ.

(2) Imo δευτέρου, vel νέου Νῶε. Joannes Dam. tom. II, pag. 854 : χαῖρε, κιβωτὲ, τὸ θεόδμητον στέγος, ἡ τοῦ νεοκτίστου κόσμου ταμία, ἀφ' ἧς ἔξεισι Χριστὸς, ὁ νέος Νῶε, πληρῶν τὸν ἄνω κόσμον τῇ ἀφθαρσίᾳ.

(3) Cf. Exod. XVI, 33; XXV, 23. Ac ludit circa similes allegorias Joannes Damasc. l. c. : χαῖρε, στάμνε, τὸ χρυσόπλαστον ἄγγος, ἡ παντὸς ἄγγους ἐξωχισμένη, ἀφ' ἧς μαννοδοτεῖται ἅπας ὁ κόσμος... Epiphanius etiam t. II, p. 293 : χαῖρε, κεχαριτωμένη, ἡ στάμνος ἡ χρυσῆ τὸν οὐράνιον ἔχουσα μάννα.

(4) Damasc. l. c. : χαῖρε, τράπεζα. Philes, ut puto, ineditus, in cod. 1630, p. 43, 2 : α'. Χρυσοῦ λόγου τράπεζα τοῦ ζῶντος, κόρη, Καὶ σωματικῶς καὶ ψυχικῶς με τρέφε. — β'. Σὺ τοῦ λόγου τράπεζα, κἀγὼ σὸς κύων· Τῶν θαυμάτων πρόσριπτε, παρθένε, ψίχας.

(5) Codex, κοπρογεννεῖς.

(6) Iterum Jo. Damasc. : χαῖρε, θυμιατήριον, τὸ σκεῦος τὸ χρυσόνουν, ἡ τὸν θεῖον ἄνθρακα ἔνδον φέρουσα.

(7) Psalm. XLIV, 2.

(8) Cum ἐφ' ᾧ, qua de formula

τικῆς· καλλιτεχνεῖται δ' οὖν, οὐκοῦν ἐξ εὐροίζου (1) καὶ ἀκιβδήλου χρυσίου, οὐδὲ λίθων καὶ μαργάρων Ἰνδῶν, ἀλλ' οὐρανίων ἀνθράκων καὶ μαργάρων διαφανῶν, ἐκ πνευματικῶν ἀστεραπῶν σφαιρουμένων.

Τὴν θεαυγῆ λυχνίαν (2) ἀναφλέγει τὸ φῶς, ἵν' οἱ τὰς τῆς ψυχῆς ἐσβεσμένοι λαμπάδας πρὸς φῶς νοερὸν ἀναβλέψαιεν.

Στύλος ὁ τοῦ πυρὸς μὲν ἀνάπτεται, ὁ τῆς νεφέλης δὲ συσκιάζεται (3), ἵν' ὁ φεύγων τὴν σκυθρωπὴν καὶ διώκτειαν Αἴγυπτον (4) νυκτὸς καὶ ἡμέρας ὡδηγημένος πρὸς Ἱερουσαλὴμ τὴν ἄνω διαβιβάζηται.

Τὸ πῦρ φυτεύει τὴν βάτον (5), ὥστ' ἐμφυὲν μηδέν τι μέρος ἐκείνῃ διαλυμήναιτο, τὴν κεντροφόρον δ' ὅλην ὑλομανοῦσαν κακίαν καταναμήσαιτο.

vide notas ad Nicetam Eugen. pp. 53, 439, sæpissime infinitivus aliis, ac ipsi Theodoro, adhibitus est. Hinc conjecerit forsan lector πληρώσειν. Sed Epicurus Diog. Laert. x, 17, cum indicativo scripsit : ἐφ' ᾧ παρέξουσιν.

(1) De auro εὐροίζῳ conf. nota ad Aristæn. p. 310. Joannes Damasc. t. II, p. 857, compellans Virginem : χαῖρε, λυχνία, τὸ χρυσοῦν τῆς παρθενίας σκεῦος καὶ εὔριζον· latinus interpres εὔριζον « firmum » vertit. Rescribendum omnino εὔροιζον. Id adjectivum a librariis esse male habitum ostendi et in Notit. Mss. t. XI, part. II, p. 257.

(2) Exod. XXV, 31. Vide locum Joannis Dam. in nota superiore. Epiphanius t. II, p. 296 : ὦ λυχνία παρθενική, ἡ τὸ σκότος ἀπελαύνουσα...

(3) Exod. XIII, 21. Joannes Dam. ibid. : χαῖρε, νεφέλη φωτὸς, ἡ ἐν ἐρήμῳ τῷ βίου πρεσβευτικῶς τὸν νέον Ἰσραὴλ σκιάζουσα....

(4) Imitatur Gregorium Naz. Orat. XLII, p. 686 : Αἴγυπτον φεύγομεν, τὴν σκυθρωπὴν καὶ διώκτειαν ἁμαρτίαν. Vide pag. 35, n. 2, et Addenda ad calcem voluminis.

(5) Gregorius Thessalonicensis, Homilia in Annuntiationem pag. 83, pari allegoria miraculum rubi ardentis (Exod. III) et Isaïci forcipis (Isai. VI) ad Mariam transtulit : τίς δ' οὐκ οἶδεν, ὡς ἡ παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καὶ αὕτη ἡ λαβίς ἐστιν, ἐν ἑαυτῇ τὸ θεῖον πῦρ ἀπυρπολήτως συλλαβοῦσα; Et Damascenus usque præludens : χαῖρε, βάτε, τὸ πυρίπλοκον θαῦμα, ἡ κατὰ στέρησιν ἄβατος τῇ ἁμαρτίᾳ.

Τὸ φῶς χαλκεύει τὸν δίσκον ἡλίου, ὡς ἂν, ἀπερίγραπτον ὄν, καιροῦ καλοῦντος, περιγραφῇ.

Λαξεύει τὸ πνεῦμα τὴν πλάκα, οὐ γράμμα νομικὸν δεξομένην (1), ἢ σκιὰν εἰκονίσειν τοῦ μέλλοντος, ὡς ἂν δι' ὁ λόγος ἀνυποστάτως ὁ ζῶν ἐγγραφῇ καὶ πρὸς βάθος ἐνσημανθῇ καρδιῶν, οὐδέποτ' ἐκεῖθεν ἀπαλειψόμενος, οὐδ' ἀποξεσόμενος, οὐδ' αὐταῖς πλαξὶ συντριψόμενος (2).

Καλλιγραφεῖ (3) τὸν τόμον ὁ Λόγος, ἀναγνωσθῆναι τὸ μέγα καὶ ἀπ' αἰῶνος ἀπόκρυφον (4) καὶ Ἀγγέλοις μυστήριον ἄγνωστον, ἀνθρώποις ἐπὶ τέλει τῶν διωρισμένων αἰώνων ποσῷ καὶ χρόνῳ καὶ ἀριθμῷ, καὶ Θεοῦ βουλὴν ἐκκαλυφθῆναι ἀπόῤῥητον.

Ἀαρὼν ἡ ῥάβδος (5) ἄνθος προβάλλεται, ὡς ἂν, δι' αὐτῆς ἀναβὰν (6), καρπὸν ὡραῖον σωτηρίας ἡμῖν προμνηστεύσηται, καὶ τὴν πρὶν ἐρήμην θεογνωσίας ἐθνῶν ἐκκλησίαν τὸν ὀρθὸν ἐξανθήσειν λόγον εὐαγγελίσηται.

Τοῦ Γεδεὼν ὁ πόκος προευτρεπίζεται, ὡς ἂν δι' αἰνιγμάτων τριττὰ καινουργηθεῖεν ἐξαίσια· πρῶτον μὲν τὸ τὴν θέσιν τῆς ἅλω, τὸν περίγειον δηλαδὴ κύκλον (7), τηρηθῆναι ξηρὸν, ἐπὶ τὸν πόκον δὲ μόνον (ὁ τῶν Ἑβραίων οὗτος λαός) τῆς θεογνωσίας ψεκασθῆναι τὴν δρόσον (8), εἶτ' ἀποθλιβέντος λεκάνην ὕδατος

(1) Exod. XXXIV, 1.

(2) Exod. XXXII, 19.

(3) Allusio ad tabulas illas testimonii, γεγραμμένας τῷ δακτύλῳ τοῦ Θεοῦ: Exod. XXXI, 18.

(4) Epist. ad Coloss. I, 26: τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ.

(5) Cod. ῥαβος, cum lineola, quasi esset nomen proprium: sed vide Num. XVII, 8.

(6) Conf. locus Isaiæ supra p. 11, n. 4.

(7) Conf. p. 9, n. 3.

(8) Joannes Damasc. tom. II, pag. 856: χαῖρε, πόκε, τὸ περὶ τὸν Γεδεὼν νίκης σύμβολον, ἐξ ἧς ἀπῤ-

πληρωθῆναι· δεύτερον δὲ, τὸ συμβῆναι τοῖς προτέροις ἀντίστροφα· τρίτον δ' αὖ καὶ πρῶτον, τὸ συνδραμεῖν ἐφ' ἓν ἄμφω, καὶ τὴν ζωηφόρον δρόσον, Θεὸν, ὡς ὑετὸν, ἐπὶ πόκον καταβῆναι, τὴν Θεοτόκον, ἀψοφητὶ, τὰς ἀγγελικὰς λαθόντα δυνάμεις, καὶ τὴν γῆν μὲν πᾶσαν Θεοῦ γνώσεως πληρωθῆναι, ἄνικμον δὲ μεῖναι τὸν πρώτως θεοσεβεῖν λαὸν προελόμενον.

Ἑτοιμάζεται τὸ πῖον ὄρος (1) καὶ δασὺ καὶ κατάσκιον, ἵν' ἀποῤῥαγεὶς ὁ λίθος ἄνευ χειρὸς (2) συντρίψῃ μὲν ὡς κεραμέως σκεύη (3) τὰ τῶν εἰδωλείων στεῤῥὰ μηχανήματα, χρηματίσῃ δὲ τοῖς ἐπ' ὄρους ἀναβεβηκόσι κατὰ Μωσέα, τοῖς κατ' ἐμὲ δὲ συρομένοις περὶ τὰ κάτω καὶ χαμερπῆ οὐδὲν ἧττον προσομιλήσῃ διὰ σαρκός.

Ὁ φρικτὸς ἄνθραξ τὴν μυστικὴν λαβίδα (4) ἱερουργεῖ, ἐφ' ᾧ καὶ τὸν κόσμον ἀνακαθῆραι τῆς ἁμαρτίας καὶ τῶν ἐθνῶν χρηματίσαι· διδάσκαλος, εἴ τις καθ' Ἡσαΐαν ἀξίως κεκάθαρται.

Τί μοι δεῖ λόγων μακρῶν, καὶ τεραστίων νήχεσθαι θάλατταν, καθάπερ οἱ λιμένος ἐξοκείλαντες (5) καὶ

ῥύη τρεπτικῶς ἡ ἀθάνατος. Antiphona in officio Mariæ sabbatino ad laudes : « quando natus es ineffabiliter ex virgine, tunc impletæ sunt scripturæ; sicut pluvia in vellus descendisti, ut salvum faceres genus humanum. » Cf. locus Bernardi infra p. 31, n. 1.

(1) Psalm. LXVII, 15 : ὄρος τοῦ Θεοῦ ὄρος πῖον. Innuitur mons Sina.

(2) Daniel II, 34 : ἐθεώρεις ἕως ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν. Eadem allegoria in Epiphanio t. II, p. 294 : ἰδοὺ... τὸ ἀλατόμητον ὄρος, ἡ τὴν ἀκρότομον ἔχουσα πέτραν Χριστόν· περὶ ἧς ὁ σοφώτατος Δανιὴλ λέγει : « ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν· » τουτέστιν ἄνευ ἀνδρὸς τὴν στερεὰν πέτραν Χριστὸν ἔτικτεν ἡ παρθένος. Pro ἀκρότομον puto legendum ἀχειρότομον.

(3) Psalm. II, 9 : ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς.

(4) Isai. VI, 6; cf. et p. 24, n. 5.

(5) Nonnullis in locis episto-

πρὸς ἀχανὲς καταιγιζόμενοι πέλαγος; Οἰκοδομεῖ τὴν ἔμψυχον πόλιν ὁ βασιλεύς, περὶ ἧς δεδοξασμένα τοῖς προφήταις καὶ θεόπταις (1) λελάληται.

Ἀλλ' ἅττα μὲν καὶ ὅσα καιροῖς διαφόροις καὶ λόγοις προεῖδόν τε καὶ προήγγειλαν, πολυτρόπως ἐλλαμφθέντες καὶ κινηθέντες τῷ πνεύματι καὶ πρὸς μέτρον, οἶμαι, τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος, οὐ τῆς ἀνὰ χεῖρας πραγματείας διεξιέναι· ἅττα δ' ἂν αὐτὴ περὶ ἑαυτῆς προτεθέσπικε, καὶ ὧν αὐτουργὸς κεχρημάτικε, λήθης παραδοῦναι βυθῷ (2), καὶ παραπέμψαι σιγῇ τὰ μακρᾶς ἄξια μνήμης, οὔτ' ἂν εὐαγὲς τῷ μελέτην τιθεμένῳ μὴ τὰ θεῖα καὶ μεγάλα σιγᾷν, καὶ τοῖς ἀκριβῶς εἰδέναι σπουδάζουσι ζημίας μεγίστης ἐπέκεινα. Εἰ γὰρ ἐνεῖναι ταύτῃ τις καὶ τὸ τῆς προφητείας συζητοίη σεμνόν, οἷα δὴ τῶν ὑψηλῶν χαρισμάτων τοῦ πνεύματος ὑψηλότερον, καὶ τοῦ μέρους τοῦδε δεινὸς συζητητὴς προκαθέζεται, ἴστω τῶν ἐνόντων αὐτῇ πλεονεκτημάτων τοῦτ' εἶναι τοὐλάχιστον· ὅμως δ' οὖν σκοπείτω τὸν θειότατον ἐκεῖνον μακαρισμόν, ὃν οὐ πρὸς ἐλάσσονος ἔθνους καὶ

larum Hyrtacenus ea est usus metaphora. Epist. 63 : *φροντὶς μή ποτ' ἐξοκείλαντι τοῦ λιμένος περιπεσεῖν ναυαγίοις*. Cf. Epist. 39.

(1) Psalm. LXXXVI, 3, *δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις Θεοῦ.* Troparium odæ quintæ officii acathisti : *χαῖρε, πόλις τοῦ παμβασιλέως, δεδοξασμένα καὶ ἀξιάκουστα περὶ ἧς λελάληται σαφῶς*. Et multa alia ad illustrationem ejus sermonis facientia ex officio Græco Deiparæ peti possunt.

(2) Sic Epist. 5 : *ὡς μή ποτ' ἂν ἐξίτηλα τῷ χρόνῳ γένοιτο τὰ καλά, μηδὲ παραρρυῇ λήθης ἀμαυρωθέντα βυθῷ·* quæ sunt iis simillima quæ dixit t. I, p. 288. Rursus Epist. 55 : *τοιγαροῦν ἀνθαιροῦμαι λέγειν, ὡς μὴ τῷ μακρῷ χρόνῳ συγκρυβῇ τὰ καλά, μηδὲ βυθῷ λήθης παραρρυῇ*. Niceph. Gregoras Hist. III, 3, 5 : *τοὺς δὲ...ὅρκους..... λήθης ἀπολαβόντες βυθοὶ καὶ πλημμύραι διέφθειραν.* Idem VIII, 4, 5; XI, II, 5. Cf. not. t. I, p. 360.

μέρους τῆς οἰκουμένης σμικροῦ, οὐδ᾽ ἐπὶ χρόνον βραχὺν, πρὸς δ᾽ οὖν ἁπασῶν γενεῶν καὶ παντὸς αἰῶνος εἰληφέναι προεπηγγείλατο (1). Καὶ μή ποτ᾽ ἆρα τῆς προφητείας διήμαρτε; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ, τῶν μὲν ἄλλων, ὅτι τὸ (2) νεκρὸν τῆς ὕλης ὑπόδημα διὰ Θεὸν ὑπελύσαντο (3) καὶ, πράξεως ἀναπτάντες πτεροῖς, πρὸς θεωρίαν παρακεκύφασι καὶ συνεῖναι Θεῷ κατηξίωνται, μακαρίων προσηγορευμένων τῆς ἀναβάσεως, αὕτη γε μὴ μόνον ἁπλῶς μακαρία, ἀλλ᾽, ὡς τῶν τιμίων Χερουβὶμ τιμιωτέρα καὶ τῶν ἐνδόξων Σεραφὶμ ἐνδοξοτέρα, οὕτω δὴ καὶ τῶν μακαρίων ἀσυγκρίτως (4) μακαριωτέρα καὶ γίγνεται καὶ ἀκούει καὶ ἔστι, καὶ τοσοῦτον δῆτα ὅσον οἱ μὲν τὸν ἡγεμόνα νοῦν ἐλλαμφθέντες τῷ πνεύματι τὸ περιελλάμψαν ἀμυδρῶς ἐφαντάσθησαν (ὀκνῶ γὰρ εἰπεῖν, τρανῶς ἑωράκεσαν), ταύτῃ δὲ τὸ μὲν δι᾽ ὑπερβάλλουσαν ἐλήλυθε καθαρότητα, δύναμις δὲ τοῦ ὑψίστου οὐσιωδῶς ἐπεσκίασε καὶ ἐνῴκησε (5).

Παρέστω μοι Δαυὶδ ὁ πολὺς προφήτης καὶ βασιλεὺς, καὶ συμπανηγυριζέτω πανηγυρίζοντι· καὶ, τοῦτο μὲν τὰ τῆς οἰκονομίας μυσταγωγούμενος, ἐκεῖνο δὲ τὴν θυγατέρα τιμῶν τὰ μεγάλα, τιμώμενος δὲ μᾶλλον τὰ μείζω (πολλῶν γὰρ αὐτῷ παρόντων σεμνῶν, ἐπ᾽ οὐδενὶ τοσοῦτον ἔστι σεμνύνεσθαι, ὅσον τῷ

(1) Maria ap. Luc. I, 48 : ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

(2) Verba ὅτι τὸ scripsi e conjectura. Supersunt vix apices.

(3) Est allusio ad Mosen (Exod. III, 5), qui, terram sanctam calcaturus, solvit de pedibus suis calceamentum. Cf. Gregor. Naz. Orat. XLII, p. 689.

(4) Conf. pag. 1, n. 2.

(5) Gabriel ad Mariam apud Luc. I, 35 : πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι.

δι' αὐτὴν Θεοπάτωρ (1) καλεῖσθαι), εὖ ποιῶν εὐαγγελιζέσθω τὰ πρόσφορα, καὶ λόγον δανειζέτω τῷ καιρῷ τὸν προσᾴδοντα· καὶ, τῆς ἡμῶν μὲν ὑπεραγαμένος ἀναπλάσεως, « αὕτη ἡ ἀλλοίωσις (2) τῆς δε- » ξιᾶς ὑψίστου », φθεγγέσθω· τῇ παρθένῳ δὲ ψαλλέτω μετὰ τοῦ πνεύματος, « ἄκουσον (3), θύγατερ, » καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ » λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυ- » μήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. » Βαβαὶ τῆς διὰ Δαυὶδ μαρτυρίας τοῦ πνεύματος! βαβαὶ τῆς ὑπὲρ νοῦν τῶν θεοπνεύστων ᾀσμάτων δυνάμεως! ὢ τῆς ὑπερφυοῦς πανταχόθεν σεμνότητος! ὢ τῆς ὑπερβαλλούσης ἑκατέρωθεν κοσμιότητος! φεῦ πολιτείας ἀπαραμίλλου! φεῦ ἁγνείας ὑπεραμώμου! ὧν χάριν οὐ νύμφη μόνον, οὐδὲ θυγάτηρ, ἀλλὰ καὶ μήτηρ ἀκούει τοῦ παμβασιλέως με ὡραία (4) τῷ σώματι, ὡραιοτέρα τῷ πνεύματι, καὶ φύσεως (5) πάσης ὁρωμένης καὶ νοουμένης ἐπέκεινα. Εἰ γάρ τις βούλοιτ' ἂν γυναιξὶν αὐτὴν ἐγκρῖναι διὰ τὴν φύσιν, ἀνδρῶν ἀρίστων κρατοῦσαν εὑρήσει διὰ κατόρθωσιν· εἰ δ' αὖ ἀνδράσι παραθεῖναι διὰ κατόρθωσιν, γυναικῶν ὑπερκειμένην δι' ὡραιότητα· εἴ τις δὲ μᾶλλον ἀνθρώποις διὰ τὸ σῶμα παραβαλεῖν, Ἀγγέλων ὑπερτεροῦσαν διὰ τὸ πνεῦμα· εἰ δ' Ἀγγέλοις αὖ διὰ τοῦτο, μόνου λειπομένην Θεοῦ· ὥστε πανταχόθεν ἀντεξετά-

(1) De hoc Davidis epitheto vide t. II, p. 386.

(2) Psalm. LXXVI, 10.

(3) Psalm. XLIV, 10, 11; cum varietate.

(4) Post με quæ fuerunt paucułæ literæ omnino evanuerunt. Forsan est supplendum, μεγάλου Θεοῦ, ὡραία....

(5) Scripsi φύσεως e divinatione. Quæ fuit vox in codice, nunc legi nequit.

ζειν διαποροῦντα ἑνί γέ τῳ θαῤῥεῖν ἰσχυρίζεσθαι, τῷ παντάπασι τοῖς πᾶσι δεῖν καλεῖν ἀπαράμιλλον.

Ἐμοὶ δ' ἐβούλετο μὲν, ὦ ἄνδρες, ὁ λόγος καί τι τῶν ὑπὲρ ἑαυτὸν ἐρεῖν καὶ τῶν ἀποῤῥήτων· τί δὴ τοῦτο; ἐκεῖνον εἶναι καιρῶν ἁπάντων ἐπιτήδειον τῆς πρὸς ἡμᾶς ἐπιδημίας Θεοῦ, εἴπερ ἂν ἐξῆν ἐν ἑτέρῳ τὸ τηλικοῦτο προενεχθῆναι καλόν· νυνὶ δ' ἐπειδὴ τῷ Λόγῳ, καλῶς ἐχόντων τῶν ἄνω, δέον ἦν καὶ τὰ καθ' ἡμᾶς εὖ διαθεῖναι πεπονθότα κακῶς, τὸ δ' οὐκ ἐξῆν ἄλλως ἐκβῆναι πρὸς ἔργον, ἢ τὸν Λόγον ἐνδημῆσαι τοῖς κάτω διὰ σαρκὸς, ὁπηνίκα καιρὸς ἁρμόστιων ἐφέστηκεν, ἔδοξε προϋφεστάναι τὸ ὄργανον· καὶ εἰκότως. Ὡς γὰρ οἰκίαν συμπήξοντι τέκτονι πᾶν ἀνάγκη τὸ συνοῖσον προεῖναι, εἰ δ' οὖν τι τῶν πρὸς τὴν οἰκοδομὴν ἀναγκαίων ἀπείη, δυσχερὲς παράσχοιτ' ἂν τὸ κατόρθωμα, καὶ δεῖ δὴ τῷ τεχνίτῃ τοῦ τῶν συλληψομένων συστήματος πρότερον· οὕτω δὴ καὶ τῷ μεγάλῳ καὶ σοφῷ Βεσελεὴλ (1) ἀρχιτέκτονι τὸ τῶν οἰκείων χειρῶν ἔργον, τὸ μέγαν ὄντως κόσμον καὶ περισπούδαστον, τὸν ἄνθρωπον δηλαδὴ, λυθέντα κακῶς, ὡς μὴ ὤφελε, δεῆσαν καλῶς ἀναδείμασθαι, τὸ συμπρᾶξον ἤδη προϋφέστηκεν ὄργανον. Ἀμέλει στεφανῖτις ἡ Μαριὰμ τῶν μητρικῶν προῆλθε θαλάμων, οὐ κατὰ τῆς γυναικείας ἀσθενείας μόνης ἀνδραγαθήσουσα καὶ λαμπροὺς ἀνδριάντας τοῖς τροπαίοις ἀναστηλώσουσα, ἀλλὰ καὶ πάσης τῆς τε ὑπὲρ ἡμᾶς καὶ τῆς καθ' ἡμᾶς φύσεως ἐσομένη τὰ πρῶτα.

Διὰ ταῦτα τὰ κάτω τοῖς ἄνω συνάπτεται, καὶ Θεὸς ἀνθρώποις συναναστρέφεται, καὶ ὁ παλαιὸς τῶν (2)

(1) Conf. pag. 22, n. 4. (2) Cf. t. II, pag. 452, n. 6.

ἡμερῶν βρέφος πρόσφατον γίγνεται, καὶ καινοτομεῖται, πολλοῦ τοῦ μεταξὺ διεστῶτος, δουλείας ἅμα καὶ δεσποτείας συνδρομὴ καὶ συμπλοκὴ καὶ συνάφεια. Καὶ (βαβαὶ καινῶν μυστηρίων, καινοτέρων ἀκροαμάτων!) πύλη κεκλεισμένη (1) κεκλεισμένον ἀνοίγει παράδεισον, καὶ παρθένος κόρη μητρικὸν μαζὸν ἕλκουσα τοὺς ἑαυτῆς γενάρχας ἀπῳκισμένους εἰς τὸ τῆς τρυφῆς εἰσοικίζει χωρίον (2). Διὰ ταῦτα τὴν παροῦσαν ἑορτὴν ἑορτάζομεν, καὶ τὴν ἱερὰν ταύτην συγκροτοῦντες πανήγυριν, τὰ τῆς ἡμῶν αὐτῶν σωτηρίας τελοῦμεν προοίμια (3). Διὰ ταῦτα τοῖς ἐπὶ γῆς συσκιρτῶσι καὶ συγχορεύουσιν Ἄγγελοι καὶ συνίασι κόσμος ἑκάτερος εἰς μίαν ὑμνῳδίαν τοῦ κτίσαντος.

Ἀλλ' ἐπειγέσθω περὶ τὰ πρόσω τῆς ἐφεξῆς ὁδοιπορίας ὁ λόγος ἐχόμενος.

Οὕτω τοιγαροῦν θαυμασίας τῆς ἐς τὸν βίον εἰσόδου προβάσης, δέον ὂν καὶ τὰ τῆς ἀνατροφῆς μακρῷ

(1) Ezechiel XLIV, 2 : ἡ πύλη αὕτη κεκλεισμένη ἔσται... ὅτι Κύριος ὁ Θεὸς εἰσελεύσεται δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Quæ verba sæpe respexerunt mystici Mariæ laudatores. Liceat proferre Bernardi locum ex officio tertiæ infra octavam Conceptionis diei : « hanc » Gedeonis vellus, dum in me» dio siccæ areæ maduit, hanc » in Ezechielis visione (c. XLIV, 1) » orientalis porta quæ nulli un» quam patuit, significabat. » Pariter Hieronymus lectione officii Mariæ sabbatini : « Porta hæc » clausa erit et non aperietur. Pul» cre quidam portam clausam, » per quam solus Dominus Deus » Israel ingreditur,...... Ma» riam virginem intelligunt, quæ, » et ante partum et post partum, » virgo permansit. »

(2) Gregorius Naz. Orat. XX, pag. 366 : Ἀδὰμ ἠξιώθη Θεοῦ χειρὸς καὶ παραδείσου τρυφῆς · conf. t. II, p. 110, n. 1, et p. 158, 9.

(3) Non innuitur Conceptionis festum, quod « salutis exor» dium » dicitur in oratione ad laudes ejus diei recitanda ; nec Præsentationis ; etsi sit in tropario officii Græci τῆς Εἰσόδου : σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις · sed Nativitatis, quod significabitur p. 54.

θαυμασιώτερα συμπροβήσεσθαι, καὶ, ὅ φησι Πίνδαρος (1), ἐπὶ χρυσῶν κιόνων λαμπροὺς ἀνεγείρεσθαι θαλάμους, εὖ ποιοῦν καὶ συνέδραμεν. Αὐτίκα καὶ γὰρ ἐκ βρέφους ἀπειπαμένη ῥευστὴν παντοδαπὴν ἀγωγὴν, μόνον ἐπεμέλετο τῶν ἑστώτων, καὶ ὃ ταῖς ἄλλαις ἡδὺ, ταῖς τῶν ἡδονῶν ἐπιβούλοις λειότησι χαίρειν, τοῦτ' ἦν αὐτῇ ταῖς τῶν ἀρετῶν ἐπιπόνοις τραχύτησιν ἥδεσθαι· ὅ φασιν, ἐκ πρώτης γραμμῆς (2) σκιαγραφοῦσα οἷα τις ἔσται προϊούσης ἤδη τῆς ἡλικίας, καὶ τὸ φυτὸν μὲν ἀπὸ τῆς ἄνθης τὸν καρπὸν προμηνύον (3), ὁ δὲ σκύμνος ἐξ ὀνύχων χαρακτηρίζων τὸν λέοντα (4).

Ἀμέλει τοι καὶ τρίτον ἔτος ἔτι τῆς πρώτης ἡλικίας ἀνύτουσα οὐ δημοτικοῖς ἐνεσχόλαζεν οἴκοις, οὐ κοιναῖς προσεῖχε τροφαῖς, οὐχ ὅσα θῆλυ διητᾶτο τὴν φύσιν, οὐ πρὸς ὁμιλίας ἀνθρωπικὰς, οὐ πρὸς κάλλος νενοθευμένον καὶ χρωμάτων ποικιλίαις ἐξησκημένον, καὶ κατὰ τῆς εἰκόνος (5) ἐξευρημένον, οὐ πρὸς ἄλλο γ'

(1) Pindar. Ol. vi, 1. Gregorius Naz. Orat. xx, pag. 330, loco quem forsan meminerat Theodorus : πιαύτας ὑποστήσαντες εὐτυχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος, οὕτως ἥκειμεν εἰς τὸ πρόσω. Usus est et imitatione loci Pindarici Ep. 54.

(2) Notula in margine : παροιμία. Gregoras Hist. viii, ii, 4 : ὃ καὶ διὰ μεγάλης ἦγαγε λύπης αὐτὸν,.... διὰ τὸ ἐκ πρώτης, φάναι, γραμμῆς δυσοιώνιστον συνάντημα. Const. Manasses Chron. p. 71 : Ὡς ἤδη δὲ Τιβέριος προσῆλθεν εἰς τὸ κράτος Ἐκ πρώτης, ὡς φασὶ, γραμμῆς ἔδειξε τὰς ἐλπίδας. Et sine πρώτης adagium usurpatur. Manuel Palæol. Dialog. cum Muteriza p. 330 : εὐθὺς ἐκ προοιμίων ἀρχόμενον καὶ ἀπὸ γραμμῆς, ὅ φασιν· ubi Hasius. Eumathius Hysm. v, p. 165 : ἐξ αὐτῆς, ὅ φασι, γραμμῆς εὐτυχεῖν ἐδόκουν εἰς ἔρωτα· ubi Bassus.

(3) De hoc proverbio vide t. ii, pag. 414. Syntaxis non est omnino integra. Forsan, τὸ φυτὸν μὲν ἦν.

(4) Vide t. ii, p. 447.

(5) Scilicet contra Dei imaginem, ad quam homo factus est.

οὐδὲν τῶν ἐπιβούλων ἑώρακεν, ἃ καταγοητεύειν οἶδε τὰ αἰσθητήρια· καὶ δουλαγωγεῖν τὸν ἡγεμόνα νοῦν ὡς ἀνδράποδον· ἄλλων γὰρ παρθένων ἔκρινεν εἶναι ταυτὶ, αἳ τῷ τῆς παρθενίας μόνῳ κάλλει ἐνσεμνυνόμεναί πως καὶ ἐγκαλλωπιζόμεναι, πρὸς οὐδὲν τῶν συρομένων ὑψηλότερον βλέπουσιν. Ἡ δ', ὥσπερ ἀποταξαμένη πᾶσι δὴ τοῖς τῆς φύσεως, ἡμιλλᾶτο καὶ τῶν ἀΰλων βιοῦν ἀϋλότερον, καὶ μόνην ἑαυτὴν ἄξιον Θεοῦ καταρτίζειν νεών.

Ἐντεῦθεν Ἁγίων Ἅγια δέχονται (1)· καὶ οἷ μηδ' αὐτοῖς τοῖς πρώτοις τῶν ἱερῶν ἐπιστάταις θυμάτων ἐμφιλοχωρεῖν πολλάκις ἐφεῖτο (2), ταύτῃ καθάπαξ ἐνδιατρίβειν ἐξῆν. Καὶ ὁ τῶν ἀρχιερέων πρῶτος (Ζαχαρίας (3) ἦν οὗτος ὁ θεῖος) ἀποκαθίστησι. Καὶ, τὸ μεῖζον, οὐχ ὁ τυχὼν, ἀλλ' ὁ τῶν Ἀγγέλων ἄρχων καὶ τῆς πανσόφου θεαρχίας θερμὸς πρωτοστάτης καὶ λειτουργὸς, Γαβριὴλ θεραπεύειν προστέτακται, οὐχ ὅστις ὡραῖος μὲν εἰς ὅρασιν, γλυκὺς δὲ εἰς βρῶσιν καρπὸς (4) μετεσχηκέναι παρεγγυώμενος· οὐδ' ἄρτον

(1) Mariam trimulam fuisse, quum in templum a parentibus *præsentaretur*, traditur in Evangelio De nativitate Mariæ c. 6; in Jacobi Protevangelio c. 7; a Cedreno p. 85; a Germano Homilia in Præsentationem (vide codicum Clarkianorum Catalogum quem confecit Gaisfordius, p. 97); a Georgio Nicomediensi Homilia de eodem argumento (vide Allatium Diatr. De Georg. p. 312); a Joanne Gabra, quem edam inferius; ab Epiphanio monacho p. 45; aliis. Adde Allatium ad Eustath. Hexaem. p. 288.

(2) Plurima huc facientia dabit Sigonius De republ. Hebr. v, c. 2, p. 210. Vide et infra Gabræ Homiliam.

(3) Etiam Zacharias nominatur in Jacobi Protevangelio c. 8, et alias: vide ibi Fabric. Epiphanio monacho p. 45 Hodae dicitur et Zachariæ pater.

(4) Respectu ad Genes. III, 6: καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι.

Ἀγγέλων κομίζων ὃν ἔφαγεν ἄνθρωπος, ἀμβροσίαν δὲ καινήν τινα καὶ ἀπόῤῥητον, ἧς μόνη τῶν ἁπάντων μετείληφε· προωρισμένον, καὶ τοῦ ζῶντος ἄρτου (1), προσληψομένου τὸ τῆς ἐμῆς φαυλότητος φύραμα (2), τὸν αὐτὸν αὐτῇ κομιεῖν εὐαγγέλια (3), καὶ δεῖν εἰθίσθαι πόῤῥωθεν, μή ποτ' ἐκστήσειεν ἂν ἐξαπιναίως ἐφεστηκώς, κἂν ἄλλως ἔμπλεως ἡ παρθένος γενναίου φρονήματος οὐχ, ὡς τὸ πρῶτον θῆλυ (4), ῥᾳστ' ἂν ὑπόσχοι τὰ ὦτα.

Ἀλλ' οὕτω κἀνταῦθα θείας ὀναμένη διατριβῆς, θειοτέρας ἀναβάσεως ἥπτετο, καὶ, τῆς αὔξης προϊούσης τῷ σώματι, συμπροϊέναι πλείω καὶ τὴν σπουδὴν ἐπετήδευε. Τοιγάρτοι παρὰ τοσοῦτον σεμνοτέρας ἐδράττετο καταστάσεως, παρ' ὅσον ὁ νοῦς πρὸς θεωρίαν παρέκυπτε· παρ' ὅσον δὲ μᾶλλον ἐκεῖνος τελεωτέρας θεωρίας ἠφίετο, παρὰ τοσοῦτον αὕτη γενναιοτέρων καμάτων ἀντείχετο. Ἤδει γὰρ ᾔδει, θάτερον θατέρῳ καλῶν βοηθούμενον, καὶ, συντονωτέρᾳ κεχρημένη τῇ πράξει, πρὸς θεωρίαν ὑψηλοτέραν ἀνάγεσθαι (5).

Ἀμέλει καὶ μὴ παρόντος (6), πρὸς ὃν ἀντεξεταζομένη τὴν ἐνοῦσαν ἀρετὴν ἐπιδείξαιτο (πάντες γὰρ ἐπίσης, ὥσπερ ἀπὸ κύκλου (7) κέντρου, ἐλείποντο), ἑαυτῆς

(1) Christus ap. Joannem VI, 50 : ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν.

(2) Damascenus de Christo, in Stephani Thesauro : ἀπαρχὴν ἀνέλαβε τοῦ ἡμετέρου φυράματος. Malim noster etiam dixisset τῆς ἡμετέρας φαυλότητος. Est in illa humilitatis formula, τῆς ἐμῆς φαυλότητος, nescio quid superbiæ.

(3) Lucas I, 26 : ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ, κ. τ. λ.

(4) Eva videlicet : Genes. III.

(5) Πρᾶξιν esse θεωρίας ἐπίβασιν tradit Gregorius Naz. Orat. III, p. 103, quem vide. Cf. p. 42, 7.

(6) Est inter παρόντος et πρὸς lacunula, erasa vocula, forsan ἄλλου vel τινὸς, qua ceteroquin sententia ipsa non indiget.

(7) Conf. p. 3, 2.

ἐφιλοσόφει φιλοσοφωτέρα καθίστασθαι, καὶ τὴν ὕλην μάλα βιαίως εἰς αὐλίαν ἀγωνιζομένη μεταποιοῦν. Ψυχὴ γὰρ, ἐπειδὰν τοῦ πρώτου κάλλους εἰς ἔφεσιν ἵκηται καὶ φαντασθῇ πως ἀμυδρὰς ἐλλάμψεις τῆς ἄνω λαμπρότητος, οὐδενοσοῦν ὑλώδους ἐφίεται, πᾶσαν δὲ τέχνην μετιοῦσα σπουδῇ καὶ τὴν τῆς σαρκὸς νεφέλην μεταστοιχειοῦν πρὸς αἴγλην βιάζεται, τοῦτον ὅρον ὁριζομένη φιλοσοφίας ἄκρας, μελετῆσαι παραστῆσαι νεκρὰν τὴν σάρκα τῷ πνεύματι καὶ δούλην οἷα στῆσαι τῶν ἑαυτῆς ὑποθέσεων ἔξωθεν.

Τὸν μὲν οὖν Ἰσραὴλ στύλος πυρὸς καὶ νεφέλης μεθ' ἡμέραν καὶ νύκτωρ προωδήγουν καὶ προεπόμπευον (1), φεύγοντα μὲν τὴν σκυθρωπὴν καὶ δύσκτειαν Αἴγυπτον (2), ἣ δὲ ποδῶν εἶχον τὴν Χαναναίων μεταδιώκοντα, καὶ Μωσῆς ἡγεῖτο δημαγωγῶν, τήν τε τραχεῖαν εἰς λείαν ἐξομαλίζων καὶ τὴν σκολιὰν εἰς ὁδὸν εὐθεῖαν μετατιθείς· ἡ δὲ τοῖς εἰρημένοις διημερεύουσα καὶ διανυκτερεύουσα καὶ πάντα λόγον πρὸς τὴν ἄνω μετασκευαζομένη μητρόπολιν, νόμοις ἣν τοῖς ἑκατέροις ἐμμελετῶσα καὶ τῷ γραπτῷ μὲν, ὅσα νεφέλη καὶ λύχνῳ, μέχρι τινὸς ὡδηγημένη· ἐπειδὰν δὲ καὶ ὁ πνευματικὸς ὡς πυρσὸς ἀνήφθη περιφανὴς καὶ μετάρσιος, καὶ τὴν οἰκουμένην ἀπ' ἄκρων ἐς ἄκρα οἱονεὶ λαμπρὸς καὶ μέγας περιήστραψεν ἥλιος, μέχρι τέλους ἐπηκολούθησεν. Ἀμέλει, καὶ τοῦ πνεύματος τὴν τρίβον ἐξομαλίζοντος ὅσον ἀσφαλὲς, ὑψηλοτέρως Ἑβραίων διέβαινε. Παρὰ τοσοῦτον μὲν γὰρ ἐκεῖνοι ταύτης ἐλείποντο, παρ' ὅσον ἐπλεονέκτει τῷ πνεύματι· παρὰ τοσοῦτον δ' αὕτη

(1) Exod. XIII, 21.

(2) Orationem Theodorus variare nequibat : conf. similia supra p. 24, n. 4.

προεῖχεν ἐκείνων, παρ' ὅσον ἐκρατοῦντο τῷ γράμματι· τοσούτῳ δὲ μᾶλλον ἡ σεμνὴ παρθένος πρὸς περιφάνειαν ἤρετο, ὅσῳ τὸ πτῶμα μεῖζον Ἑβραίοις ἐγίγνετο· καὶ παρ' ὅσων ἐκεῖνοι Θεὸν ἀντωσάμενοι ταλανίζονται, παρὰ τοσούτων αὕτη προεννηνοχυῖα τὸν αὐτὸν μακαρίζεται. Ἀλλ' ὑφ' ἓν (1) ἄμφω, νόμον δηλαδὴ συναναγοῦσα καὶ βίον ὀρθὸν, καὶ διατεκτηναμένη ζυγὸν ἀμφιδέξιον, ὁμοῦ τε πνεῦμα καὶ σῶμα τῇ παρ' ἑκάτερα παρυποζεύξασα ζεύγλῃ, τήν τε κούφην τῆς παρθενίας ῥᾷον ἅμαξαν ἕλκουσα καὶ πολύχουν συγκομιζομένη τὸν ἄμητον (2), ψυχὰς πεινώσας τροφὴν εἱστία πνευματικήν. Καὶ δὴ τῆς τέχνης οὕτω προέστη λαμπρῶς, ὥστ', εἴπερ τινὲς μικρὸν ὀπίσω διώξειν ἐθάῤῥησαν, τοσούτῳ μακρὰν ἀπελείφθησαν, ὅσον ἡλίου πάντας ἀστέρας ἔστιν ὁρᾷν ὑστεροῦντας.

Ἐπειδὴ δὲ τῶν ἁπάντων καὶ πανταχόθεν οὕτως εἶχε καλῶς ὡς μήποτ' ἂν ἐξεῖναι κρειττόνως, νόμος δ' οὗτος ἀθλοῦσιν ἱκανῶς κατωρθωκόσιν ἀξίων τυγχάνειν καὶ τῶν ἐπάθλων καὶ στεφανίτας ἀναγορεύεσθαι, ἠβουλόμην μὲν, ὦ ἄνδρες, παραδραμεῖν ἀθεώρητον, ὑπὲρ νοῦν ὄντων καὶ λόγον τῶν ἐκείνης βραβείων, μή ποτ' ἀνεφίκτοις δοκοίην ἐπιχειρεῖν καὶ γέλωτ' ὀφλεῖν πλατὺν, ὥσπερ οἱ τολμῶντες κοτύλῃ θάλατταν ἐξαντλεῖν (3), ἢ μέγαν οὐρανὸν σαπρῷ κινεῖν ἀξονίσκῳ, φόβου μεστὸν ὂν ἑκάτερον, ἤ, τούτου θραυσθέντος,

(1) Codex, ὑφέν

(2) Gregorius presb. Vita Gregorii Naz. p. 6, de Gregorio et Basilio: ἰσοσθενεῖ τῇ προθυμίᾳ τὴν ἄρουραν τῆς σοφίας τέμνοντές τε καὶ σπείροντες, καὶ πολύχουν ἀμώμενοι τὸν καρπόν. Potest conferri supra p. 18, n. 1.

(3) Notula marginalis: παροιμία. Non dissimile proverbium κυάθῳ μετρεῖν θάλασσαν tractavi t. 1, p. 395, n. 7.

φόρτον Ἄτλαντος φέρειν, ἢ μὴν, λυτήσάσης ἐκείνης, ἐξαπολωλέναι· ὥς που τῶν ἐπῶν λέγει (1)·

Αἴας δ' ἐξαπόλωλεν, ἐπὶ πίεν ἀλμυρὸν ὕδωρ.

Ἀλλ', ὥστε μήτε τὴν Θεοτόκον τὸν κρείττω στέφανον ἀφελοίμην τῶν ἐγκωμίων, μήτε μὴν ὑμᾶς ζημιώσαιμι ζημίαν οὐ φορητὴν (2), σῶμα διαρθρώσας ἐκτὸς κεφαλῆς, καὶ ταὐτὸν ἀπειροκάλοις ἑστιάτορσι πάθοιμι, τράπεζαν μὲν συβαριτικὴν (3) παραβάλλουσι τοῖς ἑστιωμένοις, φθονοῦσι δ' αὐτοῖς τῶν ποπάνων, καὶ διὰ τοῦτ' ἐγκλητέοις, καί με παραδοίην τοῖς φιλοσκώμμοσιν· ὡς οὖν μὴ ταὐτὸν πάθοιμι, μικρὰ μεγάλων ἀποδασάμενος, καὶ τούτων πέρι διηγησαίμην.

Ῥητόρων παῖδες (4) τὰς πράξεις (αὗται γὰρ ἐγκωμίων κεφάλαιον) διαιροῦσι τριχῆ, καὶ τὸ μέν τι τούτων ἱερὸν ἡγοῦνται ψυχῆς, τὸ δὲ τῷ σώματι νέμοντες, τὸ λοιπὸν χαρίζονται τοῖς περὶ ἡμᾶς, ὃ δὴ καὶ τύχην οὐκ ὀρθῶς φρονοῦντες ὠνόμασαν.

Περὶ τοίνυν ἑκάστου τούτων οὔτε τινος ἐφάνη δεύτερα φέρουσα (5), οὔτ' οὖν ἰσότητός τινι παρεχώρησεν· ἀλλὰ τῶν Θεῷ λογάδων δριμέως περιγενομένων τῆς φύσεως

(1) Homerus scilicet Od. Δ, 511. Videtur male abesse poetæ nomen. Synesius quidem, cujus Theodorus meminit, Epist. v, p. 162 : λέγει γὰρ ἔστιν ὅπου (male editio γάρ ἐστι) τῶν ἐπῶν· Αἴας.... Sed in proximis Synesius habet, τὸ Ὁμηρικὸν ἔθραττεν ἐκεῖνο : unde nihil est in λέγει impedimenti.

(2) Pari figura Gregorius Naz. Orat. xi, pag. 184, sed oratione meliore ac simpliciore : ὢ πῶς ἢ καταριθμήσομαι τὰ ἐκείνης ἅπαντα, ἢ, τὰ πλείω παρεὶς, μὴ ζημιώσω τοὺς ἀγνοοῦντας;

(3) Mensæ sybariticæ frequens apud veteres mentio : vide Hemsterh. ad Luc. D. M. ix, 2, et nota ad Philostr. Her. p. 276.

(4) Aphthonium innuit, sic de encomio præcipientem, Progymn. p. 50 : εἶτα τὸ μέγιστον τῶν ἐγκωμίων κεφάλαιον ἐποίσεις, τὰς πράξεις, ἃς διαιρήσεις εἰς ψυχὴν, καὶ σῶμα, καὶ τύχην. Cf. p. 6, n. 1.

(5) Conf. p. 20, n. 3.

καὶ πρὸς ἀρετῆς ἐληλακότων ἀκρότητα, ὥστ' ἀμφοῖν κόσμων, τῷ μὲν ὑπ' αἴσθησιν ἀΰλως βιῶναι χαρίσασθαι, τὸν ἐξ ὕλης (1) δὲ πληρῶσαι μετὰ σαρκὸς καὶ χρηματίσαι θεοὺς ἐνύλους, τοσοῦτον ὑπερέσχε τοὺς ἄνδρας, ὅσον τοὺς περὶ τὰ κάτω συρομένους ἐκεῖνοι, μᾶλλον δὲ καθ' ὅσον οὐρανὸς ὑπερεβάλετο γῆν. Αἱ γὰρ ἀρεταὶ θαυμαστοὺς παραστήσασαι καθεστᾶσι δι' αὐτὴν θαυμαστότεραι, τόν τε βίον ῥυθμίζειν εἰδυῖαι ἠθῶν τε κοσμεῖν καταστάσεις, καὶ ψυχῶν ἐπανορθοῦν ἐλαττώματα, παρὰ κόσμον ἦλθον καὶ ῥυθμὸν ἐναρμόνιον, καὶ, τῶν ἄλλων κρατεῖν εἰληχυῖαι, παρὰ ταύτης κρατεῖσθαι πεπόνθασιν.

Ἐπὶ τοίνυν τῶν γενικῶν (2) ὀχουμένη, ὑπασπισταῖς δὲ χρωμένη ταῖς ἐφεξῆς, ταῖς ἀγρυπνίαις δὲ καὶ χαμευνίαις, ἐγκρατείαις τε καὶ νηστείαις καὶ προσευχαῖς, ὅπλοις ἰσχυροῖς (3) πεφραγμένη, καὶ τὸν κοινὸν καταγωνισαμένη πολέμιον, τίνας τῆς ὑπερφυοῦς πολιτείας λαμβάνει μισθοὺς προϊὼν ὁ λόγος ἐρεῖ.

Ἀλλὰ ταῦτα μὲν ψυχῆς σφαδάσματα καὶ σπουδάσματα· λεγέσθω δὲ καὶ τὰ σώματος.

Κάλλους μὲν τοσοῦτον εὐμοίρηκε καὶ συνθήκης μελῶν εὐφυοῦς (4), εὐαρμοστίας τε καὶ συμφωνίας πρὸς

(1) Forsan ἔξω ὕλης. De mundo duplici ipse jam t. II, p. 412, 4, et supra p. 31, 12.

(2) Scilicet ἀρετῶν: cf. idem t. II, p. 33.

(3) Ὅπλον sensu illo metaphorico, quod est facile obvium, illustravi in Notit. Mss. t. XI, II, p. 17. Gregorius Nyss. t. I, p. 396: ἔοικε γὰρ μέγα τι καὶ ἰσχυρὸν ὅπλον εἶναι, ἡ ἐναποκειμένη τοῖς ἀνθρώποις αἰδὼς, εἰς αὐτὸ τοῦτο, οἶμαι, παρὰ τοῦ Θεοῦ ἐντεθεῖσα, ὡς ἂν ἡμῖν ἀποστροφὴ τῶν χειρόνων ἡ τοιαύτη γένοιτο διάθεσις. Ibi scribam libens e codice 1630, p. 125: ... ἐντεθεῖσα τῇ φύσει, ὡς ἂν ἡμ. ἀποτροπὴ τ. χ. ἡ. τ. διάθεσις γένοιτο.

(4) Virginis pulchritudinem descripsit Epiphanius monachus

ἄλληλα, μήκους τε καὶ πλάτους καὶ βάθους (1), τῆς τριττῆς διαστάσεως, πανταχόθεν ἴσου καὶ τὴν ἔξω τοῦ μετρίου ῥοπὴν παρεκκλίναντος, ὥστ' αὐτὴν θαυμάζειν τὴν φύσιν οἷον προήνεγκεν ἄγαλμα (2). Τά γε μέντοι περὶ τὸ σῶμα τί δεῖ λέγειν ὅσ' ἄττα καὶ οἷα, τῶν περὶ τὴν ψυχὴν μαρτυρούντων αὐτά· λεγέσθων δ' οὖν ὅμως τινά.

Τῷ τοῦ γένους Ἀδὰμ ἀρχηγῷ καὶ χειρῶν ἠξιωμένῳ Θεοῦ καὶ εἰκόνι θείᾳ τετιμημένῳ (3), καὶ βασιλεῖ τῶν ἐπὶ γῆς ἁπάντων προβεβλημένῳ, πάντα τὰ περὶ τὸ σῶμα καλὰ συνδεδράμηκεν· ἠργμένα δ' ἐκεῖθεν ὁμοῦ πρὸς τοὺς ἑξῆς μεμερισμένα δὴ διαβέβηκε, Δαυὶδ λέγω καὶ Σολομῶντα, Ἀβεσαλώμ τε καὶ

tam diligenter, ut sit descriptio plane ridicula. Scilicet ab illo docemur fuisse Mariam *ξανθόμματον, ἐπίρρινον, μακροδάκτυλον*, ac reliqua; quæ ipsum docuerat Aphrodisianus quidam, natione Persa, cujus de vita Mariæ librum consuluisse se profitetur. Hujus scriptoris locum ipsum unde profecit Epiphanius reperi in cod. 2408, p. 223, 1. Sic autem habet: *περὶ τῆς ἱστορίας τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἰστέον ὅτι κατὰ τὸν ἱστορικὸν Ἀφροδισιανὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τὸ ἦθος ἦν σεμνόν· ὀλιγόλαλος, ταχυπήκοος, σεμνοπεριπάτητος, ἀπαρρησίαστος πρὸς πάντα ἄνθρωπον, ἀγέλαστος, ἀτάραχος, ἀόργητος, εὐπροσκύνητος, τιμητική, τιμῶσα καὶ προσκυνοῦσα πάντα ἄνθρωπον, ὥστε καὶ θαυμάζειν πάντα ἄνθρωπον τὴν σύνεσιν αὐτῆς καὶ τὸν λόγον· τῇ ἡλικίᾳ μέση· ἄλλοι δὲ τρίπηχυν αὐτὴν εἶναι λέγουσιν· σιτόχροος, ξανθόθριξ, ξανθόμματος, εὐόφθαλμος, μαυρόφρυς, μεσόρριν, μακρόχειρ, μακροδάκτυλος, μακρόνυχος, εὔστολος, ἄτυφος, ἀσχημάτιστος, ἀβλάκευτος, ἱμάτια ὁμόχροα φοροῦσα καὶ ἀγαπῶσα· καὶ μαρτυρεῖ τὸ ὠμοφόριον αὐτῆς τὸ ἐπὶ τοῦ ναοῦ αὐτῆς κείμενον.* Vide Addenda.

(1) O ridiculam de fœminæ mensura geometriam! Ineptiebat similiter, sed modestius, Theodorus Prodromus Rhodanthen suam describens pag. 7: *Ὀφρὺς φυσικῶς εὖ γεωμετρουμένη Ἐς εὐφυᾶ μίμησιν ἡμικυκλίου·* et p. 70: *Καλῶς γὰρ αὐτὴν καὶ κεκανονισμένως Ἐσχημάτισεν ἡ γεωμέτρης φύσις.*

(2) Similia dixit Irenen Augustam laudans: vide supra t. I, pag. 271.

(3) Conf. similia t. II, p. 158.

Ἰωσήφ, καὶ τοὺς λοιποὺς κατ' ἀξίαν. Ἐπεὶ δ' ἀφ' ἑνὸς ἠργμένα καὶ κεχυμένα ἔδει καὶ πρὸς ἓν ἐπανιέναι, καλῶς ποιοῦντ' ἐπανίασι, παρὰ μὲν Ἀδὰμ ἀρχὴν εἰληφότα κινήσεως, παρὰ τῇ παρθένῳ δὲ στάσεως. Ποῦ γὰρ ἐξῆν ἐπέκεινα κινηθῆναι, περὶ τὸν ἔσχατον τρυγίαν κατηντηκυίας τῆς φύσεως;

Πλοῦτος μὲν ἦν ἐκείνῃ ἀδαπάνητός τε καὶ ἀνεξάντλητος τὰ τῶν ἱερῶν ἐντολῶν θησαυρίσματα, ἃς ὑπὲρ χρυσίον ἐξήρτητο καὶ τοπάζιον (1)· σοφία δὲ οὐ κατὰ τὴν τοῦ Σολομῶντος, οὐδὲ κατὰ τὴν τῶν Ἑλλήνων ἣν καταργουμένην ὁ θεῖος ἐρεῖν παρωξύνθη Ἀπόστολος (2), ἥ γε μὴν ἀληθεστάτη καὶ ἐνυπόστατος, ἡ αὐτοσοφία, Θεὸς ὃν καὶ ὠδίνησε καὶ ἔτεκε (3), πνεῦμα σωτηρίας ὃ ἐκύησεν ἐπὶ τῆς γῆς. Δόξα δὲ οὐχ ἡ κάτω συρομένη, καὶ ὡς ἄνθος ταχὺ μαραινομένη καὶ λυομένη, ἀλλ' ἥ γε εἰς ἀπεράντους αἰῶνας ἐξανθοῦσα καὶ θάλλουσα, ὑπὲρ ἧς ὁ μουσικώτατος ψάλτης, ὁ γλυκὺς τῆς ἐκκλησίας Ὀρφεὺς (4), ἡ κινουμένη λύρα τῷ πνεύματι (5), « πᾶσα (6) ἡ δόξα τῆς θυγατρὸς τοῦ » βασιλέως ἔσωθεν, περιβεβλημένη, πεποικιλμένη ἐν » κροσσωτοῖς χρυσοῖς », ᾀσματογραφεῖ· εἶεν δ' ἂν χρυσοῖ κροσσωτοὶ τὰ τῶν θείων ἐντολῶν ἐγκεκρυμμένα μυστήρια.

(1) Psalm. CXVIII, 127 : ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.

(2) Paul. 1 Cor. XIII, 8 : εἴτε γνῶσις, καταργηθήσεται.

(3) Is. XXVI : ἐτέκομεν πνεῦμα σωτηρίας σοῦ, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

(4) Orpheus Christi dictus est Gregorius Nazianzenus in epigrammate supra t. II, pag. 412.

(5) Conferam epigramma de Davide e cod. 1630, p. 221, 2: Κινῶν ὁ Δαυὶδ τὴν κινύραν, εὐρύθμως Τῇ πνευματικῇ φόρμιγγι συνημμένην, Βάλλει, διώκει τῇ βοῇ ταύτης ξένως Στῖφος νοητῶν δυσμενῶν ἀλαστόρων.

(6) Psalm. XLIV, 13, 14.

Βασιλείας δὲ καὶ δυναστείας τοσοῦτον μετῆν, ὥστε
καὶ τῶν ὄντως βασιλέων βασιλεύειν, καὶ τὸν κραταιὸν
καὶ δυνατὸν βασιλέα Θεὸν, καὶ δυναστῶν ἐν ἐκστάσει
κεφαλὰς διακόπτοντα (1), παρακαλεῖν τῶν δι' αὐτοῦ
βασιλέων καὶ τοῦ χριστωνύμου λάχους προΐστασθαι
καὶ ὑπερμαχεῖν, οὐδὲν ἧττον συναιρομένη καὶ προασπί-
ζουσα. Ἐντεῦθεν πιστουμένη τὰς κλήσεις ταῖς πρά-
ξεσι, μᾶλλον δὲ τὰς πράξεις ταῖς κλήσεσι, καὶ δεχο-
μένη πᾶν κατάλληλον ἑκατέρωθεν, χαίρει μὲν ἐφ'
ἁπάσαις ὅσον ἐπὶ μιᾷ (ἡγεῖται γὰρ μίαν ἑκάστην
ἀξίαν πασῶν), χαίρει δ' ἐπὶ μιᾷ ὅσον ἂν ἐφ' ἁπά-
σαις (2)· οἴεται γὰρ πάσας ἀξίας μιᾶς, καὶ καιναῖς
ἐνεργείαις ἀεὶ καινοτέρας ἐξευρίσκει προσηγορίας,
νυνὶ μὲν ἐν παρθένοις μήτηρ, νυνὶ δ' ἐν μητράσι παρ-
θένος ἀκούουσα, παθῶν διώκτρια, ψυχῶν σώστρια·
πλανωμένων ὁδηγὸς (3), εὐοδουμένων χειραγωγός·
κρηπὶς ἑστώτων, πεπτωκότων ἔγερσις (4)· ὅρμος τοῖς
ναυαγίᾳ κινδυνεύουσι, τοῖς ἐξ οὐρίων πλέουσιν ἡδονὴ,
ἐκείνως μὲν αὔρᾳ λεπτῇ καὶ πραείᾳ τὰ τῶν καταιγί-
δων διεκπομπεύουσα (5), οὕτω δὲ τῶν οἰάκων ἐπει-
λημμένη καὶ τὰς ναῦς αὐτοῖς φόρτοις ὁρμίζουσα, καὶ
ἠπειρώτας μὲν νησιώταις, νησιώτας δὲ ἠπειρώταις ξυν-
άπτουσα καὶ πρὸς φιλοφροσύνην συνδέουσα· ἀθυ-
μούντων εὐθυμία, εὐθυμούντων παιδαγωγία· χηρῶν
προστάτις, ὀρφανῶν προμηθεὺς, ἣν δὲ βουλῇ, προ-

(1) Habac. III, 14 : διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν.

(2) Codex, ἀπασάσαις.

(3) Græca liturgia in officio acathisti : χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις.

(4) Ibidem : χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων.

(5) Hinc in hymno notissimo : « Ave, maris stella. » Græca liturgia : χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων.

μήθεια· ἐλπὶς τῶν ἀπ' ἐλπίδων, καταπονουμένων ἀντίληψις· πενομένων πλοῦτος, πλουτούντων σωφρονισμὸς, ὡς μὴ πρὸς ἀσωτίαν ὕλῃ χρῷντο τῷ πλούτῳ κακῶς, ἀλλ' ὀργάνῳ πρὸς σωτηρίαν καλῶς· πταιόντων ἐπιστροφὴ, ἐπιστρεφόντων συντήρησις· ἀκριβείας κατόρθωσις, κατορθούντων ἀκρίβεια· χαλινὸς ἀκμαζόντων, παρακμαζόντων βακτηρία· πρακτικῶν ἐπίδοσις, θεωρητικῶν ἐπίβασις· τῶν περὶ λόγους μεγίστη λόγων ὑπόθεσις· ἱερῶν παρθένων ὡραΐσμα, γνησίων μητέρων ἀγλάϊσμα· ἀῤῥένων διὰ τὸ θῆλυ τιμὴ, ὡς μὴ πανταχοῦ κυριεύειν εἰδεῖεν, εἶναι δ' οὗ καὶ καλῶς ὑφεῖσθαι, ἐπειδὰν τὸ χεῖρον ἀντιποιοῖτο τοῦ κρείττονος.

Τί δεῖ τὰς καθ' ἕκαστον καὶ καθ' ἑκάστην εὐεργεσίας καὶ πράξεις διεξιόντα μακρηγορεῖν; λόγος οὗτος βραχὺς ἱκανὸς συστῆσαι τὸ πᾶν· εἰ μὴ σύνδεσμος ἦν αὕτη τῷ κόσμῳ στεῤῥὸς, ὡσπερεὶ ψυχὴ σώματι, μέλεσι καὶ μέρεσι διαφόροις συνεστηκότι καὶ πρὸς μίαν ἁρμονίαν περιηρθρωμένῳ, πάλαι ποτ' ἂν ἀνάλυσιν πέπονθεν.

Ἀλλ' ὁ μὲν οὕτω καὶ συντηροῖτο καὶ διεξάγοιτο, ἡμῖν δ' ὁ λόγος ἐκ τῶν πρακτικωτέρων ἀνακλέος πρὸς θεωρητικώτερα.

Τῷ μεγάλῳ καὶ πρώτῳ φωτὶ δεῆσαν ἐξ οὐκ ὄντων οὐσιῶσαι τὸ πᾶν, φῶτα παρυφέστηκε δεύτερα, ἀποῤῥοή τις οἷον τῆς πρώτης λαμπρότητος, καὶ τῆς ἄνω δόξης ὑφηγηταὶ νοεροὶ, οὓς καὶ δυνάμεις (1) οἶδεν ὁ λόγος. Ταύτας δὴ τὰς δυνάμεις διαβιβάζει μέχρις ἡμῶν ὁ

(1) Mysticas hasce notiones sumsit ex Gregorii Naz. Or. XLIII, p. 698: φῶς ἦν ἀπερίσπον καὶ ἀδιάδοχον ὁ Θεός.....ἀειλαμπὲς, τριλαμπές...καὶ φωτὰ δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα, αἱ περὶ αὐτὸν δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα. Cf. Or. XL, pag. 639, ubi inter cetera: δεύτερον δὲ φῶς Ἄγγελος, τοῦ πρώτου φωτὸς

λόγοις ἀρξάμενος ἄνωθεν (οὐ γὰρ ἐξῆν, ὡς ἔοικε, συνεζευγμένον ὕλῃ τὸν νοῦν τὰς ἐκεῖθεν ἐλλάμψεις ἀμέσως ἰνδάλλεσθαι, χρῆσθαι δὲ καί τινι μεσίτῃ καὶ συνεργῷ), ἀφορίζει θ' ἑκάστῃ τόπον κατάλληλον καὶ διανέμει προσηγορίαν ἀνάλογον, καὶ ἀριθμῷ περιορίζει προσήκοντι, μήτ' ἐλλείποντι μήθ' ὑπερβάλλοντι· προσφυῶς (1), οἶμαι, ἵνα καὶ τὸ τριλαμπὲς τῆς παραγαγούσης μαρτυροῖτο τριάδος τε καὶ θεότητος, ἥ τε βάσις τετραγωνιζομένη (2) στερρὰ γνωρίζοιτο καὶ δυσκίνητος. Ὁ τρία γὰρ ἐφ' ἑαυτὸν τρισσευόμενος τὸν ἐννέα προήνεγκε· μέλλον ὅσον οὐκ ἤδη καὶ τὸ ἐλλεῖπον προσθήσεσθαι, ἐφ' ᾧ τὸν ἀπὸ μονάδων τέλειον ἀπαρτίσεσθαι δέκα. Ἐπεὶ δὲ προσετέθη κἀκεῖνο, καὶ τὸν ἐξ ὕλης καὶ εἴδους ὁρατὸν ὠργάνωσε κόσμον, τῷ τε δευτέρῳ τὸ τρίτον ἐπέδωκε φῶς (3), οὐδὲ τοῦτον πλημμελῶς ἀφῆκε κινεῖσθαι, ἀλλ' ὑπὸ σταθμῷ καὶ μέτρῳ καὶ ζυγῷ τῆς ἑαυτοῦ φιλοσοφίας συνέπηξεν, ἐπιδιελὼν καὶ τὸν κλῆρον τοῦτον εἰς ἀριθμὸν μυστικόν· μυστικὸς γὰρ ἄνωθεν ὁ ἑπτὰ (4), καὶ σεπτὸς (5) προσμαρτυρεῖται

ἀπορροή τις ἢ μετουσία. Rursus Or. XXXVIII, p. 617, de angelorum creatione: οὕτως ὑφίστανται λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον.

(1) Est inter ὑπερβάλλοντι et προσφυῶς spatium unius versus nunc vacuum, erasis omnino vocibus quibus olim impletum fuit.

(2) Basis seu radix, numerus scilicet 3, si quadretur, numerus prodibit quadratus, scilicet 9; e quo, monade addita, fit decem: sunt autem angelorum ordines decem.

(3) Hominem scilicet. Gregor. Naz. p. 639: τρίτον φῶς ἄνθρωπος.

(4) Gregorius Naz. Or. XLII, p. 687, de septenario: οὗτος γὰρ μυστικώτατος ἀριθμῶν. Jam quid innuitur? septem, puto, planetæ. Alexander Aphrod. in Meursii Denario cap. 9: ὅτι καὶ τέλειος ὁ ἑπτὰ φύσει ἀριθμὸς δῆλον ἐκ τοῦ διοικεῖν τὸν θεὸν τὸν περίγειον κόσμον ἑπτὰ ἀστέρας.

(5) Metaphysici quidam curio-

καὶ (1) τίμιος, εἴτε τῶν ἑπτὰ παρειληφώς γε χαρισμάτων τοῦτο τοῦ πνεύματος (2), εἴτε τῷ τὴν τριάδα καὶ τετράδα οἱ ἐνθεωρεῖσθαι καὶ τῷ δημιουργῷ τὴν δημιουργίαν συνάπτειν, εἴτουν τῷ παρθένος εἶναι (3) καὶ καθαρὸς, εἴτε καὶ διὰ (4) λόγους ἄλλους οὓς αὐτὸ τὸ πνεῦμα μόνον ἐπίσταται· ἔστι δ' οὖν γε σεπτός. Τοῦ τοίνυν ἑπτὰ πρὸς ἑπτὰ μονάδας διωρισμένου, τοσαύτας δὴ καὶ τάξεις ἁγίων ἀνδρῶν ἀριθμητέον ἀνέκαθεν, ἃς εἴ τις ἂν πρὸς τὴν ἐμὴν Θεοτόκον συγκρῖναι πειράσαιτο, οὔτ' ἐκείνην τῆς ἑαυτῆς ὑφεῖναι δόξει περιωπῆς, οὔτ' οὖν οὐχὶ ταύτας αὐτὰς ἑαυτῶν τιμιωτέρας συστῆσαι· καὶ χρυσῷ γὰρ παραβαλλόμενος ἄργυρος, οὐκ ἔσθ' ὅπως οὐ λαμπρότερον ἐκεῖνον ἀπέφηνε καὶ πλέον ἑαυτὸν ἐξηυγένισεν ἐκείνῳ συνάγων

siores ipsum nomen ἑπτὰ derivarunt ab σεπτός. Philo De mundi opif. ubi multus ac nimius est de septenarii virtutibus p. 28 = 30 : διό μοι δοκοῦσιν οἱ τὰ ὀνόματα τοῖς γράμμασιν ἐξ ἀρχῆς ἐπιφημίσαντες, ἅτε σοφοὶ, καλέσαι τὸν ἀριθμὸν ἑπτὰ ἀπὸ τοῦ περὶ αὐτὸν σεβασμοῦ καὶ τῆς προσούσης σεμνότητος. Ῥωμαῖοι δὲ, καὶ προστιθέντες τὸ ἐλλειφθὲν ὑφ' Ἑλλήνων στοιχεῖον τὸ σ, τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν ἐτυμωτέραν, σέπτεμ προσαγορεύοντες ἀπὸ τοῦ σεμνοῦ. Vide ibi Mangey. Pro γράμμασιν legere velim πράγμασιν, quæ permutatio est frequens; ac scripserim, codicem sequutus : τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν, ἐτυμώτερον σέπτ...

(1) Inter προσμαρτυρεῖται et καὶ dimidius versus vacuus est, facta rasura.

(2) Gregorius Naz. Or. XLIV, p. 706 : τῆς δὲ τοῦ ἑπτὰ τιμῆς πολλὰ μὲν τὰ μαρτύρια.... ὡς ἑπτὰ μὲν ὀνομαζόμενα τίμια πνεύματα· τὰς γὰρ ἐνεργείας, οἶμαι, τοῦ πνεύματος πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν. Respicitur, puto, Isaiæ locus XI, 2 : καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ.

(3) Gregorius Naz. in Meursii Denario c. 9 : μόνος τῶν ἐντὸς τῆς δεκάδος ἀριθμῶν οὔθ' ὑφ' ἑτέρου γεννᾶται, οὔτε ἕτερον γεννᾷ, καὶ οἱ ἀριθμητικοὶ παρθένον λέγουσι τὴν ἑπτάδα. Conf. ibi et alia loca, et adde quæ notavi in Notitiis Mss. t. XI, II, p. 71.

(4) Addidi omissam a librario præpositionem διά.

τὸ κρεῖττον ἐκ παραθέσεως. Οὐκοῦν τὸ ταῖς ἄνω μὲν καὶ πρώταις (1) ἀντεξετάζειν βιάζειν παρίημι (οὐ γὰρ ἔργον τοὐθ' ἡμετέρας δυνάμεως), τοσοῦτον μόνον εἰπὼν τιμιωτέραν εἶναι τῶν Χερουβὶμ καὶ τῶν Σεραφὶμ ἐνδοξοτέραν, καὶ τῶν λοιπῶν πασῶν ἀσυγκρίτως (2) δυνάμεων· ἄττα δ' ἂν δυναίμην ἴσως ἐρεῖν περὶ τῶν δευτέρων καὶ κάτω, καιρὸς ἤδη.

Τῶν πρὸ νόμου δικαίων (καλὸν γὰρ ἀνέκαθεν ἄρξασθαι), καλῶς τὸν βίον διῳκηκότων καὶ δικαιοσύνην κατωρθωκότων (ἐντεῦθεν γάρ, οἶμαι, καὶ τὸ καλεῖσθαι δικαίους ἐσχήκασι), τίς ἐκείνης ἢ δικαιοτέρως πεπολίτευτο, ἢ βίον ἐβίω εἰρηνικώτερον, ὡς μηδὲ λογισμῷ παραλόγῳ ἐφεῖναι παρείσδυσιν, μηδὲ ψιλῆς ἄχρι διανοίας χρανθῆναι; Ἐκείνας ἀγαθὰς προφήτης ἄν τις εἶπεν ἡμέρας, ἐκεῖνον ἐνιαυτὸν τῷ Κυρίῳ δεκτὸν (3), καὶ στέφανον ηὐλογημένον χρηστότητος (4), ὅτε καὶ ἦν ἰδεῖν ἐλέῳ ἀλήθειαν συναντήσασαν καὶ δικαιοσύνην ἐξ οὐρανοῦ διακύψασαν καὶ εἰρήνην καταφιλήσασαν (5), ὁπηνίκα καὶ τῇ κάτω μέρος ἐδίδου ζωῇ καὶ τῷ χρόνῳ τῷδε ἀριθμὸν ἡμερῶν λυομένων ἐβράβευεν.

Ἀβραὰμ πρώτιστος ἐν πατριάρχαις καὶ μέγιστος, οὗ τὸ τῆς πατριαρχείας ἀπηρτισμένον σεμνόν, οἷά τις κλῆρος ἐξαίρετος, πρὸς τοὺς ἐξ αὐτοῦ διαβέβηκεν·

(1) Deest nomen; forsan δυνάμεσι.

(2) Ephræm Syrus initio Sermonis de Mariæ laudibus, apud Giacomellium ad Modestum p. 2: τιμιωτέρα τῶν Χερουβὶμ καὶ ἀσυγκρίτως πάντων τῶν οὐρανίων στρατιῶν. Cf. supra p. 1, n. 2; p. 28, n. 4.

(3) Isai. LXI, 2.

(4) Psalm. LXIV, II: εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.

(5) Psalm. LXXXIV, 10: ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν...καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε.

ἀλλ' ὁ μὲν διὰ κακίας ἀπόθεσιν καὶ πρὸς τὸ λῷον μετάθεσιν, θρησκείας δὲ μᾶλλον εὐσεβεστάτης ὑπόθεσιν καὶ θυσίας ἀθύτου καὶ ἀναιμάκτου μυστήριον, γῆς μὲν μετανάστευει πατρῴας (1), κληρονομεῖ δ' ἀνθ' ἑτέρας ***** νὶ δοκοῦντι (2) δῆθεν παρεῖσθαι, ἀηδῶς πως διατεθειμένους, καὶ με μὴ μετρίως αἰτιωμένους τὸ μέρος τοῦτο ζημιοῦντα τὴν παρθένον, ὡς οἴεσθε.

Ἀλλ' αὐτὸς, ὅσα με εἰδέναι, οὐδὲ τῆς καλῆς ὁμολογίας ἀπέσχημαι· ἔχω γὰρ εἰδὼς ταὐτὸν ὁμολογίαν εἶναι καὶ μαρτυρίαν, καὶ σκοπὸν ἐφ' ἕνα βάλλον ἑκάτερον. Οὐ γὰρ ἔσθ' ὅπως ὅστις ὁμωμολόγηκεν οὐχὶ μεμαρτύρηκεν, οὐδ' ὅστις μεμαρτύρηκεν οὐχ ὁμωμολόγηκεν, ὥσπερ οὐδ' ὅστις οὐ γέγονεν οὐ γενήσεται, οὐδ' αὖ γεγονὼς οὐ φθαρήσεται· ἕρπει παραλλὰξ ταῦτα, τοῦ Θεοῦ μεταποιοῦντος ὅπως ποτὲ βούλεται. Εἰ δὲ τῷ μὴ δοῦναι τόπον οἰκεῖον ὁμολογίᾳ, παρὰ τοῦτ' αὐτὸ δυσχεραίνετε, θαῤῥεῖν ἐγνώμαι· οὐδὲ γὰρ ἂν αἱροίμην προσανιάσειν, ἧσαι συγκαλεσάμενος· οὐκοῦν θαρσεῖτε· ἔχετέ με καὶ γὰρ μέσον συνειληφότες, καὶ οὐδὲν ὅ τι διαδρᾶναι μηχάνημα. Συντείνετε τοίνυν οἱ τῆς ὁμολογίας, ᾗ τάχος· δρόμῳ χρῆσθε, τὸν καιρὸν προλαμβάνετε, τὴν ὁδὸν ἐπιτέμνετε· ἤδη γὰρ ἡ Θεοτόκος ὑπερδεδράμηκε, καὶ τὴν καλλίστην (3) ὁμωμολόγηκε, Χριστὸν οὐχ ὅτι τὸ μέγα προενεγκοῦσα μυστήριον, ὅτι μὴ καὶ πνεύσασα καὶ κηρύξασα, κἂν δεῖν

(1) Genes. XII.

(2) Inter ἑτέρας atque δοκοῦντι folii unius avulsi chasma patet. Superest membranæ laceratæ fragmentulum, unde ultimam ultimæ vocis syllabam νὶ sumsi. Supersunt præterea e recto initia ultimorum versuum ε. . . όιν. . . σα. . . θαυ. . . γινομ. . . et e verso fines δ'. . . . . μω. . . οῖ. . . τὰ. . . . καὶ. . .

(3) Deest forsan ὁμολογίαν.

ἔστιν ἐρεῖν (1), ὅλη ὅλῳ συνημμένη καὶ ὅλου ὅλως ἐξημμένη. Ἂν ὠφθῆτε τἀριθμῷ, τῇ προθέσει προφθάσατε· ἂν ἡττηθῆτε τῇ τάξει, νικήσατε τῇ σπουδῇ· ἀντισηκοῖ γὰρ καὶ χρόνον τὸ πρόθυμον, καὶ τόπον τρόπος ἀντικαθίστησιν. Ἂν τὸν υἱὸν ἐπ᾽ ἀνθρώπων ὁμολογήσητε, ἐπὶ τοῦ πατρὸς παρ᾽ αὐτοῦ ὁμολογηθήσεσθε· ἂν κηρύξητε Θεὸν ἄνθρωπον, ἄνθρωποι θεοὶ κηρυχθήσεσθε.

Τί φατέ; ἱκανὰ ταῦτα, ὦ ἄνδρες, τῆς δι᾽ ὑμᾶς προσθήκης, ἢ προσθετέον καὶ πλείω; ἀποχρώντως ἔχετε τῶν εἰρημένων, ἢ δεῖ καὶ δι᾽ ἑτέρων ἐλθεῖν; Ἐγὼ μὲν, πάλαι κάμνων περὶ τὸν λόγον, καὶ μήθ᾽ ᾗ προσῆκε τῶν πραγμάτων ἡμμένον ὁρῶν, μήτ᾽ οὖν ἀξίως κεχρημένον ταῖς ὑποθέσεσιν, ἐβουλόμην τῆς περὶ τὰ πρόσω φορᾶς ἐπισχεῖν· ἐπειδὴ δ᾽ οὕτω τῶν τῆς ἑορτῆς κατάκρας ἑάλωτε καὶ τῷ τῶν διηγουμένων κεχήνατε μέλιτι, ὡσὰν εἰ μηδὲ τὴν ἀρχὴν ἀνεγεύσασθε, ὁποῖον δή τι φασὶ καὶ τὴν σελευκίδα λιχνεύεσθαι, ὥστε μή ποθ᾽ ὅρον εἰδέναι κόρου (2), ἀλογῶ τοῦ καμάτου καὶ τῶν ἑξῆς ἐφάπτομαι προθυμότερος.

Οὕτω τοιγαροῦν ἀριστίνδην διαθεμένης τὰ καθ᾽ αὑτὴν, ὥστε μή ποτ᾽ ἐξεῖναι κρειττόνως ἢ χορηγῆσαι τὸ

(1) Monui t. II, pag. 78, δεῖν esse attice scriptum pro δέον, et exempla apposui. Nunc et alia apponam e Theodori scriptis desumta. Epist. 74: ἐσίγων μὲν, ὅτε δεῖν ἦν· λέγω δὲ νῦν, ὅτε καιρός. Et est in eadem epistola δεῖν pro δέον, vel δεῖ: τίνα με δεῖν ψυχὴν ἔχειν; Conf. initium epistolæ 67, et supra p. 34, 5.

(2) De seleucide ave, locustis maxime exitiosa, et insatiabili, vide notata ad Eunapii editionem t. I, p. 490. Basilius Homilia mor. pag. 114: τὴν σελευκίδα τὸ ὄρνεον ἐπ᾽ εὐεργεσίᾳ τῶν ἀνθρώπων ἀκόρεστον εἶναι ὁ κτίσης τῶν ὅλων ἐμηχανήσατο. Manasses Chronicis p. 77: Ὡς σελευκίδες ὤφθησαν ταῖς πτερωταῖς ἀκρίσιν.

πνεῦμα ἢ μὴν βελτιόνως αὐτὴν διαθεῖναι, τί γίνεται, καὶ τίνας ἀντιδόσεις ἀξίας λαμβάνει τῶν πόνων; εἰς οὐρανίας ἀναλύει σκηνάς, οὔκουν οὐδ' αὐτὸ τὸ σῶμα ἐπι (1) συμφυρῆναι τῇ γῇ συγχωρήσασα· ἀναπείθει δὲ πρὸς τὸ πνεῦμα Θεὸν προενέγκαι συναναπτῆναι· οὐδὲ γὰρ ἐξῆν, ἀνιόντος τοῦ κρείττονος, μὴ καὶ αὐτὸ δὴ συνανιέναι, ὡς ἂν ᾧ συμπερὶ ὃν ἠγωνίζετο συμμετάσχοι τῆς ἀπολαύσεως, καὶ ὁ παρὰ τοὺς ἀγῶνας ἤλειφεν σωθείη (2) καὶ μετὰ τὴν ἀνάλυσιν, κἀκεῖνο μὲν εἰδῇ διάστασιν πεισομένην τὴν προτέραν συνάφειαν, τοῦτο δ' αὖ δευτέραν σύμμιξιν τὴν διάζευξιν καὶ οὔ ποθ' ὑφισταμένην διαίρεσιν· ὅ γε δὴ καὶ θαυμάσιον. Καὶ μεταθέσει μὲν τετιμημένος Ἐνὼχ (3), μετ' Ἐνὼχ δ' Ἠλιοὺ (4), κἂν μηκέτι πεπονθείτην ἀνάλυσιν, πείσονται μὲν, ὅταν τῇ προνοίᾳ δοκοῦν· τὸ δ' ἐφθορὸς καὶ ταφῇ δοθὲν, ἐφ' ὅσον οὖν τὴν φύσιν πιστώσασθαι, οὐ παρῆκέ μοι διώξειν αὐτίκα τὴν σύννομον.

Τίν' οὖν τἀντεῦθεν, οἶδα, γνῶναι ποθεῖτε. Οὐρανοὺς καλύπτει, οὔστινασδὴ τούτους ὑποληπτέον· γῆν διαλαμβάνει· τοὺς μὲν ἀρετῶν ὑπερβολῇ καὶ μεγέθει, τὴν δὲ διανομαῖς καὶ χαρίσμασιν εὐεργεσιῶν, καὶ οὐχ ὅσην οἱ ἀπὸ Χριστοῦ κεκλημένοι νεμόμεθα, οὐδ' ὅσην οἱ τῆς ἐρημίας, τοῦτο δὴ τὸ θεῖον ἔθνος, ἀσπάζονται, ἀλλὰ καὶ ἣν οἱ τῆς ἀλλοφύλου μοίρας καὶ ἀλλοτρίας

(1) Quæ post ἐπι olim legebantur literæ nunc sunt evanidæ. Forsan ἐπιπολὺ, vel ἐπιπλεῖον.

(2) Nescio an σωθείη fuerit scriptum a librario; adeo tenuia supersunt vestigia.

(3) Genes. v, 24: καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός. Respexit Theodorus Gregorium Naz. Or. XLIV, p. 707: ἐννοῶ μὲν τὸν ἕβδομον ἐν προγόνοις Ἐνὼχ, τῇ μεταθέσει τετιμημένον.

(4) IV Reg. II, 11.

Χρισίου, καὶ ἥ τις μέχρις ἀοικήτων αὐτῶν παρατέταται, κατὰ ***** ἐν (1) πνεύματι.

Ταῦτα τῆς Θεοτόκου κατηγορεῖς, ὁ καλὸς εὐγνώμων περὶ τὴν εὐεργέτιν, καὶ μηδ' αὐτὸ τοῦτ' εἰδὼς ὅ τι ποτ' ἐστὶν εὐεργεσία· καὶ διὰ ταῦτα τολμᾷς βλασφημεῖν ὅτι ἔσχηκε μὲν ἐν γαστρὶ, τέτοκε δὲ τὸν Ἐμμανουήλ (2). Καὶ ὁ τῆς ἀπορρήτου μεγάλης βουλῆς ἄγγελος, ὁ τοῦ μέλλοντος αἰῶνος πατὴρ, Θεὸς ἀναμάρτητος καὶ ἀθάνατος ὢν, ἄχρις ᾅδου συγκαταβέβηκεν, ὥσθ' οἱ κατὰ σὲ τελῶναι καὶ πόρναι μέχρις οὐρανῶν ἐπαρθείημεν, σὺ δ' Ἡσαΐου τοῦ μεγάλου κατεξορχήσῃ προφήτου, ὅτι τῇ προφήτιδι μὲν ἄρσεν τὴν μήτραν διήνοιξεν (3), ἡ παρθενικὴ δὲ πύλη κεκλεισμένη (4) διαμεμένηκε καὶ παρὰ δόξαν συνήντησε, μᾶλλον δὲ παρὰ φύσιν ἑκάτερον, ὅτι τὸ ἐσφραγισμένον βιβλίον (5) ἀνδρὶ μεμνήστευτο τέκτονι, ὡς ἂν καὶ προφῆται μὴ ψευσθέντες μεγαλυνθεῖεν, καὶ οἱ τῆς ἀνομίας καταισχυνθεῖεν ἀδικίαν εἰς ὕψος λαλοῦντες, καὶ, θέμενοι τὰς γλώττας ἐς οὐρανὸν, αὐταῖς βλασφημίαις κατενεχθεῖεν ἐς Τάρταρον! Τοῦτο δὲ πῶς οὐκ ἐγκαλεῖς ἀπαυθαδιζόμενος, τὸ μηκέτι πρὸς παιδὸς παραγγείλασαν ἥβην, ἀλλ' ἔτι τὴν τοῦ βρέφους ἡλικίαν ἀνύ-

(1) Deest inter *κατὰ* et *ἐν* folium unum, quod fuit avulsum. In particula superstite sunt ex pagina recta initia septem versuum imorum, *τῆς πρ....υἱὸν δια...τριάδος....ἀναισθήτων...ἀπόνοιαν....ἀλλὰ νῦν μὲν.....οὐ π...* et ex versa fines octo versuum....*ψήσης...ιν ἤνο..οἴω φημὶ....ιν' ἔχη....ατίση λύχνος....οις σου καὶ....σοι τά...ἴνου....*

(2) Matth. I, 23 : *ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.*

(3) Luc. II, 23.

(4) Confer similia p. 31, n. 1; p. 55, n. 2.

(5) Respectu ad Isaiæ locum XXIX, II.

τουσαν, προηγεῖσθαι μὲν παρθένων σεμνῶν, προηγεῖσθαι δὲ πατέρων σεπτῶν, μεθ' ὅσης εὐλαβείας οἴει καὶ κατασπάσεως, φαιδραῖς τε λαμπάσι προπέμπεσθαι (1), καὶ χερσὶν ἱεραῖς ἱερῶν ἀρχιερέων εἰς τὰ τῶν Ἁγίων Ἅγια προβιβάζεσθαι (2), καὶ δι' ἀρχαγγέλου καινὴν προσίεσθαι δίαιταν (3), δῆλον ὂν ἐντεῦθεν· καὶ τετιμῆσθαι διὰ ταύτην πατέρας, καὶ προτετιμῆσθαι παρθένους, πρὸς τὰ φρικτὰ τῆς τελεταρχικῆς ἱεραρχίας μυστήρια παρακύπτουσαν, καὶ Χριστὸν μὲν τὸν οὐράνιον ἄρτον οὕτω δὴ γαλουχήσειν, τῆς καθ' ἡμᾶς δ' ἐκκλησίας βασιλίδα κραταιὰν προκαθίσεσθαι.

Μεμνήστευτο μὲν Ἰωσὴφ, οὐχουν δ' ὥστε καὶ τέκτονι (4), ἀνδρὶ δὲ πρεσβύτῃ (5) καὶ γραμμάτων θείων εἰδήμονι· καὶ οὐχ ὅπως ἐκείνῳ (6) γνωσθῇ (ἄπαγε, ἐπεὶ καὶ σεμνότης ἐπήνθει τῷ γέροντι, καὶ τὴν ὀσφὺν (7) σωφρόνως ἀνέζωστο), ἀλλ' ὅπως τῷ μεγάλῳ τηρηθῇ

(1) In Jacobi Protevangelio c. 7, Joachim Mariam ad templum ducturus : καλέσωμεν τὰς θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους, καὶ λαβέτωσαν ἀνὰ λαμπάδα καὶ ἔστωσαν καιόμεναι.

(2) Ibidem : ἐδέξατο αὐτὴν ὁ ἱερεὺς. . . . καὶ ἐκάθισεν αὐτὴν ἐν τῷ τρίτῳ βαθμῷ τοῦ θυσιαστηρίου. Conf. Epiphan. monach. c. 4.

(3) Supra p. 33.

(4) Erat enim Josephus faber, quod a multis fuit traditum : τὴν τέχνην τέκτων ἀκράτητος, Epiphanius monachus ait p. 50. Ibi Mingarellius vocem ἀκράτητος quid significet, aut quomodo emendanda sit, ignorare se modeste fatetur. Significare hic puto « qui » non superari potest » : est ergo τέκτων ἀκράτητος, « faber quo nul» lus peritior. »

(5) Josephus ipse in Jacobi Protev. c. 9 : υἱοὺς ἔχω καὶ πρεσβύτης εἰμί. Evangelium de Nativ. Mariæ c. 8 : « erat. . . . Joseph » homo de domo et familia David » grandævus » : ubi Fabric. Epiphanius mon. l. c. eum ait fuisse ἐτῶν περί που ἑβδομήκοντα.

(6) Alludit ad verba Mariæ apud Lucam : πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω ;

(7) Imitatio loci biblici, forsan Epistolæ ad Eph. vi, 14 : στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. Cf. Epist. i Petri i, 13.

ἀρχιτέκτονι, καὶ μυστικῶς μὲν ὁ θεῖος λόγος ἀναγνωσθῇ, ἡ σφραγὶς δὲ σχολῇ γ' ἂν διαλυμανθῇ τῷ βιβλίῳ (1), ὅ τε τῆς κακίας προστάτης καὶ σοφιστὴς, κακὸς κακῶς τὰς παρθένους πειρῶν, κάλλιστά γε ἀπατηθῇ.

Ἐκεῖνα τῆς οἰκονομίας, ταῦτα τῆς ἐξουσίας· ἐκεῖνα τοῦ γράμματος, ταῦτα τοῦ πνεύματος. Σὺ δ', ὅτι μὲν γεγέννηκε, συλλογίζῃ, ὅτι δ' ἀσπόρως, παραλογίζῃ· καὶ δι' ἐκεῖνο μὲν μητέρα καλεῖν οὐκ ἀπαξιοῖς, διὰ τοῦτο δὲ παρθένον ὀκνεῖς. Ἀλλὰ μάγοι μὲν μεγάλοι Περσῶν βασιλεῖς (2), ἑλληνιζόντων δὲ παῖδες, μήτε νόμῳ δουλαγωγούμενοι, μήτε προφήταις ὑπείκοντες, καὶ τὸν τεχθέντα Θεὸν ἀληθῆ καὶ τὴν τεκοῦσαν παρθένον ἁγνὴν ἀνωμολογήκεσαν· σὺ δὲ καὶ ὑποκεῖσθαι νόμου ζυγῷ βρενθυόμενος καὶ προφητῶν πεπαιδαγωγῆσθαι γραφαῖς, καὶ τῆς ὄντως, ὡς οἴει, θεότητος μόνος εἶναι προσκυνητὴς, σαυτὸν λανθάνεις ἁπάντων οὐχ ἥκιστα δυσσεβῶν; εἰ μὲν γὰρ ὀρθοτομῶν τυγχάνεις, ὡς ἰσχυρίζῃ, τὰ γράμματος, ὅτου χάριν ἀποδοκιμάζεις τὰ πνεύματος; ὥσπερ εἴ τις ἀποδέχοιτο μὲν ἂν τὸ τῆς εἰκόνος προσκίασμα (3), τέλειον λογιζόμενος, αὐτὴν δ' ἐκείνην ὡς ἀτελὲς ἀποστρέφοιτο· εἰ δὲ ταῦτα φεύγεις ὡς πλάνην, οὐκ ἔσθ' ὅπως οὐκ ἐκεῖνα τούτων πολυπλανέστερα, ἢ καὶ σκιὰν ἴσθι κρίνων οὐσιωδέστερον σώματος· ὥστε, δι' ὧν ἀποστρέφῃ

(1) Respicit locum allegoricum supra p 49, n. 5; quo et usi sunt Gregor. Thaum. p. 27, Gregor. Thessal. in Annunt. p. 77.

(2) Conf. p. 4.

(3) Gregorius Naz. Or. XLII, p. 683, legem judaïcam pariter vocavit σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων, collatis Apostoli ad Hebr. x, 1, verbis: σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν. . . .

τὰ χάριτος, ἀτιμάζων ἐλέγχῃ τὰ νόμου, δι' ὧν δ' ἀτιμάζεις ἐκεῖνα, ὃν προσκυνεῖς ἀθετῶν, καὶ δοξάζων μᾶλλον δὲ συνάγων οὐδὲν, ἢ χερσὶ περισφίγγων καπνὸν καὶ διὰ κοσκίνου πηγὴν ἀρυόμενος φρέατος (1). Ὡς ὤφελες, κἂν μὴ ὡς βοῦς τὸν κτησάμενον, ἀλλ' ὡς ὄνος γνῶναι τοῦ σοῦ κυρίου τὴν φάτνην (2)! Νυνὶ δὲ πανταχόθεν γύνη τοῦ καλοῦ καὶ τῆς ὀρθότητος ἔκπτωτος, καὶ πτῶμα κινδυνεύεις κατενηνέχθαι, ὅσων οἴει στεναγμῶν καὶ θρήνων ἐπάξιον! Ἀλλ' ἔχεις προκειμένην σοι τοῖν ποδοῖν ὑπτίαν ὁμοῦ καὶ βασιλικὴν τὴν πρὸς τὴν ἀλήθειαν φέρουσαν· ἔχεις ἐγχειρίδια τὰ σωτηρίας φάρμακα· χρῆσαι ταῖς ἀντιδότοις, χρῆσαι τοῖς βοηθήμασι· κατεύθυνον τὰ διαβήματά σου Θεῷ (3)· ἀποκάλυψον τοὺς ὀφθαλμούς σου καὶ κατανοήσεις ἐκ τοῦ νόμου τὰ τῆς χάριτος ἐγκεκρυμμένα θαυμάσια. Σύμφθεγξαι τῷ Δαυίδ· « ἐπιστρεψάτω- » σάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ

(1) Extulit verbis non solitis proverbium vulgare, *κοσκίνῳ φέρεις ὕδωρ, κοσκίνῳ ὕδωρ ἀντλεῖς*, de quo t. I, p. 395. Quod fieri nequit potuit tamen facere Tuccia vestalis, quæ, ab incesti crimine se purgatura, cribro aquam hausit e Tiberi et in Vestæ ædem pertulit. Rem narravit Valerius Maximus, idque verbis, ut par fuit, seriis.

(2) Isai. I, 3: *ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ.*

(3) Psalm. XXXIX, 2: *κατεύθυνε (Κύριος) τὰ διαβήματά μου.* Cf. Psalm. CXVIII, 133. Constantinus De admin. imperio procem. hinc illustretur: *συνετιεῖ σε ὁ πλάσας σε, κατευθυνεῖ σου τὰ διαβήματα.* Primis verbis respiciebat hujus psalmi v. 130: *ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους.* In illo Constantini procemio plurima sunt pariter ex Scripturis illustranda, in quibus Meursii et Lamii silentium miror. Statim prima verba, *υἱὸς σοφὸς εὐφραίνει πατέρα, καὶ πατὴρ φιλόστοργος ἐπὶ υἱῷ τέρπεται φρονίμῳ*, conferenda erant cum Prov. X, 1, XVIII, 21; ut et sequentia *καθιστᾷ βασιλεῖς* cum Daniele II, 21. In illis subsisto, quæ statim obtulit memoriola. Qui plus meminerit, aut Trommio poterit uti, alia dabit.

» μαρτύριά σου· γύμνωσόν μοι τοὺς μώλωπας καὶ » ἀκεσαίμην ἄν σοι τὰ στίγματα· » ἐξαγόρευσον τὴν ἀνομίαν σου τῷ κυρίῳ καὶ ἀφεθείη σοι τὸ τῆς καρδίας ἀσέβημα (1). Ἀπόδος τὴν εὐχαριστίαν, καὶ λήψῃ τὴν εὐλογίαν· κτῆσαι λόγῳ μικρῷ μεγάλην ἀπόλαυσιν· ἐπιστράφηθι τῶν ἀγαθῶν ὧν οὔτ' ὀφθαλμὸς πεῖραν, οὔτ' ἀκοή τις παρείληφεν (2). Ἂν τὴν παρθένον ὁμολογήσῃς ὅπερ ἐστὶ, παραστήσει σε τῷ Χριστῷ· κἂν Χριστῷ παραστῇς, μετὰ Πατρὸς προσκυνήσεις καὶ Πνεύματος· κἂν προσκυνήσῃς τὴν Τριάδα, συνδοξάσεις τοῖς Χερουβὶμ τοῖς τε Σεραφὶμ, καὶ ταῖς ἄνω πάσαις συμπανηγυρίσεις δυνάμεσι· πείθομαι γὰρ πανηγυρίζειν ἤδη κἀκείνας, εἴπερ εἰσὶ φιλόθεοι καὶ φιλάνθρωποι. Ἂν Θεοτόκον εἴπῃς (3), ἁγιασθήσεταί σοι καὶ γλῶττα καὶ νοῦς καὶ διάνοια, ἡ μὲν ὀρθῶς διανενοημένη, ἡ δ' εὐσεβὲς προενηνοχυῖα τὸ διανόημα. Γένοιό μοι τῶν δοξαζόντων, ἀλλὰ μὴ τῶν χλευαζόντων, τῶν θεολογούντων, ἀλλὰ μὴ τῶν κατηγορούντων· κρεῖττον γὰρ, εἴ τις τοιοῦτος, ἀπάγξασθαι. Οἶδα μισθοὺς τεταμιευμένους ἀμφοῖν, τοῖς μὲν χρηστοῖς ἀπολαύσεως, τοῖς δὲ, φρικώδους κολάσεως· ἀλλὰ σὺ (καὶ γὰρ οὕτω λίαν ἐξέχομαί σου καὶ περικάομαι) εἴης μοι τοῦ κρείττονος κόμματος (4), τῶν προβάτων, μὴ τῶν ἐρίφων (5), τῶν τοῦ πατρὸς εὐλογημένων (6), μὴ τῶν ἀφ' υἱοῦ κατηραμένων (7). Μὴ πλουτήσῃς

(1) Psalm. XXXI, 5: ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

(2) Paul. I ad Cor. II, 9.

(3) Codex, εἴποις.

(4) Formula ea dicendi ipsi placuit valde: cf. t. I, p. 255, n. 1; p. 291, n. 3.

(5) Matth. XXV, 33.

(6) Matth. XXV, 34.

(7) Matth. XXV, 41.

πλοῦτον κακὸν βλασφημίαν, μή ποτε Λαζάρου δεηθῇς πένητος ἄκρῳ δακτύλῳ τὴν γλῶτταν σοι καταψύξοντος (1), καὶ, μηδὲ τοσούτου τυχὼν, ἀνόνητα θρηνήσῃς (2) φλογὶ γεέννης τηγανιζόμενος (3). Ἐκστῆθι δὲ τῆς πατρικῆς καὶ συγγενίδος κακίας (4), καὶ τῶν ἐπηγγελμένων χώρων κληρονομήσεις, καὶ, πρὸς τῷ πατὴρ πολλῶν ἐθνῶν καταστήσεσθαι (5) καὶ νηπίων ἁγίων τὸν κόλπον μεθύστερον πεπληρώσεσθαι, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιώθητι. Τὰ τῆς καινῆς διαθήκης σεβάσθητι· ἡ γὰρ πειθαρχῶν τυγχάνεις, οὐδὲν παράπαν ὀνήσει σε. Τὴν μέντοι καινὴν ταύτην ὁ Θεὸς τῷ οἴκῳ Ἰσραὴλ καὶ Ἰούδα διέθετο, διδοὺς αὐτοῖς νόμους, οὐ κατὰ τὸ φαινόμενον, ἀλλ' ἐς καρδίας αὐτὰς διαβαίνοντας. Σοὶ καλῶς αἱ τῆς καρδίας λαξευθήτωσαν πλάκες (6), δακτύλῳ δὲ Θεοῦ (7) τὰ τῆς χάριτος ἐγκεχαράξεται γράμματα. Σὺ τῷ μυστικῷ πυρὶ τὸν τῆς ἀθείας μόσχον δὸς παρανάλωμα (8), καὶ παραυτὰ τὸν θεῖον τῆς παρθένου μόσχον ἕξεις σχεδιασθέντα σοι, ἐγὼ δὲ χαίρων σφαγιάσω τὸν σιτευτόν (9). Σὺ τῆς πνευματικῆς προσκύρτησον κιβωτοῦ (10), πλὴν οὐκ ἐπὶ καταπαύσει, τῇ γε δ' ἐς τὸν βίον εἰσόδῳ· ἐγὼ δ' ἀγαπήσω κἂν κατόπιν διώξαιμι, καὶ, σὴν χάριν, ἀσπασαίμην τὴν ἐπιχόρευσιν. Οὕτω κοινῇ τὴν παρθένον δοξάσαιμεν, οὕτω τῇ Θεοτόκῳ τὴν ἑορτὴν τῶν γενεθλίων τιμήσαιμεν, εἴ γε τῶν αὐτόθεν καλῶν

(1) Luc. xvi, 24.
(2) Codex, θρηνήσεις.
(3) Conf. t. ii, p. 178, n. 1.
(4) In his Judæum alloquitur.
(5) Respectu facto ad Genesin xvii, 5.
(6) Deuteron. x, 1.
(7) Exod. xxxi, 18.
(8) Respectu ad vitulum aureum: vide Exod. xxxii, 20.
(9) Luc. xv, 23, 27.
(10) Conf. t. ii, p. 133, n. 4.

ἀξίως τυχεῖν ἐφιέμεθα· τοιούτοις ἥδεται πανηγυρισταῖς, τοιούτοις ἐγκωμιασταῖς ἀσμενίζει.

Ἀλλ', ὦ παρθένε μῆτερ καὶ θεοτόκε κόρη, καὶ ἀμφοτέρου κόσμου δεσπόζουσα, ὦ βάτε (1), ῥάβδε, στάμνε καὶ κιβωτὲ, καὶ λυχνία φωσφόρε, καὶ ψυχοτρόφε τράπεζα (χαίρω γὰρ πᾶσί σου τοῖς ὑπὲρ νοῦν καὶ λόγον ὀνόμασι, καὶ σφόδρα σφίσιν ἐγκαλλωπίζομαι), ὦ πλὰξ καὶ κλίμαξ, καὶ πόκε, καὶ τόμε, καὶ πύλη κεκλεισμένη, καὶ πῖον ὄρος καὶ δασὺ καὶ κατάσκιον, καὶ πάνθ' ὅσα πατριάρχαι καὶ προφῆται καὶ προειδόν σε καὶ προήγγειλαν· ὦ βασιλέων, ἱερέων, ἀποστόλων, Ἀγγέλων κράτος, ἀσφάλεια, καύχημα, δόξα, ἔχεις μὲν, εἰ καὶ μὴ τῶν ἀνδρῶν ἁπαξάπαντας, ἀλλὰ τοὺς πλείους ὑμνητὰς ὁμοῦ καὶ προσκυνητὰς, καὶ πάντως ἄλλους ἄλλων προέχοντας· ἔχεις δὲ καὶ τὸν ἡμέτερον τοῦτον λόγον ἀπαρχὴν καὶ πεῖραν τῆς περὶ λόγους δυνάμεως (2), ὄγκῳ μὲν καὶ μεγέθει καὶ κάλλει, καὶ

(1) Ad has allegorias cf. supra pag. 22 seqq.

(2) Verba ἔχεις — δυνάμεως citavit Dutheil. Notit. Mss. t. v, p. 718. Ibi de toto hoc panegyrico judicium protulit suum vir d., quod describam: « Il semble » énoncer positivement que ce » panégyrique fut l'essai et com» me une sorte de prémices de » l'emploi de ses talens. Sa mo» destie lui fait ajouter que l'on » n'y trouvera rien de ce qui ca» ractérise les productions frap» pantes des habiles rhéteurs et » orateurs. Je ne crains point » d'avancer que tout au contraire » il n'y manque aucune de ces » beautés d'élocution et de ces » grâces de diction qui font le » mérite des discours les plus » vantés. Sans doute il y a bien » quelques légères taches..... : » mais, à parler en général.... » la netteté et la pureté du style, » le choix et l'arrangement des » mots, l'exactitude et la symé» trie des périodes, le mouve» ment et la variété des figures, » tout annonce l'un des rhéteurs » les plus habiles dans leur pro» fession; tout porte, pour ainsi » dire, à regretter que, avec tant » de connoissance des ressources

πᾶσιν ἄλλοις οἷς οἱ δεινοὶ τῶν σοφιστῶν σεμνύνονται λόγοι, μακρῷ τῶν πάντων ἐνδέοντα, πόθῳ δὲ σφοδρῷ καὶ διαπύρῳ προθέσει οὐκ οἶδ᾽ εἴ τινος δεύτερον, τὸν αὐτὸν εὐχαριστήριον καὶ δεητήριον· τοῦτο μὲν ἵν᾽ ὅπως τοῖς διὰ Θεοῦ καὶ σοῦ βασιλεύουσι (1), καὶ σὲ πνέουσι μᾶλλον ἢ τὸν ἀέρα (2), τὸ κράτος ἐς τὸ διηνεκὲς συντηρήσαιο, πᾶν ἀλλόφυλόν τε καὶ βάρβαρον ὑποτιθεῖσα καὶ ὑποτάττουσα τοῖν ποδοῖν, οὐχ ἥκιστα δὲ τὸν δεινὸν πολέμιον τουτονὶ τὸν ἐξ Ἄγαρ λέγω καὶ Ἰσμαὴλ (3), ὃς οὐκ οἶδ᾽ ὅπως τὴν σὴν ἀμπελίδα καὶ

» de son art et tant d'habileté à » les employer, l'auteur ne se » soit point exercé sur quelque » sujet moins austère et moins » étranger aux passions. On reste » persuadé que, au lieu d'un mor- » ceau destiné à rester ou com- » plétement oublié, ou relégué » parmi les productions ascé- » tiques, il eût pu nous laisser » une composition très - atta- » chante, disons même, un mo- » dèle de plus de cette éloquence » grecque, &c. » Ibidem vir d. pag. 716 : « La tournure de ses » phrases, son style, sa couleur, » sa manière, tout est calqué sur » l'antique. Jusqu'en son Pané- » gyrique de la Ste Vierge, par- » fois on croit lire des centons » d'Homère, de Pindare, de Cal- » limaque. Dans la péroraison de » ce discours, l'invocation à la » Ste Vierge, sous une foule de » noms divers, rappelle sur-le- » champ, et par la ressemblance » la plus frappante, l'invocation à » Diane, qui se trouve dans » l'hymne de Callimaque, &c. » Equidem tumidum et obscurum rhetorem tantis et omnem modum supergressis laudibus ornatum a Dutheilio fuisse miror, quas non descripsissem, adeo falsæ videntur, ni liber esset rarior. Atque ipsa Mariæ per polyonymiam invocatio nihil habet Callimachei studii. Capitulatim varia recenset Virginis nomina, quæ supra fusius exposuit et ad quæ loca similia nonnulla contuli.

(1) Andronicum patrem ac filium simul regnantes innuit, quos et compellavit t. I, p. 268, 4 : ὦ θειόπατοι βασιλεῖς. Conf. Dutheil. p. 719.

(2) Illa hyperbole et alibi fuit usus : cf. t. I, p. 290, 4. Eumathius Hysm. III, p. 93 : οὐκ ἐλεεῖς τὴν μητέρα, ἥτις σε πνεῖ.

(3) Turcorum bellum innuitur, quod Dutheilius l. l. p. 720 ad a. 1295 vel 1297 refert.

κληρονομίαν ἀθέως πατεῖ (1), ὡς ὗς ἐκ δρυμοῦ λυμαινόμενος καὶ ὡς μονιὸς (2) νεμόμενος ἄγριος (ἀλλὰ μηκέτ' ἐπὶ πλέον πατήσειε, θᾶττον ἢ λόγος βαρείας σῆς ὀργῆς πειραθεὶς, καὶ ὡς τὸ μηδὲν λογισθεὶς (3), τοῦ βασιλέως ὡς λέοντος ὠρυομένου (4) κατ' αὐτοῦ καὶ ἁρπάζοντος), τῷ τε κλήρῳ παντὶ καὶ ταῖς ἱεραῖς ἐκκλησίαις ὁμόνοιαν, εἰρήνην, εὐστάθειαν καὶ πᾶν ὁτιοῦν λῷον περιποιήσαιο καὶ χαρίσαιο (5)· ἐκεῖνο δὲ ἀνθ' ὧν μυρίων δεινῶν συμπτωμάτων καὶ συγκυρμάτων (6) πονηρῶν ἀπηλλάγμεθα, τοῦ τε θεηλάτου πρηστῆρος πικρῶς νεμησαμένου (7) τὴν πόλιν σου, εἰ μὴ τὴν κραταιὰν ἀπειλὴν ηὐλαβήθη σου, οὗπερ ἔργον (8) ἐν χρῷ κεκινδυνευκότα γεγονέναι διεφυλάξω με, οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῦ βραχὺ παραπεμψομένου τοῖς ἐν ᾅδου νοσήματος (9). Ὧν χάριν καὶ τὸν λόγον ὑπέστημεν, καὶ ὧν ἐς τὸ μέλλον εὖ διατηρηθείημεν προστασίαις σοῦ, ἐλπὶς ἀκαταίσχυντε καὶ ἀκαταμάχητε. Καὶ στήσαις μὲν ἐνταῦθα τὰς τῶν πονηρῶν καθ' ἡμῶν τυραννίδας, ἐκεῖσε δὲ τὸν σὸν μὲν υἱὸν καὶ Θεὸν, ἡμῖν δὲ φοβερὸν βασιλέα τε καὶ κριτὴν, μητρικαῖς πρεσβείαις ἐξιλεώσαιο· ᾧ κράτος, δόξα, τιμὴ, προσκύνησις καὶ μεγαλοπρέπεια,

(1) Isai. XVI, 8 : *καταπατήσατε τὰς ἀμπέλους αὐτῆς.*

(2) Cf. Psalm. LXXIX, 12; et t. I, p. 272, n. 1.

(3) Daniel IV, 32 : *πάντες οἱ κατοικοῦντες τὴν γῆν ὡς οὐδὲν ἐλογίσθησαν·* conf. Isai. 40, 17.

(4) Psalm. XXI, 13 : *ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.* Conf. Petri I Epist. V, 8.

(5) Votum eventu caruit. Res enim publicæ in pejus ruerunt, et magis ac magis ecclesiasticæ turbabantur.

(6) Notula marginalis : *γρ. συναντημάτων.*

(7) Videtur fuisse prius *νεμησομένου.*

(8) Conf. p. 63, n. 1.

(9) Ejus epistola 59 scripta est quum febre laboraret, et fame : *πυροῦ τελέως ἐκλελοιπότος με, ἔργον γέγονα πυρετοῦ.*

σὺν τῷ ἀνάρχῳ καὶ ἀϊδίῳ Πατρὶ, καὶ τῷ συναν άρχῳ καὶ συναϊδίῳ, παναγίῳ καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν (1).

(1) Addam Theodori epistolam 51, qua Πεπαγωμένῳ illam Mariæ laudationem misit : ἥκει σοι μὲν ὁ λόγος· ἐπήγγελλετο γὰρ, καὶ οὐκ ἦν ὅπως οὐχ ἥξειν, σοφώτατε· ἥκει δὲ (πῶς δοκεῖς;) μεθ' ὅσης αἰδοῦς; φάναι δὲ μᾶλλον, ὑποσολῆς! περιδεδιὼς τῇ ψήφῳ, οἷα τις (bene cod. οἷα τις) ἐξοίσεται. Κἂν ἴσως μὲν τῆς δοκούσης, οὐκ ἐμοὶ τὴν χάριν εἴσεσθαι δεῖν, πολλῷ γε δὲ πάντως τῇ συναραμένῃ παρθένῳ καὶ θεομήτορι, ὑπὲρ ἧς καὶ ἐξενήνεκται (cod. male ἐξενήνεγκται)· εἰ δὲ θατέρας, εἴην ἂν νεμεσητέος ὁ προενεγκὼν ἔγωγε· αὐτὸς δ', ἀποψηφισθεὶς, ἐπαινεκέτω μεθ' ἥτινος παρὰ πατέρα τὸν πεπομφότα.

ΤΟΥ ΑΥΤΟΥ

ΕΚΦΡΑΣΙΣ ΕΙΣ ΤΟΝ ΠΑΡΑΔΕΙΣΟΝ ΤΗΣ ΑΓΙΑΣ ΑΝΝΗΣ ΤΗΣ ΜΗΤΡΟΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.*

Ναζαρὲτ πόλις Ἰουδαίας ἐστίν· Ἄννα τῇ πόλει παρῴκει. Πατρὶς ἡ πόλις τῇ Θεοτόκῳ· πρότερον μὲν τῶν ἀσήμων καὶ ἀφανῶν, ὕστερον δὲ τῶν ἐπισήμων καὶ λίαν ἐπιφανῶν. Ἐν ταύτῃ γὰρ Γαβριὴλ τῇ παρθένῳ τὴν ἄσπορον εὐηγγελίσατο (1) σύλληψιν· ἔδει γάρ, ἔδει καὶ τὴν ἀπὸ μητρὸς Χριστοῦ γέννησιν ἀπάτορα καινουργηθῆναι καθάπερ τὴν πατρόθεν ἀμήτροα (2). Ἀλλ' ὁ μὲν Ἰωακεὶμ (οὗτος γὰρ τῇ κόρῃ πατήρ), δι' ἣν ἐξ ἀτεκνίας προσετρίβετο νέμεσιν, ὡς ὁ λόγος φθάσας

* E codice 1209, p. 36.

(1) Apponere lubet e codice regio 1630, p. 63, 2, epigrammata nonnulla, composita, ut videtur, in pictam salutationis angelicæ tabulam. Εἰς τὸν εὐαγγελισμόν. α'. Δοκῶ βροτοῦσθαι καὶ πάλιν τὸν δεσπότην. Χαίρων ὁ πεμφθεὶς, ἡ κόρη θαμβουμένη. Ὠσεὶ (cod. ὡσεί) τὸ Πνεῦμα, πατρὸς ἡ χεὶρ ὑψόθεν. Ἤκουσα πάντως καὶ τὸ « Χαῖρε » Ἀγγέλου, Εἰ μὴ τὸ πρᾶγμα καὶ πάλιν λαθεῖν ἔδει.—β'. « Χαῖρε » τὰ μυστήρια. Ταῦτα δ' ἔδνα σοι, κόρη, Χθὼν, οὐρανὸς, θάλασσα, σύμπασα κτίσις, Βροτοὶ, νόες· τὸ πρῶτον, ἡ πάντων πλέον, Σὸς παῖς Θεοῦ παῖς, δεσπότης σὸς νυμφίος.—γ'. Ὁ νοῦς, τὸ χαῖρε: καὶ Λόγος σὺν τῷ λόγῳ, Ὑπὲρ λόγον, σὴν, μῆτερ, οἰκεῖ γαστέρα.—δ'. « Χαῖρε » ὁ νοῦς ἔφησας· ὢ περιττοῦ λόγου! Ἄρρητος ἡ σάρκωσις· ὢ καινοῦ τρόπου! Γαστὴρ γυναικὸς οὐρανοῦ νικᾷ κύτος.—ε'. Δέχου τὸ πῦρ χαίρουσα, χρυσῆ λυχνία (cf. supra p. 24). Φλέγει Χερουβὶμ, πλὴν σε καὶ τέρψει, κόρη.—ς'. « Χαῖρε » τὸ ῥῆμα· καὶ τὸ πρᾶγμά μοι λέγων, Σὸς παῖς, Θεοῦ παῖς, δεσπότης σὸς, νυμφίος.

(2) Eadem antithesis in alio epigrammate indidem: Ὁ μητρὸς ἐκτὸς σὴν προμήτορα πλάσας, Νῦν πατρὸς ἐκτὸς πλάττεταί σοι, παρθένε. Evam innuit nomen προμήτωρ.

ἐδήλωσε (1), τὸ καὶ τοῖς ἀνθρώποις συμμίγνυσθαι μείζονος αἰσχύνης κεφάλαιον ᾤετο· ἀμέλει καὶ λόχμαις ὀρέων, θηρσὶν ἀγρίοις συναvεστρέφετο. Ἄννα γε μὴν ἡ μήτηρ (ἀλλὰ τί δεῖ με λέγειν ὁπόσον καὶ ταύτῃ περιῆν τὸ τῆς ἀθυμίας, ἐξὸν ἔργῳ (2) δεῖξαι;) ἐπεστρέφετο μὲν οὐδενὸς τῶν οἴκοι· ἀπεστρέφετο δὲ πάνθ᾽ ὡς ἐπίβουλα καὶ στειρώσεως αἴτια, μόνῳ δ᾽ ἐν γειτόνων χωρίῳ (τὸ χωρίον παράδεισος ἦν) ἐνεσχόλαζε, καταμόνας τῷ Θεῷ ἐντυγχάνουσα. Οἷος δέ τις ἦν ὁ παράδεισος, ὅσοις τε καὶ οἵοις βρύων τῶν ἀγαθῶν, ἐκφράσων ὁ λόγος ἥκει.

Περίβολος ἦν ἐκείνῳ σχῆμα φέρων σφενδόνης· τῇ σφενδόνῃ τὸ σχῆμα περιφερές (3). Τῷ περιβόλῳ διττὸς ἐπῆρτο θριγκὸς, ἀνατρέχων ἐς ἀέρα μετάρσιος. Καὶ κόσμος ἦσαν ὡραῖος ἀλλήλοις ἑκάτεροι, ἀσφαλῶς περιστοιχίζοντες τὸν παράδεισον· ἅτερος μὲν ἐκ τεχνιτείας συνηρμολογημένος λαξευτικῆς, ὡς μήθ᾽ ὁ τὸ κλέπτειν ἐπιτηδεύων χαίροιτ᾽ ἂν τῇ κλοπῇ, μήτ᾽ οὖν ὁ τὸν ὀφθαλμὸν δουλαγωγούμενος ἔρωτι ἐκ περιέργου θέας τῷ σαρκικῷ πυρὶ περικάοιτο, παντὸς δ᾽ ἐνοχλοῦντος ἀπηλλαγμένος ἄδειαν παρέχοι τῇ κεκλημένῃ Θεῷ τῷ ποθουμένῳ προσομιλεῖν ἀῤῥέμβαστον αἰωρούσῃ τὸν νοῦν· θάτερον δὲ χορὸς περιέστεφε κυπαρίττινος, τοὺς φιτροὺς μὲν τῶν δένδρων στελεχῶν ἐψιλωμένων ἐφ᾽ ἱκανὸν, εὐθὺς δ᾽ ἐκεῖθεν ἐκφυο-

(1) Conf. supra p. 18.

(2) Antithesis solennis est τοῦ λέγειν et τοῦ ἔργου. Choricius in Procop. § 18 : οὐ γὰρ εἰπεῖν καὶ παραινέσαι τοῖς ἄλλοις ταύτην μετήει τὴν παίδευσιν, ἀλλὰ τοῖς ἔργοις ἀπεδείκνυ τὴν ἐπιστήμην. Legendum erit e codicibus regiis : οὐ γὰρ ὅσον εἰπεῖν.

(3) Eumathius Hysm. I, p. 9, in descriptione horti : σφενδόνη τὸ σχῆμα τῷ φρέατι.

μένων ἰθυτενεῖς ἐς κόμας ἀνατρέχειν κωνοειδῶς, οὕτως εὖ ἀνεσταλμένων καὶ οἷον ἀνεζωσμένων, ὡς δοκεῖν ὁρᾶν εὐζώνους νεάνιδας ὀρεγούσας ἀλλήλαις τὼ χεῖρε καὶ χορὸν ἱστώσας ἐξ ἀμοιβῆς ηὐγενισμένον καὶ ἐναρμόνιον, περὶ ἃς ἐπιστήμη συνδραμοῦσαι καὶ τέχνη τὴν οἰκείαν παραστῆσαι σπουδὴν ἑκατέρα πεφιλοτίμηντο· ἡ μὲν φυτουργίας νόμοις εὖ πως τοὺς πυθμένας ἐγκατορύξασα, ἀξιώσασά τ' ἐπιμελείας, ὅσον προνοίας ἔδει τῇ τέχνῃ· ἐπιστήμη δ' οὕτως ἀπ' ἀλλήλων διαμετρήσασα, ὥστε μὴ συμπίπτειν ἔχειν ὡς παραλλήλους (1), καὶ τὸ μεσιτεῦον μήτ' ἐλλεῖπον, μήθ' ὑπερβάλλον εἶναι διάστημα (2), τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον ὑπερεκπίπτον ἀπόστασιν.

Ἐφ' ἑνί γε μέντοι σημείῳ, ὑδροδόκη καὶ ὑδροχόη φιάλη τις ἦν τὸ σημεῖον, λόγον ἔχουσα κέντρου, πάσας ἐπίσης ὁρᾶν ἐπιστήσασα ὥσπερ ἀπὸ κέντρου πρὸς κύκλον ῥυϊσκομένας γραμμὰς καὶ πάλιν πρὸς τὸ κέντρον ἀνακλωμένας (3). Ἀπὸ λίθου χλωεΐδος ἡ

(1) Conf. t. II, p. 418, n. 3.

(2) In Steckii Observationibus sacris, § 2, nunc ipsum legebam hæc ex Perpetuæ et Felicitatis passione depromta verba, quibus vir d. utitur, climata posse et diademata dici ostensurus: « ait Perpetua se in oromate vidisse Dinocratem exeuntem de loco tenebroso, ubi et complures erant, æstuantem et sitientem valde: *et inter me et illum grande erat diadema, ita ut uterque ad invicem accedere non possemus.* » *Diadema* non est hic nec esse potest clima; sed puto corrigendum, et *diastema* legendum. Auctor vocibus græcis libenter utebatur, qui et modo *oramate*, non *oromate*, scripserat. Rem judicent, qui librum ipsum, quo careo, poterunt inspicere.

(3) Ineptias illas geometricas mutuatus esse videtur a magno nugarum artifice Eumathio, qui pariter I, p. 9: *κιονοειδὴς αὐλὸς περὶ τὸ μεσαίτατον κέντρου λόγον ἐπέχων πρὸς τὸ τοῦ φρέατος κύκλωμα.* Et forsan Theodoro ἐπέχουσα dandum pro ἔχουσα. Est enim ἐπέχειν in hoc sensu fere proprium. Gemistus

φιάλη λελάξευτο. Ἐπὶ μέσον τῆς φιάλης ὄρθιος ἀνέτρεχε κύλινδρος. Τοῦ κυλίνδρου κῶνος ὑπερεκάθητο ὡς ἐπαυχένιος κεφαλή, εἰς ὀπὰς διατετρημένος, ὅσαι δὴ καὶ τῇ κεφαλῇ τρεῖς οὖσαι πρὸς τέσσαρσι. Τῶν ὀπῶν, ὅσα καὶ φλεβῶν, ἀνηκοντίζοντο πίδακες· ὡς ἀπ' ὀφθαλμῶν δὲ μᾶλλον δακρύων κατέρρεον ῥύακες· οὕτω γὰρ ἡ τέχνη τὰς ὀπὰς πρὸς ὀφθαλμῶν ἐμφέρειαν ἐξηκρίβωσε (1). Τί δὴ πρὸς ταῦτα τὰ Νιόβεια δάκρυα, οὐχ ἡδονῆς καὶ γάνους τυγχάνοντα σύμβολα, πημονῆς δὲ καὶ πένθους τεκμήρια; Εἴ γε δὴ καὶ πρὸς λίθον Νιόβη μετέβαλεν, εἴκασεν ἄν τις, εἶπε δ' ἂν μᾶλλον, ἰδὼν, λίθον πρὸς ἄνδρα μεταβαλεῖν χαρᾶς καὶ τέρψεως ἀμφιπεριρρουνίζοντα δάκρυα, οὕτω δὲ τὴν φιάλην ὑποδεδέχθαι τοὺς ὄμβρους ἐνασμενίζουσαν, ὥσθ', ἃ μεθ' ἡδονῆς ἠγκαλίζετο, ταῦτα μετὰ πολλῆς τερπωλῆς ἐξοχετεύειν τοῖς φυτοῖς πρὸς ἐπάρδευσιν.

Ἄτία γε μὴν λεόντων σκιρτήματα καὶ παρδάλεων ἅλματα καὶ ἄρκων λυγίσματα, καὶ θηρῶν ἑτέρων ἀγάλματα, ὁ τεχνίτης ἀριστίνδην ἐγγλυφεν, οὐ τοσοῦτον ἀπεῖχον κινεῖσθαι, ὥστ' ηὔξατ' ἂν ὁ θεώμενος ἀφεστάναι που πόρρωθεν, μή ποτ' ἂν οἱ θῆρες

Pletho in Siebenkeesii Anecdotis p. 97 : ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς τὴν σφαῖραν τοῦ στερεώματος. Cleomedes, II, p. 66 = 82 : ἡ γὰρ γῆ μεσαιτάτη τοῦ κόσμου κειμένη καὶ κέντρου λόγον ἐπέχουσα. Basilius supra t. I, pag. 2, 7 : ἀρετὴ λόγον ὑγιείας ἐπέχει. Scholiastes Joannis Climaci pag. 110 : διακόνου λόγον ἐπέχει ὁ πρὸς τοὺς ἱεροὺς ἀγῶνας ἀλείφων τὸν ῥῦν. Ad Nicetam pag. 163, ubi et aliis exemplis eum verbi ἐπέχειν usum asserui, ostendi in hac formula permutata a librariis ἔχειν et ἐπέχειν. Inde et assentior Bakio, qui, ad Cleomedem p. 172, Plutarcho similem facit medicinam.

(1) Codex, ἐξηκρίβασι, cum dittographia, qua sum usus.

ἐξαπίνης ἁλάμενοι ἔργον ποιήσαιντο σπαραγμοῦ (1).

Ἀλλὰ ταυτὶ μὲν τῇ φιάλῃ περὶ τὸ κύρτωμα· πέριξ δέ γε τῆς στεφάνης οἵους θαυμασίους περιτορνεύσας ἐπικεκάθικεν ὄρνιθας, ὡς τὸν ἐπὶ τῷ σκήπτρῳ τοῦ Διὸς ἀετὸν φαίη γ' ἂν μῦθος, τῷ δοκεῖν μὲν τὰ ῥάμφη ἐμβάπτοντας καὶ τοῦ ὕδατος πίνοντας, μικροῦ δ' ἀφιπταμένους, εἴ τις ἂν προσεγγίσειε.

Τὸν μέντοι κῶνον κόσμον ἦν ἰδεῖν ἐπὶ κόσμῳ, καὶ τοῦτο τῇ φιάλῃ τυγχάνοντα, ὅπερ ἡ φιάλη τῷ παραδείσῳ. Πορφυρίδος μὲν γὰρ ἐκλελατόμητο, ἀφ' ἑτέρου λίθου τοῦ σωλῆνος μεμηχανημένου γλαυκίζοντος, ὥστ' ἐν τύπῳ μικρῷ τήν τε γένεσιν καὶ θέσιν τοῦ παντὸς αὐτόθεν φαντάζεσθαι, ἄνω μὲν τοῦ πορφυρίζοντος, κάτω δὲ τοῦ χλοάζοντος, ἀμφοῖν δὲ μεσάζοντος τοῦ βυσσίζοντος.

Τῷ γε δ' αὖ σωλῆνι διαφόρων ὀρνέων ἐγκεκολαμμένα γένη ὥσπερ ἐν ἀέρι διανενήχατο, ἥδιστά πως διέντων τὰς πτέρυγας, καὶ τῇδε κἀκεῖ περιϊπταμένων. Αὐτοῦ που δὲ καὶ ἰχθῦς, ἐπειδὴ μὴ τοῦ σωλῆνος οἷοί τ' ἦσαν ἔνδον διαπλωΐζεσθαι, τῷ μὴ μένειν ἀπρόοπτοι, τῇ θαλάσσῃ τῆς τέχνης (2) ἔξω τοῖς οὐραίοις οἰακιζόμενοι διεπλωΐζοντο περισκαίροντες. Ποῦ γὰρ εἶχον καὶ περαιτέρω; τῆς πορφυρίδος αἰθέρος λόγον ἀπειλούσης ὅ τι ποτ' ἂν προσθίγῃ

(1) Theodorus noster de Glauco ab equis devorato Epist. I: ἔργον Γλαῦκος γέγονε σπαραγμοῦ. De loquutione ἔργον γενέσθαι φόνου, πολέμου, &c., egi ad Nicetam Eugen. pag. 59; cf. p. 57, n. 8, 9. Adde Jacobs. ad Achill. Tat. IV, 15, p. 736; Wyttenb. ad Julian. pag. 176; Bassum ad Eumath. p. 320; Schelhorn. in Bibliotheca historico-philologico-theologica, cl. V, p. 851.

(2) Innuit glaucam illam canalis partem.

καταφλεγήσεσθαι. Ἀλλ' ἐκεῖνα μὲν ὁ τεχνίτης ἐς τοσοῦτον ἀκριβείας ἐξήσκησεν, ὡς ἄλλος ὢν Ἀπελλῆς· ἐκφρασθῆναι δὲ καθ' ὅσον εἶχον μιμήσεως γλώττης δεῖ Δημοσθένους.

Αὐτίκα μετὰ τὸν κυπαρίττινον πλείους ἦσαν ἄλλοι χοροὶ παντοίων δένδρων ἀμοιβαδὸν περιελιττόμενοι, οὔκουν συγκεχυμένως καὶ φύρδην καὶ τοῖς εἴδεσιν ἐπιμὶξ, οὐδ' οὐτινοσοῦν τῶν ἀτελεσφορήτων ἢ μὴν πρὸς τελεσιουργίαν ἐδωδίμην ἀπειρημένου, ἢ μὴ προϊσχομένου καρπὸν ὁμοφυᾶ πάντα πολλῷ τῷ περιόντι νικῶντα· κοσμίως δὲ καὶ κατ' εἶδος καὶ γένος ἕκαστος διωρίζοντο, τούτῳ μόνῳ διαφέρειν ἀλλήλων εἰδότες, τῷ τὸν μὲν ὀπίσθιον ἐφυψοῦσθαι, ὑφεῖσθαι δὲ πως ἀεὶ τὸν ἐνδοτέρω, ὡς ὁρᾶσθαι μὲν τὴν καλλονὴν ἐκείνου παρέχεσθαι, ὁρᾷν δὲ τὸν ζωογόνον ἥλιον ἅπαντας, ἧγε δὴ κἂν τοῖς ἱπποδρόμοις θεάτροις τελούμενον ἔστιν ἰδεῖν, συνεδριαζόντων τῶν θεωμένων κλιμακηδὸν, ἀπηρτημένων μὲν τῆς ἀνωτάτω καθέδρας, ὑποκαθημένων δ' ἀεὶ τῇ κατωτέρω βαθμίδι, μέχρις ἂν ἐς τὴν ἐσχάτην κατίωσιν, ὥσθ' ὁρᾷν τοὺς ἁμιλλωμένους ἐξεῖναι.

Ὄρνιθες δὲ, καὶ ταῦθ' οὓς ἡ τῆς φύσεως τέχνη βαφαῖς ποικιλομόρφοις ὡραΐσεν, οἱ μὲν ἀμφιπεριέπταντο, ἕτεροι δὲ πρέμνοις καὶ πετήλοις ἄκροις τῶν δένδρων ἐφίζανον· τοῖς δὲ κατὰ μέσην ἰοῦσιν ἦν δοκοῦν γε οὐδέτερον, ὥστ' ἀπορεῖν τὸν θεώμενον ὁπότερον ἑκατέρου τῆς ἀληθείας ἐφῆπται, ἆρ' οὖν τὸ ἐφιζάνειν ἢ τὸ ἐφίπτασθαι. Ἰδίαν μέντοι μουσικὴν ἀναβαλλόμενοι ἕκαστος (1), καὶ τίς ἂν μέλος κελαδήσειε μελι-

(1) Et suum suo jure locum obtinent ᾠδικοὶ ὄρνιθες in imagine

χρότερον οὐ φαύλην ἔριν ἐρίζοντες. Ἐκεῖθεν ἀηδὼν ὑπερεσειρήνιζε ποικιλόδειρος· ἔνθεν ψιττακὸς ἠσμάτιζεν ὁ περίχλωρος· ταὼς ὄρνις περίχρυσος, χρῆμα ἐξαίσιον, ταῖς ἑαυτοῦ βαφαῖς ἠγλαΐζετο· καὶ κύκνος, ὑπανεὶς ζεφύρῳ τὰς πτέρυγας, λύραν ἐλύριζεν ἐναρμόνιον. Εἰ δέ τινά που πανόπτην μῦθος οἶδεν ἄνδρα τεράστιον, ταῖς ἀληθείαις πάγγλωττος ἦν ὁ παράδεισος.

Ἦρος δὲ τὸ τῶν ἐξηυγενισμένων ἀνθέων πολυειδές τε καὶ πάγχρουν, καὶ ὑπὲρ τὰ ἐξ Ἀραβίας καὶ Ἰνδίας ἀπόζον, ἀρώματα (1), πῶς ποτ' ἄν τις ἢ φύσεως εἶχεν (2) λόγοις ἐκφράσειεν.

Ἐπειδὰν δὲ καὶ τῶν ἀκροδρύων ἐπισταίη καιρὸς, ὁπότε τὴν προμνήστειραν ἄνθην καρπῶν μητέρα συνίστασθαι γίγνοιτο, οἵας μὲν ὡραιότητος, ὅσης δὲ πηλικότητος, λειότητός τε καὶ περιστίλψεως, καὶ χυμῶν ἡδίστης ποιότητος εἴχοντο, μᾶλλον ἂν τῆς ἀπολαυστικῆς ἐδέησε κρίσεως ἢ τῆς ἐκφραστικῆς διηγήσεως.

veris, quam, Philostrateis coloribus verborumque cultissimorum pigmentis depinxit Manuel Palæologus, aulæum quoddam describens textile « operis phrygii. » Sic Leunclaviana versio, quum sit in Græcis, ὑφαντῷ παραπετάσματι ῥηγικῷ, melius, puto, vertendis: « textili aulæo variis tincto coloribus. » Moschopulus Περὶ σχ. pag. 138: ῥῆγος, τὸ βαπτὸν ἱμάτιον, ἀφ' οὗ ῥηγεὺς ὁ βαφεύς. Malim etiam ῥηγικῷ a barbara voce ῥὴξ derivare, ac vertere « regio. » Aulæum illud viderat Manuel Parisiis, quod didici e cod. 3041, qui ei opusculo præfixa exhibet verba, ἐν Παρισίῳ. Habitavit Parisiis in regia Luparea.

(1) Codex, ἀραραβίας. Potest conferri ejus Epistola 54: οἱ γὰρ ἐξ Ἀραβίας μύρων καὶ Ἰνδικῶν ἀνθέων (στέφανοι). Dion Chrys. t. II, p. 13: σωφροσύνη καὶ νοῦς ἐστι τὰ σώζοντα· ταῦτα ποιεῖ τοὺς χρωμένους μακαρίους, ταῦτα τοῖς θεοῖς προσφιλεῖς· οὐχὶ λιβανωτὸς, οὐδὲ σμύρνα (cod. 2958, οὐδ' ἡ σμ.)· πόθεν; οὐδὲ ῥίζαι καὶ δάκρυα δένδρων, οὐδὲ Ἰνδῶν (cod. τὰ Ἰνδῶν) καὶ Ἀράβων φρύγανα. Ovidius Epist. XV, 76: « Non Arabo noster rore capillus olet. » Adde supra p. 23, 9.

(2) Codex, εἶχον.

Ἦν δ' οὖν ὅμως ὅ τι καὶ τὰς τοῦ σώματος αἰσθήσεις ἠνδραποδίζετο. Ὁ μὲν γάρ τι τὴν ὅρασιν ἐληΐζετο· ὁ δέ τι, γαργαλίζον τὴν ἀκοὴν, τῶν ὤτων ἐξήρτα τὸν ἀκροώμενον· ἄλλο καὶ μόνης ἐξ ἀναμνήσεως τὴν ὄσφρησιν ἐξεθήλυνεν· ἑτέρου μηκέθ' ὑποπεσόντος τῇ γεύσει, τὸ τῆς ἡδονῆς ἄγκιστρον ἀπῆγχε τὸν θώρακα· ἁφή γε μέντοι, καὶ πρὶν ἢ λειότητος ἐπαφήσασθαι, τὴν ἁπτικὴν ἐμαλθακίζετο δύναμιν. Οὕτω πανταχόθεν ἐτυραννεῖτό τις, κἂν εἰ λίαν ἀντέχειν ἐσφάδαζε. Καὶ μὴ ὅτι γε ταύτας, ὅτι μὴ καὶ τὰς τῆς ψυχῆς δυνάμεις κατεπαλαίετο.

Ἀλλ' ἐκεῖνα μὲν ἴσως ἄν τις ἐπιμελείας καὶ γεωργίας εἶπε τεχνάσματα καὶ δωρήματα· ἅττα δ' ἂν αὐτομάτως γῆ προεβάλλετο, τίν' ἂν περὶ τούτων πεφιλοσόφηκε;

Διεζωγράφητο μὲν καὶ διαπεποίκιλτο τῆς γῆς ἐκεῖνο τὸ πρόσωπον, ὡς ἄλλο γ' οὐδὲν, τῶν ὁποιδήποτ' ἀναδιδομένων ὡραίων ἐκεῖσ' ὁμοῦ συνδεδραμηκότων ὥσπερ ἀπὸ συνθήματος (1). Νύμφην ἄν τις εἰκότως Σολομοντείαν ὑπὲρ ἀγροῦ τὰ κρίνα ἐστολισμένην ὠνόμασε (2). Τερπνὸν τὸ ῥόδον, παρανοῖγον τὴν κάλυκα, προκύπτον· ἡδὺ περιεπήδα τὸ κρίνον, τὴν κυοφοροῦσαν γαστέρα διαῤῥηγνύν· ἀγλαὸν ἐσκίρτα τὸ ἴον, ὡς βρέφος ἀπεσπαργανωμένον ἁλλόμενον· ἐρωτικὸν ὁ καλὸς ἐλυγίζετο νάρκισσος· λωτὸς ἑρσήεις, εἶπεν ἂν Ὁμηρείδης (3), ἠδὲ κρόκος ἠδ' ὑάκινθος περιε-

(1) Gregorius Naz. pag. 85 Montac.: ὥσπερ ἐξ ἑνὸς συνθήματος· ubi schol. De hac formula vide Schwebel. ad Onos. p. 89, et quæ monui ad Philostr. pag. 452, collata nota ad Eunapium pag. 196.

(2) Cf. Matth. vi, 28, 29.

(3) Verba quidem sunt poetica, sed non Homerica. Sic et

χόρευον ἐπαφρόδιτον· χάριεν ἐμειδία τὸ σίλφιον, τῶν ἄλλων μᾶλλον περιβλεπόμενον. Ἐγέλων Καλλοναὶ (1), ἐσκίρτων Ἡδοναὶ, ἐμελῳδουν Μοῦσαι, ἐλυρῴδουν Νύμφαι·

Οὐ γὰρ φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων
Ἐδεύοντο.....
Αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν (2).

Ἁπανταχῆ Χάριτες, ἑκασταχῆ Ἴυγγες· ἔνθεν παρεκάλουν Τρυφαὶ, ἐκεῖθεν Ἀπολαύσεις. Πάνθ' ὡραῖα, πάντα χαρίεντα, καὶ οὐδὲν ὅ τι τὸ μὴ τῶν λοιπῶν προέχειν ἧττον οὐκ ᾤετο φαύλην· τοιαύτην καλὴν φιλονεικίαν ἐφιλονείκουν πρὸς ἄλληλα.

Ἀλλὰ πόθεν τῶν ἀμαράντων φυτῶν ἐκείνων τὸ μόσχευμα; πόθεν τῶν ἀλλομένων ναμάτων τὸ ἄρδευμα; ἢ δῆλον τῶν ἐξ Ἐδὲμ τε καὶ τῶν Εὐφράτου· πᾶν γὰρ ὅ τι καλὸν ἑκασταχῆ ὡς ἐφ' ἓν ἐκεῖ συνεληλύθεσαν καταγώγιον, καὶ οὖθαρ ἀρούρης ὄντως συνέστησαν. Τί τὸ λῆρον ἐκεῖνο κηπίον Ἀλκίνου τοῦ Φαίακος (3), γῆς μὲν, ὡς λόγος, ὑπερηρμένον, ἐς δ' ἀέρα πεφυτευμένον μετέωρον (4); τί δὲ Μακάρων Νῆσοι, καὶ λειμῶνες ἀσφοδελοὶ (5), καὶ φθορᾶς ὑπερκείμενα Πεδία Ἠλύσια, τὰ ποιητικὰ ταυτὶ φληναφήματα, καὶ

Epist. 13: μὴ λωτὸν ἐρσήεντα, μηδ' ὑάκινθον, ὀσμὴν δ' εὐωδίας χροίης πνευματικῆς.

(1) Ineptissime circa talia ludit, præsertim Annæ hortum describens. Et alibi illis rursus elegantiis ineleganter est usus: cf. t. I, p. 265, 278.

(2) Hom. Il. A, 603; Od. A, 155. Infercīit ἐδεύοντο Theodorus, versibus huc ineptius productis.

(3) De Alcinoi horto monui ad Odyss. H, 112.

(4) Credo locum esse mancum, et nonnulla periisse quibus pensiles Semiramidis horti declarabantur; ni ipse auctor peccaverit, non librarius.

(5) Homer. Od. Λ, 539, κατ' ἀσφοδελὸν λειμῶνα. Cf. Notit. Mss. t. XI, II, p. 111, et notula mea ad Odysseæ locum.

γεραϊδίων κωθωνιζομένων λογύδρια, ὧν, ἐπειδὴ τοῦ καθ' ἡμᾶς παραδείσου μακρὰν ἐξώκειλαν, Ἕλληνες λήρων λειμώνων λῆρους ἠξίωσαν ἥρωας; ἵν', οὓς οὐ τόπος ἐκθρέψειε χλοερὸς, οὐδὲ δρόσος ἀναψύξειε χάριτος, δίψος καὶ λιμὸς κατάσχοι πνευματικὸς, καὶ Κωκυτὸν οὐ καταδικασθεῖεν οὐδὲ Πυριφλεγέθοντα, ποταμὸν δὲ πυρὸς αἰωνίζοντος καὶ φλόγα γεέννης ἀνάπαυλαν.

Τί δὲ δεῖ καταλέγειν ἐλαιῶνας καὶ ἀμπελῶνας, δαφνῶνάς τε καὶ μυῤῥινῶνας, καὶ φυτῶν πρασιὰς, καὶ ἰδέας εὐγενῶν δένδρων, καὶ ὀπωρῶν ἰδιότητας καὶ ποιότητας, ὡραιότητάς τε καὶ πηλικότητας, καὶ διειδῶν ἐκδόσεις πηγῶν καὶ ναμάτων ἡδίστων ἀναβολὰς, καὶ ὀρνίθων λιγυρὰ κελαδήματα, μουσικῶν ἰύγγων οὐκ ἀποδέοντα, τά τ' ἄλλα, ὧν ἄξιον ἕκαστον λόγου καὶ διηγήσεως τὸν καιρὸν καταναλίσκειν ἐκφράζοντα; καὶ ταῦθ', ὁπότε, καίπερ οὕτω κάλλους καὶ θαύματος ἔχοντα, μηδ' ἡντινοῦν ψυχαγωγίαν Ἄννῃ παρείχετο. Ψυχὴ γὰρ δυσχερῶν καθάπαξ πεπειραμένη προλήψεων, καὶ ἀλγεινοῖς κατεννηνεγμένη, οὔτ' ἀνανεύειν, οὔτ' οὖν μεταβάλλειν φιλεῖ ῥαδίως ἐφ' ἕτερα· ἀλλ', ὡς ναῦς ἐμβάψασα κλυδωνίῳ καὶ ἄλλαις ἐπ' ἄλλαις ἐπιῤῥοίαις κυμάτων καταδυομένη, οὐκ ἔσθ' ὅπως κουφισαμένη ἀποβαπτίσασθαι. Ἀμέλει καὶ κατ' οὐδὲν τερπνὸν ἀσμένως διέκειτο· ἀλλ', ὅθεν ἔδει μετρίαν ἀνακωχὴν, ἐκεῖθεν μᾶλλον συμφορῶν φορτία συνεκομίζετο, καὶ τι τῶν ἡδέων οὐδὲν ἱερὸν ἐλογίζετο (1).

Ἀμέλει ποτὲ μὲν οὐχ ἧττον τοὺς νοερoὺς λογισμοὺς ἢ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς αὐταῖς χερσὶν ἐς οὐρα-

(1) Notula marginalis, παροιμία. Cf. supra p. 20, n. 4.

νὸν ἀνατείνουσα, ὁτὲ δ' ἑκατέραιν τὰ στέρνα πατάσσουσα, ἔστι δ' ὅτε καὶ τῷ ἐδάφει τὰ μέτωπα σὺν γόνασι προσερείδουσα, τοιάσδε πρὸς τὸν Θεὸν, ἐν συνοχῇ ψυχῆς ὁμοῦ καὶ καρδίας, ἐλεεινὰς ἠφίει φωνάς· « Ὡς ὤφελον μήτε τὴν ἀρχὴν ἐγὼ συλληφθῆναι, » μήθ' ἡ ταλαίπωρος μήτηρ κυήσεσθαι· ἀλλ' ἢ συλ- » ληφθεῖσαν αὐτίκ' ἐκτρωθεῖσαν ἰδεῖν, ἢ μὴν καὶ γεννη- » θεῖσαν ἅμα τῷ βίῳ λειτουργῆσαι (1) καὶ τῷ χρεών! » οὕτω γὰρ οὐκ ἂν τοιᾷδε πονηρᾷ περιπέπτωκα » δαίμονι· εἰ δ' οὖν, ἀλλ', εἰς τοῦθ' ἡλικίας παραγ- » γείλασα, δυοῖν θάτερον ἢ μήτηρ συστῆναι, ἢ τῶν » ζώντων ἐκστῆναι! »

Τοσαῦτ' ἔφασκε· κἀπειδὴ μὴ βροντὰς προΐσχειν, μηδ' ὄμβρους καταῤῥεῖν ῥαγδαίους ἠδύνατο, τὸ κατάλληλον ἐτέλει τῇ φύσει, στεναγμοὺς μὲν ἐκ βαθέων ἐξερυγγάνουσα, πίδακας δὲ δακρύων ἐξακοντίζουσα. Τί δαί (2); ἀλλὰ καὶ τὴν Σάῤῥαν καὶ τὴν Ἄνναν, καὶ Φενάνναν (3), καὶ τὰς ὅσαι κατ' ἐκείνας τῷ δεινῷ τῆς στειρώσεως δαιμονίῳ προσέβαλον, ἐν νῷ στρέφουσα, καὶ ὅπως ἑκάστη πρὸς τεκνογονίαν μετέβαλεν, ἐλπίδων ἦν χρηστοτέρων; οὐμενουν οὐδαμῇ· ἀλλὰ τὰ μὲν κατ' ἐκείνας ἰάσιμα, τὸ κατ' αὐτὴν δὲ μόνον ἀνίατον ᾤετο.

Ἀλλ' εὐαγγελίζομαί σοι θαρσεῖν, Ἄννα· βλέψον πρὸς Σάῤῥαν, ἣ τὸν Ἰσαὰκ ἤνεγκεν· ἴδε πρὸς Ἄνναν,

(1) Non semel sic est loquutus : cf. t. 1, p. 338, n. 2.

(2) Codex ita, cum dittographia δὲ.

(3) Anna scilicet Elcanæ uxor. Et ejusdem Elcanæ uxor altera Phennana fuit. Ambæ fuerunt steriles, si Hyrtaceno credendum. Sed ipsum memoria male fida fefellit; ἦν enim (1 Reg. 1, 2) τῇ Φεννάνᾳ παιδία, καὶ τῇ Ἄννᾳ οὐκ ἦν παιδίον.

τὴν Σαμουὴλ μητέρα (1). Ἐγγὺς Γαβριὴλ ὁ ἀρχάγγελος, ὃς δεσμὰ διαλύειν οἶδε στειρωτικά· προμηνύει σοι (2) τὴν σύλληψιν, Ἄννα. Ὡς γὰρ τὸν Σαμουὴλ ἐκείνη, οὕτω σὺ παρθένον κόρην συλλήψῃ· ἡ δ' αὖ τὸν ἐπὶ πάντων Θεὸν, ὃν ἀμνὸν τοῦ Θεοῦ αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου (3) Ἰωάννης ὁ τῆς Ἐλισάβετ (4) προφητεύσει, καὶ οὐ ῥήματι μόνον, ἀλλὰ καὶ δακτύλῳ δείξει, « ἴδε » λέγων, « ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων » τὴν ἁμαρτίαν τοῦ κόσμου. » Ὡς εὖγέ σοι τῶν εὐαγγελίων! ὑπέρευγε τῶν χαρίτων! νῦν ὄντως ὅπερ κέκλησαι γέγονας, μᾶλλον δ' ὅπερ ἐκλήθης γενήσῃ· ἴσθι σοι τὴν ἑρμηνείαν τῆς κλήσεως· Ἄννα χάρις ἐξελληνίζεται (5), καὶ ἐξελληνιζομένη ἐξευγενίζεται. Οὐ γὰρ ἡ χάρις χάριν, ὅ φασι (6), τέξῃ, ἀλλὰ τὴν πασῶν χαρίτων μητέρα καὶ τὴν φύσιν ἡμῶν χαριτώσασαν, τὴν κεχαριτωμένην (7) δηλαδὴ Θεοτόκον, καὶ δέσποιναν Ἀγγέλων ὁμοῦ καὶ ἀνθρώπων. Τοιγαροῦν σὺ μὲν ἑτοιμάζου περὶ (8) τὴν σύλληψιν, καὶ συλλαβοῦσα τίκτε, καὶ τεκοῦσα καὶ χαῖρε καὶ σκίρτα, καὶ χόρευε· ἡμῖν δ', ὦ παρόντες, ἀναπαυστέον ἤδη τὴν ἔκφρασιν.

(1) I Reg. I, 20.

(2) Res narratur in Evangelio De nativitate Mariæ et in Jacobi Protevangelio.

(3) Verba Joannis Baptistæ apud Joann. I, 28.

(4) Luc. I, 56, 60

(5) Conf. supra, p. 12, n. 4; pag. 21, n. 1.

(6) Soph. Aj. 520: Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί· ibi locus Theodori Prodromi a me adlatus, non e tomo V, quod est mendum typorum, sed e tomo VI Notitiarum Mss. est desumtus.

(7) Χαῖρε, κεχαριτωμένη· verba sunt Gabrielis ad Mariam virginem.

(8) Forsan πρός. Conf. t. II, p. 415, n. 3.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΓΑΒΡΑ

ΛΟΓΟΣ

ΕΙΣ ΤΗΝ ΕΙΣΟΔΟΝ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΤΗΝ ΕΙΣ ΤΑ ΑΓΙΑ ΤΩΝ ΑΓΙΩΝ.*

Ὁ μὲν ἤδη παρὼν ἀγὼν καὶ τῆς ἐπαγγελίας τὸ ὑπερβάλλον οὐ περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ καθ' ἕκαστα πραγμάτων τουτωνὶ, ἀξίων τε ἰδεῖν καὶ λόγῳ τῶν αὐτῶν κροτεῖν (ἦ γὰρ ἂν σὺν εὐτυχίᾳ τούτου ἀπηλλάγημεν, ὑπὸ τοῦ πάνυ ζητεῖν περὶ αὐτῶν πόλλ' ἄττα ἴσως ἐξευρόντες, ἃ περιφανῆ τὴν ἐκ τοῦ λέγειν ἔχειν δόξαν ἔμελλε ποιεῖν ἡμῖν)· ἀλλ' ἣν ἐκ πάσης τῆς τῶν ὄντων φύσεως Θεὸς ἐγκρίνας, εἶτα γεγεννῆσθαι παρ' αὐτῆς πιστεύειν ἔδωκεν ἀνθρώποις, περὶ ταύτης ἡ παρασκευὴ τοῦ λέγειν καὶ τὸ τοῦ ἀγῶνος, ὡς εἰπεῖν, πραγματευόμενον.

* E codice 3010, p. 300. Quis fuerit J. ille Gabras ignoro et qua vixerit ætate. Puto ad Andronicecum ævum esse referendum ; et Gabræ cuidam N. Gregoras scripsit epistolam. Illa ipsa hominis conditio oblivione conditi in causa fuit cur eum in lucem ac famam vindicare voluerim, præsertim quum id tractaverit argumentum quod ipsi doctorum hominum, si qui forte in ejus librum inciderint, studium non facile conciliet. Sed quem nemo forsan edidisset, editum erunt qui legere non recusent; quibus quidem legitima ac casta orationis conformatione quum placuerit primum, vereor ne sententiis plerumque abstrusioribus deterreantur

Ὡς οὖν ὁ μέλλων λέγειν ὑπὸ τοῦ τῆς ὑποσχέσεως καταπεσεῖται βάρους, καὶ ἡλίκον ὑποστήσεται τὸν ἐν τῇ γνώμῃ ἴλιγγον, ἐπαίνοις τοῖς τῆς Θεομήτορος ἐφάμιλλον αὐτὸν ἐπὶ τοῦ λέγειν καταστήσας, πάντες ἐφ' ὑμῶν αὐτῶν, ὀρθῇ τὸ πρᾶγμα ψήφῳ κρίνοντες, ῥᾳδίως ἂν γνοίητε. Εἰ γὰρ οὐρανοῦ μέγεθος, εἰ γὰρ διάθεσιν ἀστέρων, εἰ γὰρ τὴν ἀφορισθεῖσαν τοῖς Ἀγγέλοις φύσιν, εἰ τὸ ταῦτα ἕκαστα λόγῳ δυνηθῆναι διελθεῖν, πρὸς τὸ (1) μὴ ῥᾷστόν τι δοκεῖν καὶ εἰς ἀδύνατον σχεδόν τι περιίσταται, ἤπου περὶ τῆς τὸν ἕνα τῆς μακαρίας Τριάδος ὅλον ἐν αὐτῇ λαβούσης, ὥστε καὶ σαρκὶ τεκεῖν, μέγα τι καὶ φέρον ἀτεχνῶς εἰς δόξαν ἥκιστ' ἂν δυναίμεθα εἰπεῖν. Καίτοι τὸν μὲν οὐράνιον τόπον οὔτε τις ὕμνησέ πω, οὔτε μήποτε ὑμνήσει (2) πρὸς ἀξίαν· ἡ δ' αὐτὴ τὸν πάντων ὑπερκείμενον Θεὸν καὶ τῆς φύσεως σωτῆρα, ὡς ἐν ἄλλῳ (3) τῳ καθαρωτέρῳ καὶ ὑψηλοτέρῳ τοῖς ὅλοις οὐρανῷ, τῇ ἑαυτῆς (« οὐκ οἶδ' ὅπως, Θεὸς οἶδε », φαίη ἂν καὶ νῦν ὁ θεῖος (4) Ἀπόστολος) ἐδέξατο γαστρί, διάκονος μεγάλης βουλῆς τῆς τοῦ πατρὸς ἀξιωτάτη τῶν πασῶν κριθεῖσα, ταύτην ποῖος ἂν ὑμνήσαι (5) τις ἀξίως λόγος; τίς δ' ἄν, περὶ αὐτῆς ἐγκωμίων τάξει τῇ συνήθει χρώμενος, οὐκ ἄν, ὥσπερ ἂν εἰ τοῦτο μελετῶν ἐτύγχανεν, οὐδὲν πλέον δόξαι τι πεποιηκέναι;

(1) Velim πρὸς τῷ: « præter- » quam quod res non esse facilli- » ma videatur. »

(2) Cod. ὑμνήσῃ: iotacismus de more syllabam corrupit. Theodosius Diac. III, 191: Νέον πεπεινὸν εἰς τροφὴν τὰ θεῖα Καθήμενον νῦν ἔνδοθεν, φίλοι, λάβῃ. Lego, καθειμένον, scilicet « demissum. »

(3) Deus ad Gabrielem apud Gregorium Thaumaturgum pag. 27: ἄπελθε πρὸς τὸν δεύτερον ἐπὶ γῆς οὐρανόν.

(4) Paul. II ad Cor. XII, 3: οὐκ οἶδα· ὁ Θεὸς οἶδεν.

(5) Codex, ὑμνῆσαι.

θᾶττον γὰρ ἄν τις, μετὰ σώματος ἀνελθὼν εἰς οὐρανὸν, τἀκεῖ πάντα σκέψαιτο, ἢ τινι τῶν πάντων ἄξιόν τι ἔσται περὶ τῆς Θεοῦ μητρὸς διεξελθεῖν.

Ὡς οὖν τὸν ποιητὴν καὶ κύριον αἰώνων καὶ υἱὸν αὐτῆς οὔτ' ὀφθαλμοῖς ἔχοντες ὁρᾷν, οὔτ' αὖ θεωρίᾳ τῇ τοῦ νοῦ τῆς κατὰ τοῦτον ἐφικνεῖσθαι φύσεως ἐξ ἴσου νοῦν καὶ γλῶτταν τὴν ἡμῶν φευγούσης, ὅμως, ὅσα, ὄντες ἄνθρωποι, τὸ δυνατὸν, τοῦ θαύματος εἰσφέρειν δοκιμάζειν λόγον, ἔπαινον (1) εἰς τοῦτον ᾄδομεν, διδόντες μᾶλλον κρίσιν προθυμίας ἐν τῷ λέγειν ἢ τοῦ ὅλως ἀγωνίζεσθαί τι ἄξιον· ὡς (2) δὲ καὶ περὶ τῆς αὐτοῦ μητρὸς, τῆς μετ' αὐτὸν τῇ δόξῃ, ἥκομεν ἐπὶ τὸ λέγειν, οὐχ ὡς ἄν τινες τὴν ἀξίαν περισώζειν εὐφημίαν μέλλοντες οὐ μᾶλλον ἢ καὶ καθαιρήσειν, ὡς δὲ προθυμίαν τὴν ἡμῶν αὐτῶν οὕτως ἐνδεικνύμενοι, καὶ πίστιν ἔχοντες ἦ μὴν ἑτοίμην παρ' αὐτῆς βοήθειαν τῷ λόγῳ ἥξειν. Οὐ γάρ, ὅσα γε τῇ καθ' ἡμᾶς συμβαίνει φύσει, τὰ πρὸς εὐφημίαν εἰσφερόμενα τῇ Θεομήτορι, καθάπαξ ἀποδέοντα τῆς κατ' αὐτὴν ἀξίας, διὰ τοῦτο ὥσπερ ἀτιμάζει· τοὐναντίον μὲν οὖν, ὅσῳ τῇ φιλανθρωπίᾳ χαίρουσα ἑκάστῳ καὶ ἀθρόοις τὸ τῆς βοηθείας ἀποδίδωσι, τοσούτῳ καὶ τὸ δυνατὸν τῆς παρὰ πάντων εὐφημίας ἀγαπᾷ. Οἷς οὖν ὅσα γε ἐκ τῶν ἐπαίνων εἰς σεμνότητα οὐδὲν αὐτῇ προσγίνεταί τι πλέον, πλὴν ὅσα καὶ τὴν ταύτης ἀφαιρεῖσθαι δόξαν, εἰ τοῖς λόγοις τις ἁπλῶς ἀποθαῤῥοίη, τῶν πάντων δὲ οὐδένα πάλιν ἀπωθεῖται λέγειν προθυμούμενον περὶ

(1) Codex distinguit : δοκιμάζειν, λόγον ἔπαινον... Puto syntaxin esse : ὅσα δοκιμάζειν, τὸ δυνατὸν, εἰσφέρειν λόγον τοῦ θαύματος.

(2) Codex, ὡς. Et ita codex non semel ὡς pro ὥς.

αὐτῆς, τούτοις πανταχόθεν δείκνυται, ὡς, οὐχ ἵνα προσθήκην αὐτῇ ἡ δόξα λάβῃ (τίνα γὰρ, ἡ Κύριος ἐγένετο τεῖχος (1) πυρὸς κύκλωθεν, εἰς δόξαν αὐτῆς;), ὡς δ' ἑκάστῳ μετ' εὐπρεπεστέρας οἷον τῆς προφάσεως ἀφθονωτέραν ἀποστέλλειν τὴν βοήθειαν, οὕτω δὴ τὴν παρὰ πάντων εὐφημίαν ὥς τι ἔχουσαν αὐτῇ ἀνύσιμον προσίεται· καὶ ἅμα, συνεθίζουσα τὴν βοηθὸν διώκειν, οὐκ ἐκβέβληκε τὸν ἔπαινον, εὐεργετοῦσά τε καὶ ἐν αὐτῷ τῷ δέχεσθαι, καὶ, ἐπειδὰν αὐτοῖς ὁ ἔπαινος εἰς τέλος ἔρχηται, ὑπερφυᾶ τὴν χάριν δωρουμένη, ὡς σπουδὴν τὴν εἰς τὸ ἐπαινεῖν τελοῦσαν, καίτοιγε ὑπὲρ αὐτοὺς, οὐδὲν ἀπαγορεύουσι τῷ περὶ τῆς ἐπαινουμένης πίστιν ἔχειν ὑπὸ τῆς περὶ αὐτοὺς φιλανθρωπίας τὴν τοῦ ἀγαπᾶν καὶ συλλαβὴν τὴν (2) εἰς τὸ ἐπαινεῖσθαι.

Πολλῶν τοίνυν ὄντων, καὶ πάντων, ὅσα γε εἰς λόγον θαύματος, ὑπερβαλλόντων, ἃ πρὸς ὑμνον τῆς Θεοῦ μητρὸς νενόμισται ἀνθρώποις, νῦν περὶ τοῦ εἰς τὰ τῶν Ἁγίων Ἅγια εἰσδύναι τὴν Παρθένον ἅπασα τῷ λόγῳ ἀποκινδυνεύεται ἡ πραγματεία. Ἀμύητος οὖν τις τῶν τοιούτων καὶ ἀτέλεστος, καὶ μέντοι εἰς τὸ παντελὲς ὀργιασμῶν τῶν θειοτέρων ἰδιώτης ὢν τὴν γνώμην, εἰ πειρῷτό τι περὶ αὐτῶν διεξιέναι, τί τις ἂν περὶ αὐτοῦ λέγοι; ἢ ὅτι τῶν παρὰ τῆς Θεὸν τεκούσης ταυτησὶ θαυμάτων οὐκ ἔσθ' ὅτ' οὐ γινομένων ἐν καὶ τὸ περὶ ἐμὲ τοῦτο γέγονε νυνί. Τὸ γὰρ μὴ ἱκανῶς ἔχοντα τῆς ἐν

(1) Zachar. II, 5 : καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς.

(2) Forsan συλλαβεῖν αὐτήν : scilicet τὴν πίστιν τὴν τοῦ ἀγαπᾷν αὐτὴν, καὶ συλλαμβάνειν εἰς τὸ ἐπαινεῖσθαι τοῖς ἐπαινοῦσι.

τοῖς λόγοις ἕξεως, εἶτ' ἀγῶνα τοσοῦτον ἀναιρεῖσθαι ὡς περὶ αὐτῆς λέγειν ἐπαρθῆναι, πῶς οὐκ ἀποχρῶν εἰς λόγον θαύματος; ἢ πῶς μᾶλλον, εἰ μὴ οὕτω τις λογίζοιτο, ἡ τοῦ Θεοῦ μήτηρ οὐκ ἂν τοῦτο διεκώλυσε τοὐγχείρημα, ὑπὸ φιλανθρωπίας τοῦ τοῖς ἀδυνάτοις ἐμφανῶς ἐπιχειρεῖν ἀπείργουσα;

Ἡ τοίνυν οὕτω δόξης σχοῦσα καὶ ὀνόματος τοῦ πάντ' ἐν πᾶσι βοηθεῖν καὶ σώζειν, πῶς ἄρ' ἔμελλε πατρίδος ἢ τινων τοιούτων ὅλως φροντιεῖν; ὥστε οὐδὲ τὴν ἀρχὴν περὶ αὐτῶν ἐνεθυμήθη.

Οὔκουν οὐδὲ ὅσον μέτριον φέρουσα αὐτὴν τοῖς κάτω τούτοις ἔδωκεν· ἀλλ' ὅσον, διατρίβουσα ἐπὶ τῆς γῆς, τὴν ἁγνείαν ἑαυτῇ τηρεῖν τῷ ὄντι ἄχραντον, καὶ οὕτως εἰς ὑποδοχὴν ὑπάρξαι κατελθόντι τῷ Θεῷ, τοσοῦτον παραπέλαυσε φροντίδος καὶ τῶν ἄλλων ἀνθρωπίνων.

Ὡς οὖν ὁ σάρκα παρ' αὐτῆς δεξάμενος υἱός τε καὶ Θεὸς, δεῆσαν γαστρὸς λυθῆναι τῆς παρθένου, καὶ λυθεὶς, οὐ τὴν μεγίστην τῶν ὑπ' οὐρανὸν πόλεων ἐζήτησεν (ἐπεὶ οὐδεὶς ἄξιος αὐτοῦ τῆς καταπαύσεως ἐνθάδε τόπος), σπήλαιον δ' αὐτὸν ἐδέξατο δεινῶς ἀπάνθρωπόν τι καὶ στενὸν, καὶ οὕτω συνετήρησεν αὐτῷ τὴν δόξαν· οὕτω καὶ αὐτὴ (1), παρὰ Θεοῦ τε καὶ πατρὸς εἰς φῶς ἐλθεῖν κριθεῖσα, ἐπεὶ πᾶσα πόλις οὐκ ἀξία ἦν αὐτῇ σκηνῆσαι καὶ εἰς τόπον κρίνεσθαι αὐτῇ πατρίδος, τὴν καὶ ὀνόματι διδόναι οὐ πολλοῦ ἀξίαν ἐγκρίνασα, τὴν ὀρεινὴν, πατρίδα ἑαυτῆς ἐπεγράψατο.

Ἀλλὰ τί δεῖ περὶ τούτων λέγειν; εἰς γὰρ λόγον ὁ λόγος νῦν ἧκέ μοι κατὰ καιρὸν μνησθῆναι, ὥσπερ

(1) Codex, αὐτῇ.

οὖν εἰκὸς, ἐπείγων τῶν αὐτὴν φυσάντων, Ἰωακεὶμ λέγω καὶ τῆς Ἄννης, οὓς δὴ γένους ὄντας ὑπὸ Θεοῦ διοικουμένου, καὶ βίου παρασκευὴν ἀρίστην ἡγουμένους Θεῷ μᾶλλον ἀνακεῖσθαι ἢ τὰ κατ' ἀνθρώπους ταῦτα περισπούδαστα ἐν λόγῳ τίθεσθαι (οἳ γὰρ τὸ θεοπάτορες γενέσθαι (1) μόνοι τῶν ἁπάντων εὐτυχήσαντες ἐφάνησαν, πῶς οὗτοι ἂν οὐχ, ὡς οὐράνιοι τὴν γνώμην, τῶν ἀνθρωπίνων φροντισμάτων πάντων ὑπερεῖδον;) οὕτω (2) δ' ἔχοντες παρασκευῆς εἰς τὰ καλὰ, ὡς πάντας μακαρίζειν τοὺς ὁρῶντας, παίδων ἐρημίᾳ βλάπτεσθαι αὐτοῖς ἐνόμιζον τὸν βίον, ἐνδεᾶ αὐτὸν ἐκεῖθεν σφίσι κρίνοντες, καὶ ὡσπερεὶ τυφλὸν, τοὺς ἀντὶ ὀφθαλμῶν αὐτῷ (3) μὴ ἔχοντα ἐνεσομένους παῖδας· ἀλλ' ἀρίστην μὲν αὐτοὺς ὁ χρόνος συζυγίαν εἶχε δεδεσμένος, οὐδὲν δὲ καὶ παῖδας τῶν αὐτῶν. Καὶ τρίβον μὲν, ἣν ἅπαξ ἔγνωσαν τραπέσθαι εἰς τὰ πρὸς Θεὸν, ἐφύλαττον, καὶ τῆς ὁδοῦ προῄεσαν ἑκάστοτε· ὁδὸν δὲ,

(1) Qui erant e familia Davidis erant θεοπάτορες ut David, qui per excellentiam dictus est a multis θεοπάτωρ. Vide p. 29.

(2) Distinxi ut visum est melius. Est anacoluthia. Syntaxeos difficultatem ac periodorum ambages affectat. Se Thucydides esse putabant ea ætate, si non intelligerentur sine lectoris labore.

(3) Artemidorus I, 26: ἐοίκασι γὰρ οἱ ὀφθαλμοὶ παισὶν, ὅτι καὶ ποθεινοὶ καὶ τοῦ σώματος ὁδηγοί εἰσι καὶ ἡγεμόνες, ὥσπερ οἱ παῖδες ἐν γήρᾳ γενομένων γονέων. Ausonius Parent. IV: « Amissum flesti post trina decennia natum. Saucius, » ac lævo lumine cassus, eras. » Dicebas sed te solatia longa fovere, Quod mea præcipuus fata » maneret honos. » Lectio est Vinetianæ, nec bona, *ac lævo*, pro codicis lectione, *ocleruo*. Mentio luscitionis est eo loco prorsus importuna. *Saucius* de desiderio est intelligendum, ut Parent. XIII, XV; *lumine*, de puero. Tollius, « atque uno lumine », non male, si *uno* pro *unico*. Scaliger: « Saucius, ocle, tuo lumine cassus eras »: quod et sensui est aptissimum nec stylum Ausonii dedecet, nec a codice discedit.

μᾶλλον δὲ προοίμιον φέρειν αὐτοῖς καὶ ὁπωσοῦν τοῦ τέξεσθαι ἐλπίδας, οὐδ' ὀνείρατα αὐτοῖς παρέστησε. Καὶ προθυμία μὲν ἦν αὐτοῖς τοῦ πράγματος οὐχ ὅσην ἄν τις εἴποι· ἡ φύσις δὲ αὐτοῖς οὐ συνηγώνιστο. Οὐκοῦν λαμπρὸς μὲν αὐτοὺς ἔρως εἶχε τοῦ τεκεῖν· ὁ δὲ χρόνος ὅτι μάλιστα προκόψας διὰ τοῦ εἰς τοῦτο ἀτελεσφορήτου ἤλεγχεν αὐτοῖς τὸν ἔρωτα, ἀγόνους παίδων παρεχόμενος, οὐ μᾶλλον χρόνος ἢ λύπη δοκῶν περιφανὴς, καὶ δυστυχίᾳ συμμετρούμενος ἀεὶ τῇ τούτων. Καὶ κοινῇ μὲν ἃ ἀνθρώπων τοῖς ἐν λόγῳ ἐστὶν ἀγαθὰ, κατὰ ταὐτὰ καὶ οὗτοι, πλὴν σὺν σωφροσύνῃ καὶ μετὰ καλοῦ, ἀπολελαύκεσαν τοῦ λόγου· τοῦτο δὲ κακὸν, ψυχῆς τὸν μυελὸν αὐτοῖς ἐκτῆκον, τὸ τῆς ἀπαιδίας, ᾔδεσαν. Οὐκοῦν τἄλλα ἄμεμπτοι διάγοντες, καὶ ὑφ' ἑκάστων, οἷς ἐν ζήλῳ τὰ καλὰ, εἰκότως θαυμαζόμενοι ὡς περισσεύοντες ἐν τῷ ἔργῳ Κυρίου (1), πάντοτε δεινοῖς κυκλούμενοι τοῖς ἐκ τῆς ἀπαιδίας, μετ' αἰσχύνης ἐνεώρων τοῖς ἀνθρώποις· καὶ δὴ ὑπέρδεινόν τι σφίσι τοῦτ' ἐδόκει, καὶ ὡς δρυμὸς ὄντες ἄλογους ἐφαίνοντο, διὰ τὸ μὴ παίδων ἀπολαύειν. Ἐλογίζοντο γὰρ, φρονήσει τε πεπυκνωμένοι τῇ προχειροτάτῃ (2), καὶ φρονοῦντες ἔτι τρόπον τὸν καλλίονα, τὸν τοῦ ἀεὶ Θεοῦ ἐπιφροσύνην ἔχειν καὶ τῶν θείων, δεινὸν εἰ τοῖς μὲν τοῦ ζῆν μετέχουσι σχεδόν τι πᾶσι τὸ κοινὸν τοῦ γένους μεταπίπτον φαίνοιτο εἰς ἄλληλα, περισῶζον τὴν αὐτῷ δοθεῖσαν ἐξ ἀρχῆς ἐκείνην εὐλογίαν (3) καὶ τὸ ἄφθαρτον αὐτῷ ἐντεῦθεν

(1) Sumtum id e Paulo Epist. 1 ad Cor. xv, 58.

(2) Codex, προχειρωτάτη.

(3) Respicit Genes. 1, 22 : καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε.

κατακλώμενον, αὐτοὶ δὲ κοιλίας τῆς αὐτῶν καρπὸν οὐκ ὄψοιντο, ἀλλ' αὐτοῦ που στήσοιντο θνητοὶ πεσόντες ἐπὶ γῆς. Ἀγὼν οὖν διὰ ταῦτα ἔσχατος αὐτοῖς, οὐκ οἶδα εἴ τισι τῶν οὕτως ἐχόντων ἀπαιδίας.

Πόῤῥω τοίνυν ἡλικίας ἤδη ἥκοντες, καὶ, ὅσα ἐν ἐλπίσιν ἀνθρωπίναις, τὴν τοῦ τεκεῖν ποτ' ἂν ἀφῃρημένοι πίστιν, ὅμως, θειοτέροις λογισμοῖς θερμὴν ἀεὶ καρδίαν ἔχοντες, τοῦ μὴ πατέρες καὶ αὐτοὶ δοκεῖν ἀκούσεσθαι οὐδὲν ἀφίσταντο· οὐ γὰρ τὸ τῆς γνώμης ἐνταυθοῖ γενναῖον πέπτωκεν αὐτοῖς, καθάπερ δένδρου ῥίζης, ὑπὸ τοῦ μακροῦ ἐξασθενῆσαν χρόνου. Ὁ Θεὸς γὰρ ἔδωκεν αὐτοῖς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος (1), ὁδηγήσας αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτοῦ (2). Ἡνίκα γοῦν ὑπὸ τοῦ χρόνου ψυχρόν τι καὶ ἀπηνθηκὸς αὐτοῖς τὸ σῶμα ἐγεγόνει, καὶ ἡ φύσις, ὅσα δή τινα ἀνθρώπινα λογίζεσθαι, ὡς ὄστρακον ἐξηράνθη (3), τοῦ σφύζειν τι πρὸς τὸ τεκεῖν ἀπόρως πάντως σχοῦσα, τὰς δ' εἰς τοῦτ' ἐλπίδας κάτω φέροντες καὶ οὗτοι ἐξ ἀνάγκης ἔθεσαν, τηνικαῦτ' αὐτοὺς ἡ τῶν θείων πραγματεία τόνῳ σώματος καὶ γνώμης συνεκκροτουμένη μετελάμβανε, καὶ ἀκοιμήτοις ταῖς γε πρὸς Θεὸν εὐχαῖς ἐκέχρηντο, ἀντ' ἄλλης, ὡς εἰπεῖν, ἀγκύρας ἄγοντες τὴν ἐν αὐτῷ ἐλπίδα περὶ τῶν ἐχόντων τουτωνὶ πραγμάτων, καὶ οὐκ ἔθραξεν αὐτοὺς οὔτε γήρως ἀργοῦ καὶ ἡμιθνῆτος, ὡς οὕτω λέγειν, ὑποψία, οὔτ' αὖ ἡ τῶν ἄλλων ὑπόνοια καὶ πίστις ὡς οὐκ ἂν τοῦ λοιποῦ τέκοιεν. Πιστεύοντες δ' ὡς τὰ μεγάλα τῶν

(1) Loquutio Paulina : vide Epist. II ad Cor. I, 22; V, 5.

(2) Psalm. CVI, 30 : ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν.

(3) Psalm. XXI, 15 : ἐξηράνθη ὡσεὶ ὄστρακον ἡ ἰσχύς μου.

πραγμάτων οὐ διὰ ταχέων δέχεται τὸ πέρας, σχολαιότερον δ', ὡς ἀπὸ μείζονος καὶ θειοτέρας ἠρτημένα ὑποθέσεως, καὶ ἐν δυναστείαις ἡ σωτηρία τῆς τοῦ Κυρίου φαίνεται δεξιᾶς (1), ἡλικίαν τὴν αὐτῶν ὑπάρχουσαν ἀεὶ ἐπὶ τὸ ἀθαρσέστερον οὐδὲν ὑπελογίσαντο πρὸς τὴν ἐπαίρουσαν καὶ ἄνω εἰς Θεὸν τιθεῖσαν πίστιν τὴν αὐτῶν. Οἶμαι τοίνυν, ὥσπερ ὁ μέγας οὗτος οὐρανὸς τὸ γενέσθαι ἐξ ἀρχῆς παρὰ Θεοῦ λαβὼν δημιουργοῦ, ἔπειτα, ἡλίου τούτῳ ἐγγεγεννημένου, θαυμαστότερος καὶ ἑαυτοῦ ἐφάνη, διὰ τούτων, μοι δοκεῖν, Θεοῦ τὰ κατὰ τούτους ἐπὶ τῶν παρόντων προσημαίνοντος πραγμάτων, ὡς (2) δὲ καὶ οἱ τῇ παρθένῳ καταστάντες οὗτοι εἰς γεννήτορας, Θεοῦ τῇ ψήφῳ τοῦτο δόξαν, τὸ μὲν τῆς γνώμης αὐτῶν παράσημα περὶ τὰ κάλλιστα θαυμαστὸν οἷον ἔφερον παρ' ἑαυτοῖς, οὐχ ὥστε μέντοι καὶ τὸ κάλλος τῆς αὐτῶν ψυχῆς ἐκκεῖσθαι τοῖς πολλοῖς, χρόνῳ δ' ὕστερον καὶ τὴν ἡλίου ταυτηνὶ καθαρωτέραν τῷ τῆς δόξης περιόντι προβαλλόμενοι, διάδηλον τὸ κατ' αὐτοὺς τοῖς πᾶσιν ἀπειργάσαντο, ἐν ᾧ δὴ ἡλίῳ καὶ Θεὸς ἔθετο σκήνωμα αὐτοῦ (3), καὶ θαυμαστὴν (4) τοῖς πάντων ὀφθαλμοῖς κατασκευάσας ἔχει· ὥστε πάντας μὲν τοὺς ἐφ' αὐτῶν ταῖς ἀρεταῖς ἐνίκων, ἑαυτοὺς δὲ ταῖς ἐν τῷ Θεῷ ἐλπίσι, μονονουχὶ (5) ταῦτα λέγοντες, ὅτι, κἂν πιθανότητες λόγων τῶν τῆς φύσεως καὶ μάλα θράττωσι, κἂν θάνατος αὐτοῖς ὥσπερ ἐν προθύροις δεδιττόμενος ἐφίστηται, κἂν πάνθ' ἁπλῶς προσπίπτοντα

(1) Psalm. XIX, 6.
(2) Codex, ὡς.
(3) Psalm. XVIII, 4.
(4) Ita codex. Nihil tamen forsan deest.
(5) Codex, μόνον οὐχί.

τὸ ἄγονον αὐτοὺς ὅρκου ἰσχυρότερον φρονεῖν ἐπείγῃ, οὐδὲν μᾶλλον ἐλπίδος τῆς τὸν εἰρημένον τρόπον ἀποστήσει.

Ταύτην ἐγὼ τὴν ἐλπίδα παράδειγμα τῆς τῶν ἀνθρώπων ἐν Θεῷ ἐλπίδος κρίνω· ταύτην τῶν ὧν ἂν εἴπῃ τις καλλίστων πράξεων ἀξίαν μᾶλλον τίθεμαι θαυμάσαι· ταύτην τῶν ὑπὸ τὸν ἥλιον ἀρετὴν περιφανῆ ἐκλάμψαι πείθομαι καὶ σεμνοτάτην τὴν αὐτήν, καὶ μέντοι τοῖς ἀσκήσασιν ἀξίαν τοῦ παντός· οἳ φρονοῦντες ὤφθησαν ἀνθρώποις τἀναντία, πίστιν μὲν ἀγόνου φύσεως πλέον ἕξειν ἡγησάμενοι, συνεχῆ δ' εὐχὴν ἡλικίας θερμοτέραν κρίναντες. Τίνες γὰρ ἄμεινον αὐτῶν ἐλπίσι ταῖς ἐν τῷ Θεῷ ὑγίαινον; τίνες δὲ τῷ βίῳ τούτων μᾶλλον πρὸς τὸ ἄριστον καὶ κάλλιστον ἐχρήσαντο; εἰς ἀρετὴν ἀνθρώποις ἡγησάμενοι, οὗτοι τῶν ἐν ὕλῃ καὶ χαμαὶ κειμένων (πῶς ἂν ἀξίως εἴποι τις;) ὑπερεφρόνησαν· οὗτοι ὑπὲρ τὰ κοινὰ τῆς τῶν πολλῶν φρονήσεως ὁρῶντες, ὑπ' αὐτῶν ἀγόμενοι ἐλπίδων θειοτέρων, τὸ πάντων τοῦτο θαυμαστότατον, τῇ τοῦ Θεοῦ μητρὶ εἰς γένεσιν ἡγήσαντο.

Οὐ γὰρ συντέλεια παρῆν ἐνταῦθά τις ὡς ἐκ φύσεως, οὐδ' αὖ τέχνη τοῦτο περιγέγονεν αὐτοῖς, οἷα παρ' ἀνθρώποις γίνεσθαι φιλεῖ· οὐδὲ πραγμάτι' ἄττα συσκευάσαντες, οὕτω τὸ γεννήτορες γενέσθαι ἔσχον. Θεὸς δ', ὃν τρόπον ἐδοκίμασε, περιελὼν τὰ φαυλίσματα τῆς ὕβρεως αὐτῶν, ἀγασθεὶς οὕτω ταῖς ἐλπίσι προσταλαιπωρούντων, κἀντεῦθεν εἰς ἀνθρώπους ἀπαγγέλλων τὸν Χριστὸν αὐτοῦ, παιδὶ τοιαύτῃ πίστιν τὴν αὐτῶν ἠμείψατο· λέγειν μὲν ὅπως, πάντων μάλιστα ἀδύνατον· πιστεύειν δ' ὡς ἀξίως τῆς αὐτοῦ

βουλῆς καὶ κρίσεως, εὐσεβές τε ἅμα καὶ μακάριον.

Οὐκ ἔχω τοίνυν πότερα τὸ θεῖον τῆς εἰς τούτους ταύτης χάριτος θαυμάσω, ἢ τοῦ δόξαι (1) τῆς αὐτοῦ βουλῆς ἀξίους. Εἴ τε γὰρ Θεὸς, εὑρὼν οἵους τῷ βουλεύματι ὑπηρετεῖν ἀξίους, οὕτω μόνους τῶν ἁπάντων τούτῳ δὴ τετίμηκε τῷ τρόπῳ, εἴ τε, κρίναντος αὐτοῦ μύστας τῆς αὐτοῦ γενέσθαι γνώμης, αὐτίκα καὶ αὐτοὶ, ὡς ἂν τις εἴποι, μετεπλάσθησαν ὡς μέγεθος τὸ τοῦ βουλεύματος χωρῆσαι, ἑκατέρως γίνεται τὸ θαῦμα· πλὴν ὅσον καὶ ἰδίᾳ φέροντας Θεῷ ἀποδιδόναι τι τοῦ πράγματος εὖ ἂν ἔχοι (2).

Τοῦτο δ᾽ ἔτι θαυμαστότερον, ὅτι, πρὶν ἢ φύσιν γνῶναι τὴν αὐτῶν σπαργῶσαν ὅσα γε εἰς γέννησιν, πρὶν ὠδίνων τῶν ἐπὶ τῷ τόκῳ αἴσθησιν αὐτοῖς γενέσθαι, ἐν δ᾽ εὐχαῖς κειμένων ἔτι μυστηρίων τῶν περὶ αὐτοῦ, ἦ μὴν εὐθὺς τὸ τεχθησόμενον Θεῷ γε ἀναθήσειν ὑπισχνοῦντο. Τοῦτο δ᾽ ὅσον ἀρετῆς αὐτοῖς ἔχει, πῶς ἄν τις καὶ ἀποδεικνύοι; τὸ γὰρ τούτους μὲν ἤδη περὶ τὸ γεννᾶν αὐτοῖς τὴν φύσιν γνόντας ἀπειποῦσαν, εἶτ᾽ εὐχαῖς περὶ αὐτοῦ προσκεῖσθαι τούτου καὶ τὴν διαθήκην αὐτῶν ἐπὶ θυσίαις διατίθεσθαι, πάλιν δὲ, παιδὸς ἐρῶντας καὶ τοῦ πράγματος ἐπιτυχεῖς τῷ ὄντι γενομένους, παῖδ᾽ ἀποδοῦναι (3) φέροντας Θεῷ· πῶς οὐχ ὑπερφέροντας τῶν ἄλλων δείκνυσι καὶ θειοτάτους ἐξ ἁπάντων; ἐν ἐκείνῳ μὲν γὰρ τὸ τῆς εἰς Θεὸν πίστεως,

(1) Forsan τοῦ δόξαι αὐτούς.

(2) Codex, ἔχει. Permutationem parit talem iotacismus. Paulus Silentiarius in Thermas vers. 92: Ἔστιν, λέγουσι, νᾶμα, Ὅπερ, βαλὼν εἰς ἄγγος, Εἰ νυξὶν αἰθριάζοις, Κρυσταλλόπηκτον εὕροις. Cod. 1310, αἰθριάζεις et εὕρης, quod prætulerim.

(3) Cod. γενομένους δ᾽ ἀποδοῦναι.

ἐν τούτῳ δὲ τὴν τοῦ πάντα λειτουργεῖν τούτῳ προθυμίαν, καὶ ἀμφοῖν ὁμοῦ τὸ ζῆν Θεῷ, ἐμφαίνουσιν.

Ὑπὲρ λόγον μὲν οὖν ἡ παῖς ἐν γενέσει· μεταβολαὶ δὲ τῇ τῶν ὁρωμένων τούτων φύσει ἐπὶ πᾶσι τοῖς βελτίστοις. Καὶ θυγάτηρ μὲν αὕτη τῶν τεκόντων τούτων ἤκουε, Θεοῦ δὲ μήτηρ καὶ κοινὸν ἀνθρώποις ἀγαθὸν ὑπῆρχεν· οὐ μᾶλλον τοῦτ᾽ ἄκουσμα τὸ ἄρρητον αὐτῷ ὑπηρετήσουσα, ἢ ἀνθρώποις σωτηρίας διὰ τοῦ αὐτοῦ αἰτιωτάτη ἐσομένη.

Τοῦτον τὸν τρόπον ἡ παρθένος εἰς τὸν βίον ἧκε· τῷ Θεῷ δὲ ἄρα πρὸ αἰώνων καὶ ἑωρᾶτο καὶ μητρὸς ὁμοίως εἶχε τούτῳ τάξιν. Ἄγγελοι τοίνυν ἰδόντες τὴν γέννησιν αὐτῆς, ὁπόσῳ λείπονται αὐτῆς αὐτίκα ἔγνωσαν. Θεὸς ἐσέμνυνεν, ἡ φύσις ὑπεχώρει ταύτῃ· τὰ πάντα ἐν κηρύκων σχήματι τὴν οὐ διὰ μακροῦ εὐεργεσίαν τοῖς ἀνθρώποις προκατήγγελλε, σχῆμα καὶ αὐτὰ λαβόντα ὥσπερ εἰς τὸ λέγειν, τὰ μὴ πεφυκότα, διὰ τὸ τεθαυματουργημένον τῆς γεννήσεως αὐτῆς. Λέγω συνελών· ὥσπερ, ὅτε τόν τε οὐρανὸν καὶ μὲν δὴ τὴν κατ᾽ αὐτὸν διάθεσιν καὶ τάξιν τὴν τῶν ἄστρων ὁ Θεὸς ἐποίει, πάντες ᾔνεσαν αὐτὸν Ἄγγελοι, ὡς (1) δὲ καὶ ὅτε Θεὸς αὐτὴν ἐδημιούργει, καὶ ἀρχόμενος δι᾽ ἀμυδρῶν τῶν γνωρισμάτων ἐξεμόρφου ὡς εἰς βρέφος, χορὸς πᾶς οὐρανίου στρατιᾶς, Θεοῦ μαθεῖν αὐτοῖς διδόντος τηνικαῦτα βάθος τὸ τοῦ πράγματος, πάντως ἂν ᾔνεσαν αὐτόν. Ἦ γὰρ μεγάλα ἔργα τάδ᾽ ἐγένετο, καὶ τὰ αὐτὰ Ἀγγέλοις καὶ ἀνθρώποις ἔχοντα τῷ ὄντι ἔκπληξιν. Τὰ γοῦν διεστῶτα εἰς ταυτὸν συνῆκτο· καὶ γῆ μέν, θαύματος νικῶντος, τῆς αὐτῆς φύσεως ἀλλοτριώτατα

(1) Codex, ὡς.

εἰς οὐρανὸν ἀνέβαινεν· οὐρανὸς δ' ἐπὶ τῆς γῆς, κἀνταῦθα σώζων τάξιν τὴν αὐτοῦ, κατήει (1)· καὶ ἐπλήσθη ἡ γῆ τοῦ γνῶναι δόξαν Κυρίου (2), καὶ πάνθ' ἅμα καὶ ἐγγὺς Θεοῦ εἱστήκει, καὶ θεία τις τὸ πᾶν εἶχεν ἡδονή. Ἦν γὰρ Μωσῆς μὲν δι' αἰνιγμάτων καὶ σκιᾶς ἰδὼν (3) ἐθαύμασε καὶ διὰ τοῦτο πρόσωπον Θεοῦ τὸ πρὸς ἀνθρώπους ὥς γ' ἐν ὁμιλίαις ἔσχεν (4), Ἰακὼβ δὲ θεωρήσας κλίμακος ἐν σχήματι (5) πατὴρ ἠξίωται ἐθνῶν γενέσθαι, πάντες δ' ὡς ἐν προοιμίοις οἱ προφῆται ἀσθενὲς περὶ αὐτῆς ἰδόντες καὶ λεπτὸν, τῷ δυνατῷ τῆς θεωρίας ᾔσθησαν ἀμήχανόν τι ὅσον, ταύτην ἐκφανεῖσαν πᾶσι δι' αὐτῆς πόσον οἴεσθε τῇ φύσει παρασχεῖν σκιρτῆσαι; οὐκ ἂν ἔχοι τις ῥᾳδίως λέγειν, πλὴν τοσοῦτό τι πιστεύειν, ὡς ἄρ' αὐτὴ μήτηρ γέγονε Θεοῦ, κἀντεῦθεν τὸ τῆς ἡδονῆς σκοπεῖν ὡς οἷόν τε καὶ τῆς εὐεργεσίας πρᾶγμα.

Καί τοι βασιλέως μὲν ἐνταῦθα παῖς γεννᾶσθαι μέλλουσα λαμπρὰν μὲν, καὶ πρὸ τοῦ πράγματος κἀπὶ τοῦ πράγματος, τὴν ἡδονὴν ποιεῖ τοῖς ἀρχομένοις, κατὰ περίοδον δ' ἀεὶ δευτέραν, ἡμέρας τῆς τὴν τελετὴν ἐλθοῦσαν δεξαμένης ἐπιλαμβανούσης, νεωτέρους πάλιν καὶ ἀκμάζοντας εἰς λόγον ἡδονῆς παρέχεται· ἡνίκα δὲ ὁ τῶν βασιλευόντων βασιλεὺς

(1) Codex, κατίει. Sæpe in ejus temporis et similium scriptura peccatum fuit. In Protevangelio Jacobi, c. 12 et 16, est male scriptum ἀπίει pro ἀπήει. Josephus Maccab. § 3, pag. 501: ἐπὶ τὸ δεῖπνον εἶσαν· oportuit ᾖσαν: melius codex 3010, ἤεσαν.

(2) Habac. II, 14: ἐμπλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν Κυρίου.

(3) Allusio ad rubum ardentem, Exod. III. Similes allegorias jam plurimas, imo nimias, in Theodori Hyrtaceni præcedente oratione vidimus.

(4) Exod. XXXIV, 29.

(5) Genes. XXVIII, 12.

καὶ κύριος τῶν κυριευόντων (1), ἀποστείλας τὸ λόγιον αὐτοῦ τῇ γῇ, μητέρα τὴν αὐτοῦ εἰς βίον ἥκειν ἔκρινε, καὶ ἐν τῇ ἁγίᾳ ταύτῃ αἱ πορεῖαι κατεφάνησαν αὐτοῦ (2), καὶ τὰ καινὰ πάντα ἐγεγόνει, πῶς οὐκ ἔμελλον πάντες μὲν προφῆται, πᾶσα δὲ Ἀγγέλων τάξις, πᾶν δὲ τὸ τῶν ἀνθρώπων πλήρωμα πληροῦσθαι ἡδονῆς, καὶ ἀεὶ δὲ τοῦτο πάσχειν ἐξ ἐκείνου, καὶ τὴν δόξαν Θεοῦ τοῦ ἀφθάρτου καταγγέλλειν; Καὶ μὴν, εἰ δεῖ νομίζειν ἀθυμίαν σὺν ὑπερβολῇ κοινῇ ἀνθρώποις ἐγγενέσθαι, ὅτ' ἐγὼ διὰ τῶν προπατόρων τῆς βεβήλου τόλμης ἔγνων (3) καταστῆναι (δῆλον γὰρ ὡς ἀνθρώποις ἐξ ἐκείνου τὰ τῆς καταδίκης ἐπεκλώσθη), ἐνταῦθα δικαιότατα ἁπάντων ἂν πιστεύοι τις ὡς θαυμαστή τις εὐθυμία πάντας ἂν κατέσχε, τῆς Θεοῦ μητρὸς εἰς φῶς ἐλθούσης, εἴπερ ἔλεον μὲν Θεὸς καὶ χάριτας ἀνθρώποις ἀποστέλλειν καὶ βούλεται καὶ θαυμαστή τις ἔνεστιν αὐτῷ εἰς τοῦτο δύναμις, ἡμεῖς δι' αὐτῶν ἡμᾶς αὐτοὺς ἐκκλείομεν, τὴν πονηρίαν καὶ τὰ ἴσα ἀνθαιρούμενοι. Καὶ τί δεῖ πολλὰ λέγειν; εἰ γὰρ θερμότερον, ἢ κατὰ τὸν ἐνόντα χειμῶνα τοῖς ἀνθρώποις, φημὶ, τὸν τῆς ἀγνοίας, διάθεσιν λαβών τις, δυνήσεται πιστεῦσαι ὡς αὐτὴ Θεῷ διὰ σαρκὸς ὑπὲρ ἡμῶν δήπου συνηγώνισται, κάτοχος ἐνταῦθα τὴν ψυχὴν τῷ θαύματι γενόμενος, θειοτάτην ἁπασῶν ταύτην ἂν ἐν βίῳ ἡδονὴν ᾔσθετο, καὶ εὐπαθήσας ὑπ' αὐτῆς, ἄνω, ὡς εἰπεῖν, τῷ νῷ χωρήσει, ἄχρι ἡ τῆς

(1) Periphrasis Paulina ex Epist. I ad Timoth. VI, 15.

(2) Psalm. LXVII, 24: ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως ἐν τῷ ἁγίῳ.

(3) Sic codex. Si hæc sunt integra, utique non sunt facilia.

φύσεως περιφορᾷ καὶ τὸ καθέλκον ταύτης εἰς τὰ κάτω πάλιν κατενέγκῃ, τῆς ἀναβάσεως, καθάπερ πτερῶν, διαῤῥυείσης.

Ἀλλ' ὁ μὲν τῆς γενέσεως αὐτῇ ἐνταῦθα σήτω λόγος, ἐν σιγῇ τὸ θαῦμα λέγων, καὶ σεμνότερος αὐτοῦ γινόμενος τὸν τρόπον τοῦτον· τὸν δὲ τῶν δευτέρων τούτων μυστηρίων μεταλαμβάνοντες ἀγῶνα, κατὰ δύναμιν ἀρξώμεθα τοῦ λέγειν.

Αὕτη τοίνυν ἡλικίαν ἔτι βρεφικὴν ἐπέχουσα καὶ κλῆσιν φύσει τῇ τῶν γυναικῶν ὁμολογοῦσαν ἐπισυρομένη, εἰς τὰ τῶν Ἁγίων Ἅγια (ὢ λόγων θαύματος γεμόντων τούτων καὶ πληρούντων οὐρανόν!) εἰσάγεται. Καὶ οὔτε τὸ νεώτερον τοῦ πράγματος κατέσειε τὴν τῶν ὁρώντων γνώμην, οὔθ' οἱ πράττοντες αὐτῇ τὴν εἴσοδον πατέρες ὅτι πλέον, ἢ νόμος ὁ Θεοῦ ἠγόρευεν (1), ἐπιχειροῦσι δρᾷν ἐν νῷ ἐλάμβανον. Ἀλλὰ Θεὸς μὲν ἄνωθεν ἐπιψηφίζων διετέλει, προστιθεὶς τοῦ εὐδοκεῖν ἔτι, οὗτοι δὲ τὴν παρ' αὐτῶν συντέλειαν τῷ πράγματι λαμπρὰν εἰσέφερον· καὶ πάντες τὸ καινὸν τουτὶ ὡς σύνηθες ἠγάπων, ὡς οὐ νεωστὶ σχεδιασθὲν, ἀλλ' ὡς ἀπὸ κειμένων νόμων καὶ ψηφιζομένου τοῦ Θεοῦ τὸ κράτος καθαρῶς φερόμενον. Οὗ γὰρ Θεὸς εὐδοκεῖ καὶ θαυμασθῆναι βούλεται, ἐνταῦθα πάντ' ἐστὶν ἰδεῖν ὑπείκοντα καὶ τῆς αὐτοῦ βουλῆς ἐκκρεμαννύμενα· ὥσθ' ὧν οὔτε νῷ δύναται λαβέσθαι τις, οὔτε λόγος τούτων ἐφικέσθαι, ὡς καὶ τὸν παντάπασι κεκαθαρμένον ἄνθρωπον καὶ θεῖον ἀτεχνῶς τὴν γνώμην ἀποδόντα εἰς αὐτὰ τῷ μεγαλείῳ τε καὶ τῷ τοῦ θαύμα-

(1) Poterit consuli Tillemont. Memor. t. I, pag. 487; collato Liron. Amœnitatibus criticis t. II, pag. 94.

τος ἐνόντι τὴν ψυχὴν ἄντικρυς πληγῆναι, καὶ σιγὴν ἐνταῦθα ἐξ ἀνάγκης ἄγοντα δοκεῖν τὸν τρόπον τοῦτον ὥσπερ λέγειν, ταῦτα νῦν ὁρᾶν πολλοῖς ἐξέκειτο.

Τί γάρ, ὃ μέγιστον, οὐ προὔβαινεν εἰς ἔργον; τί δ' οὐχὶ παρῆν, ὃ τῆς φύσεως οὐ κυριώτερον; ἃ γὰρ ἄδυτα ἀκούειν τε ὁμοίως καὶ τῇ πείρᾳ κρίνειν, περὶ ὧν ὁ μὲν πολὺς οὐδ' ὁτιοῦν γινώσκοντες ἐτύγχανον, ἱερεῦσι δ' ἀπείρητο μηδέποτ' ὦφθαι εἰσιόντας εἰς αὐτά, μήτε γνώμην σχεῖν περὶ αὐτῶν περίεργον ἀνερευνῶντας τὰ ἐνταῦθα δρώμενα, ἀρχιερεὺς δὲ ᾧ ἀνεῖτο ἡ ἐκεῖ διατριβή, λαγχάνων ἀνὰ ἔτος ἑκάστον ἡμέραν μίαν πρὸς τὸ τὰ γινόμενα τῷ πράγματι ὑπηρετεῖν (1), τὸ ἀπ' ἐκείνου τῶν πολλῶν οὐδὲν διέφερεν, ὡς λόγος, ἄσιτος τὰ ἐκεῖ καὶ οὗτος τεκμαιρόμενος (2), ταῦτα τοιγαροῦν τὰ διὰ πάντων ἅγια καὶ διὰ πάντων ἔχοντα τὸ θεῖα εἶναι καὶ σεμνότατα (ἐπεὶ τούτων οὐκ ἦν αὐτῇ ἐνδιατρίβειν χῶρος ἐπιτηδειότερος, οὐδ' ὃς ἂν ἀρκοίη μᾶλλον πρὸς ἀξίαν), τῇ παρθένῳ δίαιτα καὶ οἶκος, ὡς εἰπεῖν, γεγένητο.

Οὐ μήν, χωρὶς θειάμβων σεμνοτάτων τε καὶ τῶν αὐτῶν πολὺ τὸ σῶφρον σὺν μανίᾳ θείᾳ φερομένων, τὴν ἀρχὴν τὰ πρὸς τὴν εἴσοδον αὐτῇ ὑπῆρξε τοῦ νεώ· ἀλλ', ὥσπερεὶ τῆς κατ' αὐτὴν περὶ τὰ κάλλιστα παρασκευῆς ἐπίδειξιν ταυτὶ τὰ ἄδυτα κατασκευάζοντος αὐτῇ τοῦ λόγου τοῦ Θεοῦ, καὶ μέντοι γε δεικνύντος οἵαν μὴ καί ἄνθρωπον δοκεῖν, οὕτω τὰς τῶν θηλειῶν παρθένους οἱ δρωμένων τῶν μεγίστων τούτων μύσται γεγονότες εἰς ταυτὸν συναγαγόντες, ὑπὸ πλείστῳ

(1) Conf. supra p. 33, n. 2. 238, ubi hic ipse locus appositus

(2) De eo proverbio t. II, pag. a nobis fuit.

τῷ φωτὶ (1) τὴν ἀκριβῶς παρθένον ταύτην ἐπὶ τὸν νεὼν περιπέμπουσι. Παρθένων τοιγαροῦν πλήρης ὁ θρίαμβος, καὶ χρησμοί, ὡς λόγος, οὐρανοῦ καὶ γῆς ἁπτόμενοι (2) ἐπὶ τοῦ πράγματος καὶ δὴ ἐξέβαινον. Καὶ χορὸς ὁ τῶν παρθένων, θειασμῷ δήπου κατεχόμενος, τὰ πολλὰ περὶ ᾠδὰς καὶ τὰ τοιαῦτα εἶχε, καὶ τὴν ἰδίᾳ τῷ Θεῷ καταπεφημισμένην ταυτηνὶ παρθένον παμπλείστοις ὕμνοις προύπεμπεν ἐπὶ τὰ Ἅγια. Καὶ τὰ ταῖς ἀκοαῖς πολλῶν ἄνωθεν ἐτῶν θρυλλούμενα τοῖς ἤδη γινομένοις καὶ ὁρᾶν παρίστατο.

Οὐ μᾶλλον τοίνυν αἱ παρθένοι ὀφθαλμοῖς ἐνταῦθ' ἐκκεῖσθαι τοῖς ἁπάντων, ἢ ἐντεῦθεν πρεσβεῖον τὸ τῆς παρθενίας ἑαυταῖς προμνᾶσθαι ἐψηφίζοντο, οὐ μόνον τῷ ὡς εἰς παράδειγμα αὐτὴν ὁρᾶν δήπου παρθενίας, ἀλλὰ καὶ ὡς τέμενος τῆς διὰ πάντων ἀκηράτου καὶ ἀχράντου φύσεως αὐτὴν νομίζουσαι. Οἷς οὖν ὑγιές τι καὶ ἐλεύθερον φρονεῖν δυνάμεναι καὶ τοῦ διακονεῖν τοῖς μὴ γενναίοις τῶν πραγμάτων ἔχουσαι ἀλλοτριώτατα, ἔπειτα, ἐνταῦθ' ἀγαπητῷ τούτῳ παθήματι διακονούμεναι, ἀῤῥενωπόν τι τὴν ψυχὴν ἑώρων καὶ ἐλεύθερον καὶ βλέμματος παρθενικοῦ ἀντίῤῥοπον, ἐκ τούτων τὸ καθ' ἑαυτὰς εἰς θαυμαστὴν ἀνάβασιν κεχωρηκὸς ἐμάνθανον. Οὐ γάρ, ὅσον τοῦ τῶν γυναικῶν αὐταὶ διέφερον ὁμίλου, τοσοῦτον αὐτῇ πρὸς ἑαυτὰς τὸ μέσον φέρουσαι ἐδίδοσαν· ἀλλ' οὐρανοῦ μὲν καὶ γῆς ἔστι καὶ κοινόν ἰδεῖν τι καὶ συνάγειν εἰς ταὐτὸ νοήματα περὶ ἀμφοῖν αὐτῶν, τὰ δὲ τῶν παρθένων τούτων πρὸς

(1) Conf. supra p. 50, n. 1.

(2) Lucianus Alex. 54 : ὀκτώ μοι χρησμοὺς ἔπεμψεν οὔτε γῆς, φασίν, οὔτε οὐρανοῦ ἁπτομένους, ἀνοήτους δὲ καὶ δυσνοήτους ἅπαντας. Vide Erasmum Adag. I, V, 44.

αὐτὴν καθάπαξ ἄκοινα· ὡς οὐκ ἔστιν οὔτε νῷ τὸ κατ' αὐτὴν δηλῶσαι οὔτε λόγῳ, ἀεὶ δὲ τοῦ ἴσου δεῖ τῷ σκοπουμένῳ περὶ ταύτης, πρός γε τὸ ἰδεῖν τι ἄξιον περὶ αὐτῆς καὶ διελθεῖν.

Οὐ μὴν ἀλλὰ τὰ ἄδυτα αὐτά τε καὶ ἡ περὶ τούτων μνήμη, περὶ ἃ ὁ λόγος ἔχων ἔπλεκε τὸ θαῦμα τῇ παρθένῳ, ἔτι ἔχοντά με παρ' αὐτοῖς, « κεφά» λαιον », φησὶ, « τὸ τῶν ἐκεῖ θαυμάτων λέγε, » τῆς Ἀγγέλῳ (1) καθ' ἡμέραν ἐπὶ τῇ ἁγνῇ προβε» βλημένης οὑτωσὶ τροφῆς, ὡσὰν τροφῆς σαυτῷ τε » καὶ τῷ λόγῳ ἐν τῷ ἀφηγεῖσθαι ἀπολαῦσαι καθαρῶς » παρέχων. » Προθυμίας οὖν αὐτίκα πρὸς τὸν λόγον πέπλησμαι ψυχαγωγοῦντα διὰ τῶν πραγμάτων· δέδια δὲ τὸ ἐμαυτοῦ σκοπῶν ἐν μέρει, μὴ, πρὸς τὴν οὐράνιον ταύτην ἀπιδεῖν προθυμηθεὶς, ἀνάτασιν καὶ νοῦν ἐνταῦθα ὑπερτείνας, ἔπειτα ἐντεῦθεν ὡς ἀπ' οὐρανοῦ καθάπερ σκώληξ ἐγκαταρριφθῶ, μήτε ὑπὸ τῆς ὕλης βάρους ἔχων τοῖς τοῦ νοῦ πτεροῖς χωρεῖν διὰ τῶν ἐν τοῖς Ἀγγέλοις θείων καθαρῶς πνευμάτων, μήτε μὴν τοῦ κατ' αὐτοὺς πυρὸς ἁγίου περιδράττεσθαι. Ὃς γὰρ ὑγρὸν βίον τοῦτον ἐκπεριαντλῶ, πολλῆς ἀναπιμπλάμενος τῆς ἀπὸ τῶν κακῶν ὁμίχλης, πῶς ἄρα τῶν ἀγγελικῶν ἐξανθημάτων τούτων καὶ τῆς κατὰ τούτους νοητῆς φλογὸς οὐσίαν ὡς διὰ νεφέλης τῆς τῶν λόγων ἕξεως χωρῶν κατόψομαι; εὑρίσκω γὰρ, δοκιμάζων τούτοις προσχωρεῖν διὰ τοῦ λόγου, ἐμαυτὸν μὲν οὐδὲν ἔλαττον ἀπολισθαίνοντα ἐκεῖθεν, ὑποσπῶντός τε καὶ καταδύοντος τοῦ ἐν τῷ τρόπῳ

(1) Vide p. 33, sq. quæ narravit Theodorus de pane, quem archangelus Gabriel uno quoque die ad Virginem ferre jussus fuit.

βάρους, ταῦτα δ' ἔχοντα τὸ ἔτι κοῦφον καὶ πτηνὸν καὶ εἰς αὐτὰ αὐτὰ ἐνστρέφον.

Καί τοι ἔγωγε, πρὸς τῷ μηδὲ Ἀγγέλων ὄψιν στέγειν πεφυκέναι, καὶ τὴν μνήμην οὐκ ἀξίαν ἐμαυτοῦ νομίζω. Εἰ γοῦν ἴλιγγον ἐμοὶ ἐντίθησιν ἡ μνήμη, τὸ καὶ λειτουργίαν καθαρῶς ἀγγελικὴν ἐπὶ τροφῇ τῇ τῆς παρθένου βούλεσθαι διεξιέναι λόγῳ ὅσην ἂν μοι τὴν δειλίαν ἐμποιοῖ (1) δικαίως! Ἄλλοι μὲν γὰρ λογιζέσθωσαν Ἀγγέλου θεωρίαν, ἄλλοι δ' ὁμιλίαν τούτου μυστικήν τε καὶ σκιαζομένην τῇ τοῦ λέγοντος ἀξίᾳ τε καὶ φύσει, οἱ δ' ἐμπύρου γλώττης νοητὰ προβλήματα· τοῖς δὲ τὸ θαῤῥοῦν τῆς παρθένου πρὸς τὸν Ἄγγελον καὶ τὸ ὡσὰν περὶ οἰκείου λειτουργοῦ φρονεῖν αὐτοῦ ἐν θαύματι κρινέσθω· σύμπαντες δ' ὁμοῦ τὸ τούτου πρὸς αὐτὴν λειτούργημα συντεταμένον θεωρείτωσαν μετὰ νηφούσης γνώμης. Ἐξ ἁπάντων γὰρ οὖν τούτων θαύματα ἀνθρώποις ἀνακύπτει ἄῤῥητα καὶ ἀθεώρητα, Θεοῦ μόνον, ὡς εἰκάζειν, δυναστείας ἴχνος τι ἀναχαράττοντα. Καὶ μήτε τις ἀκούων ἀόρατον Ἀγγέλου φύσιν, μήτε νηπιώδους ὀφθαλμοὺς παιδὸς, μήτε νοῦν ἐξ ἀπόπτου καταβαίνοντα, μήτε κόρης γνῶσιν γηγενοῦς, τῶν τῆς προνοίας λόγων, ὑπὸ ἀπειρίας λογισμῶν σωφρόνων καὶ φερόντων εἰς Θεὸν, σχιζέσθω· οὕτω γὰρ Θεὸν (2) ὡς εἰς ἐργάτην ἔσται ταῦτα ἀναφέρων, εἰ ἀνθρώπων μὴ ὁρῴη λογισμοῖς ταυτὶ ὑπείκοντα. Ἐπεὶ, εἰ γνώσεως τῷ ἐπιβάλλοντι τῆς τῶν ἀνθρώπων καὶ ἀξία συμμεμέτρητο ἡ τῶν γινωσκομένων τούτων, ὄφελος οὐκ ἂν αὐτὰ ἡμῖν τοσόνδε εἶχε.

Πάντων τοίνυν τούτων ὑπερπεφυκότων τῆς κάτω

(1) Codex, ἐμποιεῖ. (2) Forsan εἰς Θεόν.

τε καὶ χαμερποῦς ἀνθρώπων γνώσεως, εἰκότως καὶ ὁ θεῖος οὗτος Ἄγγελος οὐ τροφῇ δῆθεν Ἡλιοῦ (1) οὐδὲ τῷ πάλαι θρυλλουμένῳ μάννα, οὐδὲ τὴν τῶν προπατόρων περιϊσχόμενος τροφὴν ἐκείνην (2), εἰσίια τὴν παρθένον, ἄρτῳ δὲ ὑπερπαθεῖ τοῖς ὅλοις καὶ χειρὸς ἀγγελικῆς ἀξίῳ θίγειν. Ἄγγελος τοίνυν τὴν τροφὴν αὐτῇ φέρων, παρετίθει· Ἄγγελος, πρόσωπον ὄψεως ἀναλαμβάνων, οὐκ ἀσύμβλητον αὐτὸ καθίσιη τῷ τῆς τρεφομένης, ὡς εἰπεῖν, προσώπῳ· Ἄγγελος, ὡς ὑπὸ νεύματι Θεοῦ κινούμενος, τὴν ταύτῃ λειτουργίαν ἀντ' ἄλλου του ἀπεδίδου ἔργου.

Τίς ταῦτ' ἀκούων οὐ κατάκρας ἥδεται, ὅσῳ τὸ φοβεῖσθαι, τοσούτῳ καὶ τὸ χαίρειν ἔχων; τίς, ἀνθρώπου, ὡς ἰδεῖν προχείρως, κοινωνίαν πρὸς Ἀγγέλου φύσιν οὑτωσὶ ἀκούων, οὐχὶ καὶ τήν, μὴ ἐπ' ἄρτῳ μόνῳ ἔχειν ζῆν τὸν ἄνθρωπον, φωνὴν ἐκείνην τοῦ Θεοῦ (3) εὐθὺς συνεψηφίσατο;

Ὦ χεῖρες Ἀγγέλου φέρουσαι πρὸς τὴν παρθένον, καὶ τῷ ξύλῳ τῆς ζωῆς ἡμᾶς διὰ μειζόνων πάλιν εἰσποιοῦσαι! χεῖρες οὐ λαβίδι πυρὸς καθαίρουσαι δήπου τὴν παρθένον (4), δι' αὐτῆς δὲ μᾶλλον κερδαίνουσαι αὐταὶ τὸ ἐπὶ πλεῖστον ἔνθεον, καὶ τῆς κεκαλυμμένης χάριτος αὐτόθεν ὀσφραινόμεναι! ὦ χεῖρες, ὡς ἐν σκιαγραφίᾳ τὴν τοῦ παντὸς μεταποιοῦσαι φύσιν, καὶ κατὰ Θεοῦ βουλὴν κινούμεναι, καὶ βάρος ἱερὸν οἰκονομίας τῷ κοινῷ διαφερούσης γένει τῶν ἀνθρώπων

(1) III Reg. XIX.

(2) Προπάτορες sunt Adam et Eva; et τροφὴ ἐκείνη est fructus ille arboris paradisiacæ: cf. pag. 33, n. 4.

(3) Deuter. VIII, 3: οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος Θεοῦ ζήσεται ὁ ἄνθρωπος.

(4) Isai. VI, 6.

εὐχερῶς διατιθέμεναι! ὦ χεῖρες διακονικαὶ, προζωγραφοῦσαι χεῖρας τὰς δεσπότου καὶ Θεοῦ, δι' ὧν τὸ καθ' ἡμᾶς τουτὶ (1) ἀναλαβὼν, τῷ τῆς σαρκὸς ὁμοίῳ ᾅδου ἅμα ἐδυνήθη καὶ θανάτου χειρῶν ἐξαποσπάσαι! ὦ χεῖρες, τῷ σὺν λόγῳ ἧφθαι οὗπερ τούτου ἔγνωσαν, ἰώμεναι τὴν προπετῆ διὰ χειρῶν τῶν ἐξ ἀρχῆς ἀνθρώπων τοῦ ἀπειρημένου θίξιν! Ὦ λόγοι καὶ ὄψις ἐκείνη καὶ προβλήματα Ἀγγέλου, καὶ φωνῆς ἑορτὴ, νοῆσαι καὶ εἰπεῖν ἀδύνατος! Ὦ παρθένου πρὸς ἐκεῖνον ἀνεκλάλητος καὶ θαυμαστή τις ἔντευξις, καὶ ὦτα πρὸς ὑποδοχὴν τῶν λεγομένων διανεωγμένα, καὶ ψυχῆς ἀνάτασις τοὺς ἐν ταῖς συνουσίαις οὓς μὴ ἐκφορεῖν πω τῶν λόγων φθάνουσα, καὶ πάντα τὰ αὐτῆς Ἀγγέλου παρουσίᾳ συμφωνοῦντα!

Ὡς τῷ ὄντι ἡ παρθένος κατὰ τούτους (2) τὰ τοῦ βίου κάλλιστα προτελεσθεῖσα, εἶτα καὶ τὰ μέγιστα νυνὶ τελεῖται, γνόφου πλέα ἅπαντα τὰ κατ' αὐτὴν, καὶ οὐδεὶς τῶν πάντων δύναιτ' ἂν ἰδεῖν εἰς ὅσον προὔκοψεν αὐτὴ μακαριότητος· ὡς (3) νῦν κἀγὼ περὶ τῆς κατ' αὐτὴν τροφῆς ἐπιχειρῶν διεξιέναι λόγῳ, νεκρὸς ὥσπερ τις καὶ ἄφωνος, ἐλήλεγμαι μηδὲν λέγειν ἔχων ἄξιον τοῦ πράγματος, καὶ λέγειν πάλιν ἄντικρυς φιλονεικῶν, ἄφωνός τις, τὸ τοῦ λόγου, τοῦτο θάτερον ἁλίσκομαι παρεξιὼν, φωνὴν μὲν ἴσως προϊέμενος, μηδ' ὁτιοῦν δὲ διὰ τῆς φωνῆς δηλῶν περὶ τῆς κατ' αὐτὴν τροφῆς. Εἰκόνα γὰρ Ἀγγέλου ῥᾷον ἴδοιμ' ἂν, ἐπ' ἐμαυτοῦ ἀνατυπώσας διανοίας ἐπαφῇ, ἢ περὶ τροφῆς

(1) Videtur σῶμα excidisse. Potuit tamen orator, quum τουτὶ diceret, gestu sententiam declarare.

(2) Nescio ad quos referatur τούτους. Deest forsan τοὺς χρόνους.

(3) Codex, ὡς.

τῆς τῆς παρθένου (1) ἔχοιμ' ἄν τι καθαρὸν εἰπεῖν καὶ φέρον εἰς ἀπόδειξιν τὴν γοῦν μετρίαν. Ἄρτον γὰρ ἐκεῖνον (2) ἡ παρθένος, τὸν μᾶλλον τῶν ἀῤῥήτων πάντων καὶ νοῆσαι καὶ εἰπεῖν ἄληπτον ὁμοῦ καὶ ἅγιον, ἐν τῇ αὐτῆς δέξασθαι γαστρὶ ὑπὸ τῆς ἀχράντου τε καὶ μακαρίας ἐκκριθεῖσα φύσεως, τῆς τοῦ Θεοῦ λέγω καὶ πατρὸς, οὕτω καὶ ἐνταῦθα, λόγῳ φεύγοντι τὴν τῶν ἀνθρώπων γνῶσιν, ταύτην ἔχειν τὴν ἑστίασιν ἠξίωται. Καὶ παρειών τις ἐν σιγῇ μᾶλλον ἂν δόξαι τι ποιεῖν, ἢ καὶ ὁπωσοῦν κινῶν λόγον περὶ τούτου. Ὥσπερ γὰρ φῶς ἡλίου μᾶλλον εἶδέ τις, μὴ πάνυ τὴν ὄψιν προσερείσας· ὡς (3) δὲ καὶ τροφὴν νενόηκέ τις τὴν ἐνταῦθα, καὶ τὴν γνώμην ἐνελάμφθη ἔτι τε καὶ (4) ἐτράφη, μὴ φιλονεικήσας τὰν αὐτῇ μαθεῖν, μηδ' ὥσπερ λίχνον ὀφθαλμὸν ὑπὲρ τὸ πεφυκὸς τὴν ζήτησιν ἐπιβαλών. Τίνων οὖν ἀστέρων συνδρομαὶ καὶ παραλλάξεις τοιαύτην θεωρίαν πώποτ' ἐνεποίησαν τοῖς περὶ ταῦτα ἔχουσι; ποῖοι σχηματισμοὶ πλανήτων καὶ δρόμος ἀπλανῶν κατὰ περίοδον ἐτῶν τῇ τοῦ παντὸς ὁλκῇ συμφερομένην ἔστησαν τὴν ξένην ταυτηνὶ τροφήν; τίνες ἄνθρωποι οὐρανογνώμονες καὶ διώκοντες ἀέρα, καὶ ἀνέμων δίκην ἐμφιλοχωροῦντες καὶ συνδιαιτώμενοι τοῖς νέφεσιν, καὶ οὕτως ἐπὶ τὴν τῆς σελήνης ἕδραν ἑαυτοὺς στηρίζοντες, κἀντεῦθεν προβαίνοντες ἡλίῳ, ἔπειτα διανηχόμενοι διὰ τοῦ ὅλου τῆς Θεοῦ δημιουργίας πράγματος, τοιαύτην πώποτ' εἶδον ἢ ἐθήρασαν πραγμάτων σύνοδον;

(1) De duplici illo articulo t. II, p. 296.

(2) Christum intelligit ἄρτον ζῶντα, quo se Christus nomine ipse indigitavit apud Joannem. Cf. p. 34, n. 1, 96, nn. 6, 7.

(3) Codex, ὡς.

(4) Addidi καί.

Ὡς ἀληθῶς πάντα τὰ ἐνταῦθα παραλλάττοντα καὶ ἀσχημάτιστα, καὶ γνῶσιν διαφεύγοντα τὴν τῶν ὑπ' οὐρανὸν, καὶ μυστηρίων αὔρας ἔμπλεα, καὶ παρουσίας γέμοντα τῆς τοῦ Θεοῦ, αὐτά τε καὶ ἡ πρὸς ἀδύτοις τῆς παρθένου (1), περὶ ἧς ὁ λόγος καὶ τῷ λέγοντι διατριβή.

Ἀλλ' εἰσιούσης τῆς ἐν δόξῃ ταύτης εἰς τὰ Ἅγια, τὰ Σεραφὶμ ἐθαύμαζον· τὰ Χερουβὶμ εἰκότως περὶ ὕμνους εἶχον· Ἀρχαὶ, Θρόνοι, Κυριότητες, καὶ πᾶν θεῖον πλήρωμα πρὸς οὐρανῷ τὴν ἐξ ἀνθρώπων ταύτην προελθοῦσαν ἐμακάριζον, τὸ τῷ Θεῷ νοούμενόν τε καὶ ἐσφραγισμένον τέως ἀναπτύσσουσαν ὁρῶντες διὰ τῆς ἐν τοῖς Ἁγίοις παρουσίας.

Ἐκ γῆς μὲν οὖν πάλαι δῶρον Θεῷ ἐξηρημένον ὁ θρυλλούμενος νεὼς ἐστάθη· ἐν αὐτῷ δ' Ἁγίων Ἅγια ἐνῳκοδόμητο, εἰπεῖν τε καὶ προσβλέψαι πόῤῥωθέν πολὺ τῷ θεωμένῳ ἐμποιοῦντα τὸ τῆς ἀγωνίας πρᾶγμα· ἐν αὐτοῖς δὲ ἡ παρθένος τὴν διατριβὴν πεποίητο, καθισταμένη διὰ τοῦτο θρόνος τῷ Θεῷ, καὶ, ὡς ἐσκιαγραφημένον ἥλιον ἡλίου ἀκριβῶς τοῦ τῆς δικαιοσύνης, τὸν αὐτοῦ νεών τε τοῦτον καὶ τὰ Ἅγια οἰκοῦσα. Οὕτω τἄδυτα τῶν ἱερῶν ἐπὶ τοῦ καθ' ἡμέραν τῇ Θεοῦ μητρὶ πορεύσιμα, καὶ οὕτω νόμου πλέον εἶχε παρθένος, ἡ καὶ δι' αὐτῆς τὸ ἀπὸ τοῦδε εἰργασμένη τοῦτον (2) νῶτα δοῦναι ταύτῃ καὶ τὸν πόδα εἰς τοὐπίσω ὑπεκκλέπτειν· ὥστε θεῖα μὲν αὐτὴ ἁπανταχοῦ ἐκεῖ ἑώρα, θεῖα δὲ ἐμάνθανε δι' ἑαυτῆς αὐτὴ, θειότατα δ' ἀεὶ τετέλεστο καὶ μείζω θαύματα. Οὐ γάρ τι

(1) Vix puto posse hic mente repeti, quod proxime sequitur, nomen διατριβή. Addi poscit sententia, vel διατριβή, vel εἴσοδος, vel παρουσία.

(2) Legem scilicet judaicam.

ἀγεννὲς καὶ οἷον μὴ δοκεῖν ἄξιον αὐτῆς ἐφρόνει· ἀλλ', ἀκήρατον τῷ ὄντι γνῶσιν ἔχουσα καὶ οἵαν τῆς φρονούσης δήπουθεν αὐτῆς ἀξίαν, οὕτω καὶ τὸν τρόπον ἔδειξε τῷ τόπῳ πρέψαντα· οὔτε γὰρ αὐτὴ τὸ κάλλιον καὶ μᾶλλον συγγενὲς, ὡς ἐνοικεῖν ἑτέρῳ τόπῳ τῶν ἐπὶ τῆς γῆς, παρῆκεν. Οὔκουν οὐδ' ὁ χρόνος ἔδειξεν, αὐτός τε ὁ λαχὼν τὸν πρὸ αὐτῆς δοκοῦντ' ἄξιον ἐνδιαιτᾶσθαι ἥκιστα ἐν ἅπαντι τῷ χρόνῳ σχὼν ἐφάνη· οὔκουν οὐδ', ὡς ἔλαβεν, ὑπέμεινε τὸ μὴ τὸν ἔνοικον εἰς τέλος ἔχειν. Καὶ γὰρ αὖ καὶ τοῦτο, οὐ κατὰ τοὺς προφήτας τὰ παρὰ τοῦ πνεύματος, τῇ ἔνοικον πλουτούσῃ ἦν αὐτῇ· ἀλλὰ μεθ' ὅσης τῆς περιουσίας τοῦτο ἐπεσκίαζεν αὐτὴν (1) καὶ περιεῖχε καὶ κατεσχημάτιζε δι' ἑαυτοῦ· ἐπεὶ περὶ αὐτῆς διεξιόντες καὶ προφῆται δόξαν προσελάμβανον ὡς ἄρα λειτουργοὶ τῶν τῷ Θεῷ ἐψηφισμένων ἐκ τῶν κατ' αὐτὴν κρινόμενοι. Οὐδὲ γὰρ ὑπὲρ μὲν Νινευῒ τῆς πόλεως, οὐδέ γε ὑπὲρ Ἰουδαίων ἢ ὡντινωνοῦν, προλέγοντας αὐτοὺς Θεὸς κρείττονος ἢ κατ' ἄνθρωπον σοφίας ἐνεπίπλη, ὡς περὶ τῶν ἐσομένων ὡς γεγενημένων ἔχειν ἀποφαίνεσθαι, καὶ πάντας ἔχειν τοὺς ἀκούοντας πιστεύοντας καὶ διὰ τοῦτο αὐτοὺς θαυμάζοντας· ὑπὲρ δὲ τῆς ἀληθινωτάτης πόλεως αὐτοῦ (2), λέγω τῆς ὁμοῦ παρθένου ταύτης καὶ μητρὸς, καὶ τῆς αὐτοῦ βουλῆς περὶ αὐτῆς, διαφερόντως τῆς καὶ πάντα τὰ σωτήρια ἡμῖν ἐχούσης, καὶ αὖ ὑπὲρ τῶν ἐν οὐρανῷ καὶ τῆς ἁπάσης φύσεως, Θεὸς, αὐτοῖς παρών τε καὶ διαλεγόμενος ἐν τῷ προοδο-

(1) Respectu ad Lucæ verba : Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι

(2) Cf. p. 27, n. 1. Addatur Gregorius Thaumaturgus Hom. III in Annuntiat. Mariæ p. 27 C.

ποιεῖν αὐτοῖς τὰ τῆς αὐτὸν τεκούσης ταύτης ὡς εἰς τὸ γινώσκειν, οὐχὶ πολλαπλῶς σοφοὺς τούτους ἀπεδείκνυε καὶ τάξιν σώζοντας τὴν προφητῶν, καὶ διὰ ταῦτα καθ' ὑπερβολὴν θαυμαζομένους ὑπὸ πάντων.

Ἐν Ἁγίοις οὖν ἡ παρθένος, ἐν δὲ τῇ παρθένῳ Θεός· καὶ νεὼ μὲν ἐν ἀδύτοις (πῶς ἂν (1) εἴποιμι;) αὐτὴ ἐσκήνει, ἐν αὐτῇ δ' ὁ τοῦ πατρὸς υἱὸς ἐσκήνωσεν, ὡς μηδ' ἐν νῷ λαβεῖν τὸ πρᾶγμα ἔχειν τοὺς ἡμᾶς γε τοῦτο εὐεργετηθέντας, καὶ ἐπέβη ὡς ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη (2), καὶ εὐφράνθη ἐπ' αὐτὴν ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

Καὶ Ζαχαρίας μὲν, ὡς γοῦν ἰδεῖν, αὐτὴν ἀναδεχόμενος, προσῆγε τοῖς (3) ἀδύτοις· αὐτὴ δὲ τοῦτον, ἐπὶ τῶν πραγμάτων, τῷ μεγάλῳ ἀρχιερεῖ τε καὶ δεσπότῃ συνεισῆγε.

Καὶ φωνὴ μὲν ἐκ τοῦ ἐκεῖ ἱλαστηρίου ψῆφον δηλαδὴ τὴν ἄνωθεν καὶ ἐκ Θεοῦ κατήγγελλε περὶ τῶν ἀτεχνῶς πρακτέων τοῖς ἀνθρώποις· ἐκ δὲ τῆς μακαρίας αὐτῆς γαστρὸς λόγος προελθὼν ὁ τοῦ Θεοῦ τὸ πάνυ γέμον ἁγιότητος ῥῆμα τοῦτο συνετέλεσε.

Καὶ λίθοι μὲν ἐπωμίσι (4) πάλαι τῶν ἱερέων ἐπικείμενοι, καί τι σκοτεινὸν ὑποδεικνύντες, ἢ πάλιν τι διαφανὲς καὶ ἁμιλλώμενον τοῖς καθαρῶς λευκοῖς, ἐξ ἑκατέρας ταύτης ὄψεως τὰ πράγματα ὡς ἕξει τοῖς

(1) Vide t. II, p. 255, n. 3.

(2) Psalm. XVII, 10: ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη.

(3) Codex, τῆς: permutatione nota. Libanius Epist. 1113, quæ Iphicrati vulgo inscripta est, Themistio in codice 3035: πολλοὺς οἶδα, καὶ τῶν πάλαι καὶ τῶν νῦν, ἀπὸ τοῦ ῥᾳδίως τῶν γραφόντων κατηγορεῖν θηρεύοντας δόξαν, οἳ τοὺς μὲν ἄλλους ἐκφοβοῦσιν, ἐμοὶ δὲ δοκοῦσιν εἶναι ψυχροί· codex idem, οἳ pro ἢ, melius, me quidem judice.

(4) Exod. XXVIII, 9....

ἀνθρώποις προύλεγον· αὐτὴ δὲ, τὸν ἀκρογωνιαῖον λίθον (1) καὶ τὸν μαργαρίτην (2) δεξαμένη ἐν αὐτῇ Χριστὸν, τοῖς ἐν σκότῳ φῶς οὐράνιον ἐποίησε, καὶ σωτηρίαν ἅπασιν ἡμῖν ἀνέσχε, οὕτως ἄρα ἀποχρῶσαν, ὥστε κρεῖττον λόγου τὸ τοσοῦτον ἀγαθὸν δοκεῖν ἡμῖν δήπου κεχαρίσθαι.

Κἀκεῖ μὲν ἔλαιον ἱερέας τε καὶ βασιλέας χρίον, θείας ἐνδιδούσης κινήσεως, κατήει· ἐπ' αὐτὴν δ' ὁ παλαιὸς τῶν ἡμερῶν, κλίνας οὐρανοὺς, κατέβη (3), τὸν πρὸ τῶν αἰώνων τῆς αὐτοῦ βουλῆς ἐκεῖνον ἔλαιον ἐγχέων τοῖς ἀνθρώποις, καὶ χριστοὺς ποιῶν τοὺς πάντας διὰ τούτου. Σκηνὴ γὰρ εἰς μαρτύριον ἀνάγραπτον αὐτὴ (4) Χριστοῦ χριθεῖσα τοῦ σωτῆρος ὡς τῷ τοῦ Θεοῦ καταπετάσματι ἐναναπαύεσθαι, νῦν μὲν ὡς τράπεζα (5) τοῦ θείου καὶ δεσποτικοῦ προτέθειται καὶ ζῶντος ἄρτου (6), νῦν δ' ὡς στάμνος ἁγιάσματος (7) πλατύνεται καὶ νεουργεῖται· καὶ νῦν μὲν ὡς λυχνία (8) φῶς Θεοῦ κρυφιότητος ἐκλάμπουσα,

(1) Vide t. II, p. 113, n. 4, ubi de Jesu λίθῳ ἀκρογωνιαίῳ. Œcumenius Explic. Epistol. pag. 112 : ἀκρογωνιαῖος δὲ λίθος ὁ Χριστὸς, ὡς τοὺς δύο τοίχους, τοὺς τὸν πατρικὸν οἶκον ἀποπληροῦντας, ἤτοι τοὺς ἐξ ἐθνῶν καὶ Ἰουδαίων, διὰ τῆς ἑαυτοῦ συνάπτων ἐπαφῆς καὶ εἰς μίαν συσφίγγων ἁρμολογίαν.

(2) Christum vocat margaritam respectu ad Matthæi locum XIII, 45, 46.

(3) Psalm. XVII, 9 : ἔκλινεν οὐρανὸν καὶ κατέβη. Gregorius Thessalonicensis Homil. in Annunt. pag. 75 : ἐφ' ἡμᾶς ὁ πλάσας ἡμᾶς Θεὸς.... κλίνας οὐρανοὺς κατῆλθε.

(4) Codex, αὐτῇ. Cf. pag. 22, n. 3.

(5) Respectu ad mensam ac panes facierum : Exod. XXV, 23; Levit. XXIV, 6. Cf. p. 23.

(6) Conf. p. 34, n. 1.

(7) Respectu ad urnam mannæ : cf. p. 23. Basilius Seleuc. Orat. in Annuntiat. p. 218 : πηλίκον ἂν εἴη σκεῦος ἡ Θεοτόκος, οὐ κατὰ τὴν χρυσῆν στάμνον τὸ μάννα χωρήσασα, ἀλλὰ τὸν οὐράνιον ἄρτον ἐν γαστρὶ χωρήσασα, τὸν εἰς βρῶσιν καὶ ῥῶσιν τοῖς πιστοῖς διδόμενον;

(8) Conf. p. 24.

καὶ τῷ πυρὶ τῆς ἀφθαρσίας τὸν γηγενῆ ἀνθρώπων θάνατον ἐξαναλίσκουσα, τὴν τῆς θεοφανείας ἐγκαθίζει ταῖς ἡμῶν ψυχαῖς λαμπρότητα, νῦν δ', ὀσμὴν ἀφιεῖσα δόξης ὑπερπαθοῦς τε καὶ ἀῤῥήτου, μυστικῆς ἐν τούτῳ ἡδονῆς ἡμᾶς ἐμπίπλησι. Καὶ ὃ μηδὲ ἐνθυμηθῆναι φύσις ἀτεχνῶς ἐδύνατο ἡ τῶν ἀνθρώπων, Θεοῦ λέγω παρ' ἡμᾶς ἄφιξιν καὶ ὁμιλίαν, τοῦθ' ὡς κάλυμμα, τὴν τῶν ἁπάντων γνώμην διαφεῦγον, ἐπὶ τὴν αὐτὸν τεκοῦσαν ταύτην πρῶτον ἐκταθὲν, Θεοῦ ταῖς περὶ τούτου ψήφοις πρὸς αὐτὴν ἰδόντος, εἶτα πρὸς τὸ γένος δι' αὐτῆς, αὐτὴν καὶ δὴ ἤδη ἐναπολαμβάνει, τὸν τοῦ καινοῦ τούτου χρίσματος ἔλεον (1) διαμηνύον, ᾧ αὐτήν τε καὶ τὰ ἐν αὐτῇ τῆς ἀνθρωπείας σκεύη φύσεως θεότητος λαμπρᾷ τῇ ἐξουσίᾳ χρίσαν, οὐκ ἔστ' εἰπεῖν ὁπόσον τι συμπάντων ποιημάτων ταύτην τὴν αὐτὴν ἀπέδειξεν ἐντιμοτέραν (2).

Ἐν τοίνυν, τῇ ἀναφερούσῃ εἰς αὐτὴν ἐν μυστηρίου τάξει, βοωμένῃ ἄνωθεν νεφέλῃ ὁ τῶν Ἰουδαίων νόμος ἐλεγχόμενος ὡς οὐχ οἷός τ' ὢν πλησθῆναι δόξης οἴκου Θεοῦ (3), ἐν ταύτῃ τῇ αὐτῇ ἐλέγχεται. Τὸ γὰρ παρθένον πω μὴ ἰδεῖν ἐνδιατρίβουσαν ἀδύτοις, ἔπειθ', ὡς εἰ ἄηθες μηδὲν μηδὲ ὑπὲρ τὰ ἱερὰ ἰδόντες ἔτυχον, τὴν γνώμην διακεῖσθαι ἀνεκπλήκτους, ἀδυνάτους τούτους δείκνυσιν εἰς τὸ εἰδέναι δόγμασι Θεοῦ ἀκολουθεῖν· ὥστε καὶ Θεὸς, τὴν τοῖς ἀδύτοις ταύτην ἐμπεριχορεύουσαν καθάπερ οἶκον συντελέσας ἑαυτῷ,

(1) Forsan τὸ......ἔλαιον, ni voluerit in sono simili ludere.

(2) Codex, ἐντιμωτέρων.

(3) Ezech. x, 4 : καὶ ἀπῆρεν ἡ δόξα Κυρίου ἀπὸ τῶν Χερουβὶμ εἰς τὸ αἴθριον τοῦ οἴκου καὶ ἔπλησε τὸν οἶκον ἡ νεφέλη. Conf. II Paralip. v, 13; III Reg. VIII, 11.

τοὺς μὲν τῷ ἑώλῳ νόμῳ καὶ πρεσβυτικῷ ἐναπομεῖναι γνόντας, καὶ μήτ' ἀνενεγκεῖν τὸν νοῦν τῆς σκιώδους διανοίας, μήτε διαθήκην Θεοῦ ἐκ πόλεως Δαυὶδ μαθεῖν, καὶ ἔτι μήτε ὁρωμένην προσκυνῆσαι, μήτε μὴν τοὺς ἱερεύς γε τούτους περιπάτους ταύτης αἰδεσθῆναι, ἀλλ' ἀπλήκτους διαμεῖναι, τῆς Θεοῦ βροντῆς ἀποστραφέντας τὴν ψυχὴν, καὶ, χάος εἰς ἀγνοίας ἄθεον καταπεσόντας, ἔπειτα καταφρονεῖν, τούτους ἐν τῇ διαφθορᾷ ταύτῃ ἣ ἐποίησαν ὁ τῆς δόξης κύριος κατέλιπεν ἐμπαγῆναι. Καὶ τοῦτ' ἔστιν ἐκεῖνο τὸ θρυλλούμενον, ὡς οἵγε ἱερεῖς αὐτῶν στῆναι λειτουργεῖν οὐ δύνανται ἀπὸ προσώπου τῆς νεφέλης ταύτης (1). Οἱ δ' ἐκ τοῦ παθεῖν κατατελεσθῆναι (2) ταῦτα δὴ τὰ θεῖα νέος Ἰσραὴλ αὐτῇ γεγόνασιν, εἶτα διὰ τῶν τῷ ὄντι ἱερέων εἰς τόπον τὸν αὐτῆς εἰσφέρειν οὐκ ὀκνοῦσιν, ἀλλὰ, πρὸς τῷ τὰ Σεραφὶμ διανεῳγμέναις πτέρυξιν ὁρᾶν τηροῦντα τόπον τὸν αὐτῇ ἀφωρισμένον, σπουδὴν ποιοῦνται καὶ αὐτοὶ τὸ ἐγχωροῦν δι' ὕμνων τῇ Θεοῦ μητρὶ ἀποδιδόναι, μεγάλης ἐπ' ἐλπίδι δόξης κατασκηνοῦντες (3), τούτων δῆτ' αὐτῶν, ὡς διέθετο, Κύριος ἀντελάβετο.

Ἀπ' ἐκείνης τοίνυν τῆς ἡμέρας γῆ ἐδέχετο τὴν εὐλογίαν, πιανθεῖσα, ὡς εἰπεῖν, τῇ ἐκ τῶν γινομένων τούτων αὔρᾳ. Ἀπ' ἐκείνης, ἡ πρὸ τοῦ γενέσθαι κόσμον τῷ Θεῷ ὑπὲρ ἡμῶν ἐψηφισμένη πέρατι καὶ δὴ ἐδίδοτο φιλανθρωπία· τὸν δεῖνον ἐκείνη καὶ ἀκοίμητον

(1) III Reg. VIII, 11: καὶ οὐκ ἐδύναντο οἱ ἱερεῖς στήκειν λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησε δόξα Κυρίου τὸν οἶκον.

(2) Codex, καπλεσθῆναι.

(3) Psalm. XV, 9: ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι.

ἐχθρὸν κατήνεγκεν εἰς ᾅδου, τὸν Ἀδὰμ ἀνέλαβε πεσόντα πτῶμα μέγιστον· ἐκείνης τὸ τὸν θάνατον αὐτὸ (1) τεθνάναι, καὶ μηδὲν ἔτι δρᾷν ἔχειν κατ' ἀνθρώπων. Ἀπ' ἐκείνης, ἡ χαμαὶ κειμένη γῆ τοὺς μάρτυρας ἐπήλειφε πρὸς τοὺς ἀγῶνας καὶ τῇ τούτων ἐφιλοτιμεῖτο τάξει, μᾶλλον δὲ εἰς τόπον οὐρανοῦ αὐτὴν ἐτίθει φέρουσα, ἀντ' ἄστρων ἀριθμοῦ συντάγματα προβάλλουσα τὰ τούτων, ὅσῳ κεκαλλώπιστο τῷ ἐκ τοῦ ὑπερβάλλειν πλήθει, τοσῷδε (2) καὶ τῷ ἐκ τῆς τούτων δόξης τοῦτ' αὐτὸ φωτὶ περιαστραπτομένη. Ἀπ' ἐκείνης βωμοὶ γέλωτος καὶ τῆς μακρᾶς ἄλλης φλυαρίας ἔχουσιν ἀνατραπέντες, ἔτι τε δαιμόνων πᾶσα τάξις ὥσπερ εἴδωλα ἐθνῶν ἠφάνισται, καὶ, εἰς βυθὸν οὐκ ἀπολήγοντα εἰς πέρας συνωσθεῖσα, τὴν τοῦ καταφέρεσθαι ἀεὶ ὁδὸν ἠνάγκασται ζητεῖν. Ὁ τὰ πολλὰ Ἀπόλλων σοφιζόμενος τοῦθ' ἓν ἄσοφον καὶ δίκαιον ταὐτὸ ὑπέστη, συναπολωλὼς ταῖς γοητείαις· καὶ ὁμοῦ οἱ τοῦ αἰῶνος τούτου φρόνιμοι ἠλέγχθησαν. Χριστὸς δ' ἐν ταῖς ἁπάντων κεῖται γλώτταις, ὁ αὐτὸς, κἂν τοῖς ἀνθρώποις ὢν, δι' ἀρετῆς καλύψας οὐρανοὺς (3) τῆς τοῦ γενέσθαι ἐν ἡμῖν καὶ συμπεπολιτεῦσθαι· καὶ τὸ τοῦ φραγμοῦ μεσότοιχον (4) ἐκ μέσου γέγονε, καὶ ἐπεγνώσθη τοῦ Θεοῦ ἡ χάρις ἡ σωτήριος· καὶ ὁ λῃστὴς ἐν Ἐδὲμ (5), καὶ φλογίνη ῥομ-

(1) Forsan αὐτήν.

(2) Codex, τῷ σῶδε.

(3) Conf. p. 48, 19.

(4) Epist. ad Ephes. II, 14: τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. Basilius Seleuc. Orat. in Annuntiat. p. 215: Χαῖρε, κεχαριτωμένη, μεσιτεύουσα Θεῷ καὶ ἀνθρώποις, ἵνα τὸ μεσότοιχον ἀναιρεθῇ τῆς ἔχθρας. Conf. Grabius Spicilegio t. I, pag. 326.

(5) Jesus ad latronem pendentem: σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

φαία (1) μεταστήσασα τὸ πῦρ εἰς δρόσον (2)· καὶ, ὡς εἰς κεφάλαιον ἀνενεγκόντα δὴ τὸν λόγον δι' ὀλίγου φάναι οὐκ ὀλίγον, βασιλεία οὐρανῶν ἀνέῳκται τοῖς βουλομένοις εἰσελθεῖν, καὶ πάντα θαύματα. Καὶ τῶν ἐνταῦθα οὐκ ἔσθ' ὅ τι ἔξω παραδόξου, μᾶλλον δὲ τοῦ κεκοσμῆσθαι πολλῷ τῷ παραδόξῳ· ὑπὸ γὰρ Θεοῦ αὐτὴ ἡ καὶ χωρήσασα ἐν ἑαυτῇ αὐτὸν ἐκλήθη πρὸ αἰώνων, ὡς ἡμᾶς ἀναγεννήσουσα ὑπὸ μυρίων κεκμηκότας τῶν κακῶν καὶ ἤδη ἀπειπόντας.

Τοῦτο ὑπὲρ οὐρανοῦ δημιουργίαν τε καὶ χρείαν· ὁ μέν γε σώζει σύμπαντας ἡμᾶς τοὺς ὑπ' αὐτὸν, τὸ δὲ μετὰ τοῦ σώζειν καὶ τὸ εὖ ὁμοίως ἔχει. Τοῦτο ὑπὲρ φύσιν τὴν τῆς γῆς· ἡ μὲν γὰρ ἐφ' ἑαυτῆς φέρουσα ἡμᾶς ἑστῶτας οὑτωσὶ παρέχεται, τὸ δὲ διαφορουμένους, καὶ ἐπ' οὐδενὸς ὅλως βεβηκότας, ὅσα σάλῳ πονηρίας γενέσθαι κινδυνεύειν τὴν ψυχὴν ὑποβρυχίους, ἔστησε, λαμπρᾶς γαλήνης δεδωκὸς λαβέσθαι καὶ ἀγκύρας ἱερᾶς, μηδὲν ὑφορωμένους τοῦ τὸ πρὶν ἐκβρασσομένου ἐφ' ἡμᾶς πονηροτάτου πνεύματος. Τοῦτο ὑπὲρ πᾶσαν ἀτεχνῶς δημιουργίαν· τίνα γὰρ τούτων ἁγιώτερά τε καὶ τὸ θαῦμα πλεῖστον ἐφελκόμενα; τίνα δὲ μᾶλλον ὁσιώτερα, καὶ λόγον κάτω λείποντα ἐπιχειροῦντι λέγειν; τίνα δ' οὕτω μετέθηκε τὴν γῆν εἰς ὕψος; τίνα δ' ἕτερα τὸ κάτω τε καὶ ταπεινὸν ἀνθρώπων γένος φέροντα παρὰ Ἀγγέλων τάξιν ἔστησε; τίνα δ' εἰς ἀνάστασιν ἀμείνω καὶ ἀνάβασιν τὸ πᾶν ἐμετεώρισε;

Καὶ μὴν, εἰ οἱ παῖδα ταύτην εὐτυχήσαντες μὴ,

(1) Genes. III, 24.

(2) Πῦρ et δρόσον sæpe sic opponi ostendi ad Nicetam Eugenianum p. 113.

πρὶν ἀκοῦσαι τὸ πατέρων ὄνομα, ὑπέστησαν Θεῷ τῷ δόντι ἀναθήσειν φέροντες, εἰ φύσεως τῆς τῶν ἀνθρώπων μὴ τὴν γέννησιν ἐσχήκει κρείττω, εἰ μὴ πάλαι περὶ αὐτῆς δεδοξασμένα ἐλαλήθη τῆς πόλεως Θεοῦ (1), εἰ μὴ τὰ ἐπὶ τούτοις θαύματα εἰς ἔργον δι' αὐτῆς ἐξέβη, τὸ παρθένον ὑπὲρ τὰ κοινὰ τῆς φύσεως αὐτὴν ἀποδεδεῖχθαι, τὸ τὸν ἕνα τῆς μακαρίας Τριάδος δεξαμένην γαστρὶ ἀποτεκεῖν, τὸ τὸν χορηγὸν τῆς ἄνω ζωῆς καὶ ἀθανάτου γάλακτι παρθενικῷ ἐκθρέψαι, ταῦθ' ὁμοῦ εἰ τῷ εἰκότι λόγῳ μὴ δουλεύοι (2), ὅτι δὴ παρθένος ἐν Ἁγίοις, μᾶλλον δὲ ἐν μυστηρίοις Ἁγίων τὴν διατριβὴν πεποίητο, οὐχ ἱκανώτατον εἰς λόγον θαύματος καὶ οἷον ἂν καὶ τὸν ἠλίθιον κατασκευάσαι σώφρονα;

Ἐγὼ μὲν οἶμαι τοσοῦτον πάντας ἀποδεῖν τοῦ τὴν ἀξίαν τούτου γνῶσιν ἔχειν, ὥσθ' οὕτω μᾶλλον συνορᾶν, εἰ τὸ παράπαν διαφεύγειν τοῦτ' αὐτοὺς νομίζοιεν. Οὐ γὰρ μόνον ὅτι, πεσόντων τῶν ἀνθρώπων λαμπρὸν πτῶμα καὶ Θεοῦ πόῤῥω γενομένων, κἀντεῦθεν δόντων ἑαυτοὺς εἰδώλοις καὶ τῇ κατ' αὐτὰ ἀπάτῃ, καὶ ἐκστάντων μὲν ὀρθῆς φρονήσεως, ἐκστάντων δ' ἅμα καὶ Θεοῦ, καὶ οὕτως εἰς ἐχθρὰς καὶ μαχομένας δόξας ὅσα γε περὶ αὐτοῦ ἐκκυλισθέντων, καὶ τοῦ μὲν Θεοῦ βουλομένου τούτους οἰκειώσασθαι τὰ πρὸς αὐτὸν, τοῦ δὲ ἐχθροῦ ἐπὶ τὰ χείριστα ἀεὶ ὑποσκελίζοντος, αὐτὴ, τῇ ἐξ ἀρχῆς Θεοῦ βουλῇ ὑπηρετήσασα, ὡς πορρωτάτω τούτων τοὺς ἀνθρώπους ἔστησε, Θεοῦ τε καὶ τῶν θείων γνῶσιν ἅπασιν αὐτοῖς ἐνθεῖσα, δεῖ σκοπεῖν, κἀντεῦθεν ἣν παρὰ Θεοῦ

(1) Conf. p. 94, n. 2. (2) Codex, δουλεύη.

ἐπλούτει χάριν ἐννοεῖν· ἀλλὰ καὶ ὅτι τηλικόσδε ἥλιος ὡς ἐκ δυσμῶν ἡμῶν αὐτὴ ἀνέσχεν· ὥστε ἐσκηνῆσθαι ἐν ναῷ, παρὰ τὰ τῶν Ἁγίων Ἅγια τοὺς περιπάτους ποιουμένη, ἐν τοῖς ἀληθῶς μεγίστοις κρίνοιτ' ἂν εἰς δόξαν. Οἶμαι δὲ ἐγὼ ὡς, δεῖξαι βουληθεὶς Θεὸς ὡς ἄρα οὐκ ἐν μόνῳ τῷ μεγίστῳ σχήματι τὰ θαύματα τῆς ἑαυτοῦ δυνάμεως περαίνειν ἔχει, τὸ μέγα τοῦτο χρῆμα ὑποστήσας οὐρανὸν, ἀλλὰ κἂν τῷ ἐλαχίστῳ, λέγω τῷ τῆς ἀνθρωπείας φύσεως, πρὸς τὸ τὴν γνῶσιν τῆς αὐτοῦ δυνάμεως ἡμῖν διπλασιάσαι, ταύτην ὥσπερ ἄλλον οὐρανὸν (1) ἀμείνω καὶ μεγαλοπρεπέστερον ἐπικατεσκευάσατο. Οὕτω τοιγαροῦν καὶ ὁ τῆς δικαιοσύνης ἥλιος εἰς οὐρανὸν ᾠκοδόμησε τὴν κατάβασιν (2) αὐτοῦ, καὶ τὴν αὐτοῦ ἐπαγγελίαν ἐπὶ γῆς ἐθεμελίωσε, τῶν συνεχόντων ἀμφοτέρων τούτων ὅρων τοὺς ἡμᾶς ἀπειλημμένους μέσους λόγον ἔτι ἔχειν ἐργασάμενος, καὶ ἐκ τῆς τούτων πρὸς δὴ τὰ παραληφθέντα ταῦθ' ὁμωνυμίας ἐπὶ τῶν νυνὶ θαυμάτων (3) εἰς τοσοῦτον ἦρται δόξης τῇ Θεοῦ μητρὶ τὰ κατ' αὐτήν.

Ἡ γοῦν ὁ δυνατὸς μεγαλεῖα πεποίηκε τοιαῦτα (4), πῶς ἂν υἱὸς αὐτῇ ἀνθρώπου τὴν ἀξίαν εὐφημίαν ἀποδοίη; μᾶλλον δὲ πῶς οὐχ οὕτως ἔσται, ὡς εἰς λόγον εἰσφορᾶς τῆς ἐκ τοῦ ἐπαινεῖν, δοκῶν ποιεῖν τι, εἰ νομίζοι μηδὲ τὴν ἀρχήν τι φέρειν εἰς αὐτὸ εἰργάσθαι καὶ μετὰ λαμπρὸν καὶ μήκιστον ὁμοίως τὸν ἀγῶνα.

(1) Conf. p. 72, n. 3.

(2) Ita codex, κατάβασιν. Sed Amos IX, 6 : ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν.

(3) Sic Codex.

(4) Psalm. LXX, 19 : ἃ ἐποίησας μεγαλεῖα.

Χωρὶς δὲ τῶν εἰρημένων, θειοτάτων οὕτω καὶ μεγίστων ὄντων, εἴ με δεῖ, καὶ τῶν εἰς λόγον εὐποιΐας παρ' αὐτῆς ἡμῖν μνησθέντα, οὕτω κατ' ἐπιδρομὴν τῷ λόγῳ ὥσπερ στέφανον τὴν τούτων μνήμην ἐπιθεῖναι, τίς ἂν τὴν ἁπλῆν αὐτῆς εὐεργεσίαν, τὴν πολυειδῆ, τὸ κατὰ ταῦτα τάχος, τὸ μὴ ἀποκάμνειν εὖ ποιοῦσαν, τὸ νῦν μὲν σώζειν, νῦν δὲ ὥσπερ δεῖσθαι πρὸς τὸ σώζειν, ἀντὶ δεομένου εἰς τὸ εὖ ποιεῖν καθισταμένην, τὰ ἐν τοῖς συμπίπτουσι κινδύνοις καταλέγοι βοηθήματα αὐτῆς, τὸ ῥύεσθαι αὐτοῦ θανάτου (1), πρὸς τὸν γεννηθέντα ὑπ' αὐτῆς Θεὸν κοινὸν καὶ τοῦτο ἔχουσαν (2); μυρίας γὰρ ὁ παρελθὼν χρόνος ἀποδείξεις τὰς εἰς ταῦτα τοῖς ἀνθρώποις δέδωκε, καὶ μέντοι δίδωσιν. Ἀμέλει πᾶσα πόλις, πάντες ἄνθρωποι εἰς εὐφημίαν τὴν περὶ αὐτῆς ἀεὶ ἀκμῆτες καὶ ὀρθοὶ τὴν γνώμην ἀπαντῶσι, καὶ ἐγκύμονα τὴν ἑαυτοῦ καρδίαν ἕκαστος καὶ γλῶτταν ὕμνων τῶν εἰς ταύτην ἔχει· ἀπολείπονται δὲ τοῦ πρὸς ἀξίαν, ὅσον προτεθύμηνται. Καὶ μὴν καὶ τοὺς ἑτέραις γλώτταις τουτουσὶ (3) λαλοῦντας πάντας ἂν συμφώνους εἰς τὴν περὶ ταύτης μνήμην ἴδοις, καίτοι τἄλλα διαφερομένους καὶ ἑκάστους ζῶντας καθ' αὐτούς· οὐ γάρ εἰσι λαλιαὶ οὐδὲ λόγοι, ἐν οἷς οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῆς (4). Οὔκουν οὐδὲ τακτὴ χρόνου περίοδος αὐτῇ ὡς εἰς πανήγυριν ἀποκεκλήρωται, ὁ δ' ἅπας χρόνος

(1) Non rara in Bibliis loquutio est, ῥύεσθαι θανάτου. Locos ipsos indicare superfluum fuerit.

(2) Velim ἐχούσης, nempe relatum ad αὐτῆς, quod est post βοηθήματα.

(3) Videtur nescio quos tunc præsentes exteros homines significare.

(4) Psalm. XVIII, 3: οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

ὥς τιν' ἄλλην χάριν καὶ αὐτὸς δεξάμενος ἐκεῖθεν τοῦτο ἔλαχε· καὶ ἀνὰ πάνθ' ὁμοίως χρόνον τὸ περὶ αὐτῆς πανηγυρίζειν, ὥσπερ εἰσφορά τις, παρὰ πάντων ἀποδέδοται, νικήσασα καὶ χρόνον, τῷ μηδέποτε ἰλιγγιάσαι ὥς γε ἐν ἀπείρῳ τούτῳ ζῶντας, ὡς εἰπεῖν, ὑπὸ τῇ πανηγύρει. Καὶ οὐκ ἔστιν ὃς τῆς ἑαυτοῦ ψυχῆς τὴν μνήμην ἐπ' ὀλίγον γοῦν ἐξέβαλεν, οὔκουν ὅσον οὐδ' αὐτοῦ πώποτ' ἐπελάθετο· καὶ πάντες, ἐπὶ τὴν ἑορταζομένην ταύτην ἅπαντι θυμῷ φερόμενοι, προσπίπτουσιν, ὡς ἄρα τῆς περὶ ἡμᾶς Θεοῦ φιλανθρωπίας ἀρχήν τε καὶ συμπέρασμα αὐτὴν πρεσβεύοντες, καὶ ὀφθαλμὸν ἀκοίμητον ἡγούμενον ἡμῖν τὴν εἰς τὸ σώζειν· καὶ τὸ πρόσωπον αὐτῆς (1) λιτανεύουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Θαυμασταὶ γοῦν διὰ πολλῶν εἰδῶν φιλανθρωπίας παρ' αὐτῆς βοήθειαι καὶ τούτοις. Καὶ μὴν καὶ ἃ πολλοῖς ἀεὶ παρέστη τῶν ἀνθρώπων ὑπερβάλλοντ' ἀγαθὰ καὶ χάριτας ἐκεῖθεν προσδοκῆσαι, τὸ πιστεύειν ὥς τιν' ἄλλον καταβάλλοντας μισθὸν, ἰδεῖν καὶ πειραθῆναι τελεσφόρα ἔχει δοῦσα, ὧν τὰ μὲν ἐπιφθάσασιν (2) ἑτέροις ἴσοις θαύμασι, τὰ δὲ πρὸς τὸ παρὸν ἀρχὴν λαμβάνει. Καὶ συμβαίνει πάντας μὲν ἐλπίσαι τοὺς ἀνθρώπους τοὺς τῆς ταύτης μοίρας καὶ ἐλπίζειν (3), μηδένα δὲ τῶν πάντων πώποθ' εὑρεθῆναι, ὅς γε δὴ τῶν ἐν αὐτῇ ἐλπίδων εἰς τὸ ἔργον ἐλαττιόνων πεπείραται τῆς χρείας. Καὶ τῇ μὲν δυνάμει τῶν θαυ-

(1) Psalm. XLIV, 12: τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς.

(2) Forsan ἐπὶ φθάσασιν, subaudito γίνεται.

(3) Puto homines τοὺς τῆς ταύτης μοίρας, eos esse qui ex ejus stant partibus. Arrianus Periplo Euxini p. 126: ἀπεχωρίσθησαν οἱ Ἀρκάδες ἀπό τε τῆς Χειρισόφου καὶ

μάτων ἅπαντες ἐξ ἴσου τὴν ψυχὴν κεκράτηνται· ἐξ ἴσου δ' αὖ καὶ τοῦτο τῶν αὐτῶν, φημὶ τὸ ταῦτ' ἀδυνατοῦντας διὰ λόγων καὶ κατὰ μικρὸν θαυμάζειν, σιγῇ ἐφ' ἑαυτῶν ὑμνεῖν ψυχῇ χρωμένους ὅσα γλώττῃ. Ὅσην γὰρ Θεὸς τὴν δύναμιν αὐτῆς καὶ χάριν τοῖς ἀνθρώποις ἔδειξεν, ἡλίου καὶ τῶν κινουμένων ἄλλων τουτωνὶ γοργότερον δρόμον ἔχουσαν μετὰ τοῦ καὶ μᾶλλον ὠφελεῖν!

Καὶ ὁ μὲν, ὡς ἄνωθεν καὶ ἐκ γενέσεως τῆς ἐξ ἀρχῆς χρησάμενος αὐτῇ συμμάχῳ, μέγιστόν τι οἷον χαίρει καὶ οὐκ ἔχει ὅστις γένηται ὑφ' ἡδονῆς· ὁ δ' ὡς μάλιστα εὐθὺς ἐλπίσας, καὶ τὸν τρόπον τοῦτον κομισάμενος τὰ τῶν ἐλπίδων εἰς τὸ ἔργον· ὁ δ' ὡς θᾶττον ἢ εἰπεῖν τυχὼν ἐκεῖθεν φιλανθρωπευμάτων, μηδὲ προκαμὼν ἐλπίσιν· ὁ δ' ὡς ὑπὸ τῶν αὐτοῦ πλημμελημάτων τοῦ ἐλπίσαι ἐξειργόμενος, ἔπειτα τὴν παρ' αὐτῆς χάριν συννοήσας, καὶ ἐλπίσας, οὐδενὸς τῶν ἄλλων ἔλαττον τυχὼν (1) αὐτῆς εἰς ἃ ἐβούλετο· καὶ ὁ μὲν ὡς μεγίστης τε καὶ παραδόξου τῆς εὐεργεσίας πειραθεὶς, ὁ δ' ὡς πλείστων τῶν αὐτῶν, ὁ δ' ὡς τῶν αὐτῶν πολλάκις, ὁ δ' ὡς λαμπροτέρων ἢ κατὰ τοὺς ἄλλους, ὁ δ' ὡς ἐξ ἀρχῆς αὐτῷ παρέστησεν ἡ γνώμη. Ὡς γὰρ οὐκ ἔστιν οὐδένα τῶν ὑπ' οὐρανὸν εὑρεῖν, ὃς οὐ δι' ἀέρος ἑαυτῷ τὸ ζῆν περιποιεῖ, οὕτως οὐδὲ τῶν ἀπὸ Χριστοῦ τις τούτων καλουμένων εὑρεθήσεται, ᾧ μὴ παρ' αὐτῆς ἐπὶ τοῦ

τῆς Ξενοφῶντος μερίδος. Lucian. De conscr. hist. 40 : τῆς τῶν κολακευόντων μερίδος εἰκότως ἂν νομισθείη · ibi vid. C. Fr. Hermann. Adde Plut. Apophth. Regg. Pompeio § 1, 3. Quæ notavi ob virum d., cui suspecta falso fuisse videtur loci Arrianei græcitas.

(1) Codex distinguit post ἔλαττον, ut sit ἔλαττον οὐδενὸς ἐλπίσας.

καθ' ἡμέραν εὐεργεσιῶν πόλλ' ἄττα (1) εἴδη ἔρχεται, καὶ πάντα τὰ αὐτὰ ὡς ἀληθῶς σωτήρια. Τεκμήριον δέ· πλείστοις γὰρ αὐτὴ καὶ διαφόροις τοῖς ὀνόμασι καλεῖται, ἐκ τῆς χρείας τῶν βοηθουμένων παρ' αὐτῆς ἑκάστων τὴν ἐπωνυμίαν ἄλλην ἄλλοτε μεταλαμβάνουσα. Ὥσπερ οὖν καὶ ὁ μητέρα ταύτην τὴν αὐτοῦ Θεὸς εἰδέναι τε καὶ προσκυνεῖν (2), καὶ, κεφάλαιον εἰπεῖν, θᾶττον ἥλιος ὑπομενεῖ τῆς ἑαυτοῦ κινήσεως ἀργίαν, ἢ αὐτὴ μὴ πάντας εὖ ἡμᾶς ποιοῦσα καθ' ὑπερβολὴν ὀφθήσεται.

Καὶ σιωπῶ τοῦτο μὲν πολλοὺς ἀνθρώπων ἀρξαμένους ἀπὸ κεφαλῆς τῷ (3) πόδε βεβλαμμένους ὑπὸ νόσου καὶ τὸ σῶμα πᾶν ἐξελεγχόμενον, ἑτέρους ἐκνενευρισμένους καὶ σαλεύοντας ἐπ' οὐδενός, κατεσκληκότας ἄλλους νόσῳ φαρμακώδει καὶ τηκούσῃ, πάντας τοὺς αὐτοὺς εἰς τὰ αὐτῶν ἐκεῖνα δι' αὐτῆς τὸ συντελὲς διδούσης ἐπανήκοντας, καὶ νεῦρα ὑγείας δεχομένους διὰ τῆς καὶ νεύματι αὐτῆς τὸ ταῦτα δύνασθαι ἐχούσης· τοῦτο δὲ συχνοὺς ἑτέρους ἄμεινον οὐδὲν νεκρῶν διακειμένους ὑπ' αὐτῆς ἀναβιώσκοντας, ὡς ἐκπεπλῆχθαι τῇ τε εἰς τὰ ἐναντία τύχῃ καὶ τῷ εἰς αὐτὴν ἑτοίμῳ· τοῦτο δὲ πολλοὺς τὴν ὄψιν ἐζημιωμένους, καθαρόν τι πάλιν τοὺς αὐτοὺς ὁρῶντας ὡς κἂν ἐρίσαι πᾶσιν ὑπὲρ τούτου, καὶ ἁπλῶς, οἷς καθ' ὁτιοῦν πονεῖ τὸ σῶμα, πάντας τοῦ δεινοῦ ἐλευθερίαν δι' αὐτῆς εὑρίσκοντας καὶ πάντας ὥσπερ ἀναπλαττομένους. Ταῦτα γὰρ καὶ ὅσα φέρει εἰς αὐτὰ κἂν ἀήρ, κἂν

(1) Codex, πολλάττα, ut et orationis initio. Conf. t. II, p. 275, ubi de illo loquendi modo.

(2) Sic cod., loco lacunoso.

(3) Codex, πό. Mox velim ἐξελεγχομένους.

ἤπειρος ἡ δεχομένη τὸ τῆς θεραπείας βάρος, κἂν ὑδάτων φύσις ἔχοι ῥητορεύειν.

Οὐκοῦν (1) εἰκότως ἐαθῆναί μοι δοκεῖ τἂν τῷ μεγάλῳ διακόσμῳ τούτῳ παρ' αὐτῆς ταυτί γε θαύματα· περὶ ἀπείρων γὰρ ἐγένετ' ἂν τῷ λόγῳ ἀγωνίσασθαι, εἰ ταῦτα προὔθετο σπουδήν. Οὐ τοίνυν οὐδὲ πρὸς ὀλίγον ἔχει τὸ πρᾶγμα δοκιμάσας· οὐ γὰρ οὕτω νέαν κομιδῇ ψυχὴν ἐγὼ καὶ ἀπαθῆ τῶν παρ' αὐτῆς χαρίτων ἔχων περιέρχομαι. Δοκῶ μοι τοίνυν μηδὲ τὴν ἀρχὴν εἰπεῖν τι ὅσα γε δοκεῖν αὐτῆς εἰς ὕμνον φέρειν, περὶ ὧν ἀνθρώποις εἰς καιρὸν καθίσταται διεξελθών. Οὗ γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν (2) καὶ ὑπὲρ πάντα τὰ ὁρώμενα, ἐνταῦθ' οὐκ ἄδηλον ὡς ἄρα, εἴ τι λέγοιμεν αὐτοὶ περὶ αὐτῆς, ἔξω βάλλειν τοῦ σκοποῦ δικαίως ἂν κρινοίμεθα, πλὴν τοῦ προθυμίᾳ τείνειν εἰς αὐτήν· ὡς τούτου γ' ἕνεκα αὐτῆς μονονοὺχὶ (3) λαμβανόμεθα καὶ ἔχομεν περιπλυσσόμενοι, καὶ ἄπιμεν μετὰ τὸ ἠγωνίσθαι, πνεῦμα ἄμεινον καὶ γέμον πανηγύρεως ἐν τῇ ψυχῇ πεπλουτηκότες, ὡς τῆς τὴν Θεῷ διὰ κακίας ἐκπολεμωθεῖσαν φύσιν, λέγω τῶν ἀνθρώπων, διὰ τοῦ γεννῆσαι ταυτησὶ διαλλαξάσης ἐπαινέται τὰ εἰς δύναμιν γεγενημένοι.

Προῖκα τοιγαροῦν ἡμῖν αὐτὴν προθεῖσα χρῆσθαι, χάριν καὶ τοῖς πᾶσι δίδωσιν ἡμῖν καὶ τὸ σεσῶσθαι πάντ' ἐν πᾶσιν· οὔκουν ἔστιν ὅποι δὴ νεὼν εὑρεῖν, ἐν ᾧ μὴ

(1) Codex, οὐκ οὖν.

(2) Psalm. XLIV, 13: πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως Ἐσεβών. Bona ea varietas ἔσωθεν jam aliunde nota est. Vide Schleusner. Opusc. critic. pag. 199, et supra p. 40.

(3) Codex, μόνον οὐχί.

ἀνεστηλωμένην ὁστισοῦν αὐτὴν ἴδοι ἂν Θεῷ καὶ βήματι (1) τῷ γειτονοῦντι, πλὴν ὅστις οὐκ ἐστάθη πω.

Εἰ τοίνυν νεὼς μὲν οὐκ ἂν ᾠκοδομήθη ὡς ἑτέρως, ὅτι μὴ τὸ θεῖον ἵλεων ἐντεῦθεν ἐργαζόμενος ἀνθρώποις, αὐτὴ δὲ τὸ μέγα καὶ κοινότατον ἀνθρώποις ἱλαστήριον γεγέννηκε Θεὸν, περίεργον δεικνύναι ὡς νεώς τε καὶ τὰ ὠφελοῦντα ἄλλα θεῖα δι' αὐτῆς τὴν πάροδον λαβόντα ἔχει· ὥστε καὶ ἀπόστολος ὁ θεῖος νῦν, εἰ παρῆν, οὕτως εἶπεν ἂν, ὡς πάντες δι' αὐτῆς ἀνακεκαλυμμένῳ τῷ προσώπῳ τὴν δόξαν Θεοῦ κατοπτριζόμεθα (2), φέροντες τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι (3). Νῦν γὰρ οἱ πάντες τε ἡμεῖς διὰ τῆς θεομήτορος θαῤῥοῦντες ἔχομεν Θεῷ, κἀγὼ ἰδίᾳ νῦν ἠγάπηκα ὑμνῶν αὐτὴν καὶ ᾄδων ταῦτα, ὑπ' αὐτῇ ῥωννύσῃ τὸ μὴ κεκρατῆσθαι τῇ δειλίᾳ σχών.

Οὐ μὴν ἀλλὰ καὶ ἕκαστος τῶν λόγοις προσκειμένων (οἱ δὲ ἀκροώμενοι ὑμεῖς, τιθέμενοι κἀμοὶ τῷ τὰ αὐτὰ παθήματα παθεῖν, γινώσκετε θησόμενοι τὴν ἀληθινωτάτην ψῆφον), λογισμὸν λαμβάνων εἰς ἀγῶνα τὸν περὶ τῆς τοῦ Θεοῦ μητρὸς, ἀξίωσιν τὴν τῶν ἐμβατηρίων (4) ἑαυτῷ καὶ δὴ τελέαν πράξας, ἤδη εἰσιὼν ἀγωνιζόμενος (5), πρῶτον μὲν, μεγέθει τῷ τοῦ πράγματος εἰκότως ἐκπλαγεὶς καὶ καταπλήξας, ἀναπίπτει οἷον καὶ ἰλιγγιᾷ τὴν γνώμην, θειοτέροις χρώμενος ἱδρῶσιν, ἔπειτα, ἐγγενομένης τούτῳ θέρ-

(1) Βῆμα est sacrarium. Multus est de τῷ βήματι Allatius Epistolis de templis Græcorum recentioribus. Vide et Billium ad Gregorium Nazianzenum t. II, pag. 727.

(2) D. Paulus Epistola II ad Cor. III, 18.

(3) Ibid. IV, 7.

(4) Ἐμβατήρια τοῦ λόγου dixit Philostratus Her. p. 80.

(5) Fors. εἰσιὼν ἀγωνισόμενος.

μης ὑπὸ πίστεως, ἀνενεγκὼν ἐν τούτῳ ἑαυτὸν, ἐνταῦθα τὴν ψυχὴν ὁρμᾷ σαφέστερον, ὥσαν πέδης (1) τοῦ ἀποπηγνῦντος δέους ἐκλυθεὶς, κἀντεῦθεν, θαυμαστὴν κίνησιν δεχόμενος, ἤθροισται πᾶς εἰς ἑαυτὸν, καὶ οὕτως εἰς τὸ μὴ ὁρίζον ἀνθρωπίνῃ διανοίᾳ πέλαγος τῆς κατ' αὐτὴν φιλανθρωπίας ἀπιδὼν, καὶ μακαρίαν ταύτην ὄψιν ἐν ψυχῇ λαβὼν, καὶ ἔτι πεπονθὼς ἅπερ ἄρρητα, μείζων ἑαυτοῦ αὐτίκα γίνεταί τε, καὶ πληροῦται τὴν καρδίαν λόγων καλλιόνων ἑαυτοῦ καὶ σεμνοτέρων, καὶ ῥήματα ἀποτολμᾷ καθάπαξ ἔκτοπα, καὶ, πάντ' ἐλάττω λέγεσθαι τοῦ πρὸς ἀξίαν πίστιν ἔχων, ὅμως οὐκ ἐνδίδωσιν (ἐξ ἀφανοῦς γὰρ ὡσπερεὶ τῷ λέγοντι βοήθεια ἐπὶ τὸ πρᾶγμα, θέρμης ἐμπιπλᾶσά τε καὶ τόνου), καὶ οὔτε τῶν παρ' ἑτέρου λεγομένων ἐνταυθοῖ δοκεῖ ἀκούειν, ὅσα τε εἰς αἴσθησιν καὶ τὸ ὁρᾶν ἐλήλεγκται (2) αὐτῷ (τῇ γὰρ ψυχῇ ὁμοῦ συστρέψας ἔχει καὶ τοὺς ὀφθαλμούς)· καὶ θαυμαστοτέραν μὲν ἢ κατὰ τὴν τῶν ἀκουόντων ψῆφον ἀποδίδωσιν αὐτῇ τὴν εὐφημίαν, τῶν δέ γε εἰς αὐτὴν καὶ τῶν εἰς τὴν αὐτῆς φερόντων λόγων δόξαν καὶ πολλῷ διέστηκε τῷ μέσῳ· καὶ νοεῖν μὲν ἔχει ὃ λεχθὲν τάχα ἄν τι δόξαι, γλώττης δὲ οὐκ ἀρκούσης, σιγὴν ἄγει ἐξ ἀνάγκης· καὶ τοῦ μὲν συνήθους πλεῖστον φθέγγεται καὶ κρεῖττον, λέγων περὶ τῶν αὐτῆς καὶ μέντοι καὶ αὐτῆς, τῆς γε μὴν ἀξίας πάντῃ ἀποδέον. Τόπος γὰρ αὐτῆς ὁ δηλαδὴ εἰς ὕψος τὸ τῆς δόξης, οὐχ ὅσος ἔσθ' ἡλίῳ ἐπιόντι τὴν ἐκμετρουμένην ταύ-

(1) Codex, πέδαις. Theodosius Diac. III, 47 : Πολλοῖς μὲν ἡ γῆ συμφορῶν ἀπηλλάγη. Adjutus solita permutatione vocalium η, οι, lego πολλὴ pro πολλοῖς.

(2) Codex, ἐλήλεκται.

την γῆν· ὅσος μὲν οὖν κινήσει τῇ τοῦ μέλλοντος αἰῶνος αὐταρκεῖν. Οὕτω θαύματά τε τὰ τῆς φύσεως προβέβηκεν αὐτῆς καὶ τὰ τοῦ τρόπου, καὶ ὑποχωρεῖ αὐτῇ τὰ πάντα, μετὰ τὸ πρὸς τὸν ἐξ αὐτῆς τεχθέντα κρίνεσθαι αὐτὰ ἐν ὑπεικόντων καὶ ἡττόνων εἶναι τάξει. Θεὸς γὰρ ἐξῆρεν αὐτὴν, ἐπὶ τὰ ὑψηλὰ τῆς βουλῆς αὐτοῦ στήσας καὶ τιθεὶς εἰς θησαυρὸν ἀβύσσου (1).

Οὐ μὴν ἀλλ', ὅσον ἁγιότητος αὐτὴ ἀνέβη εἰς τὸ κράτιστον, καὶ θεῖον τόπον ἔλαβε, Θεῷ σταθεῖσα θρόνος τὸ χωρῆσαι σχὼν, τοσοῦτον ἐγγυτάτω πᾶσιν εὕρηται ἡμῖν, καὶ διὰ φιλανθρώπου τρόπου μεσιτεύοντος συνδιαιτᾶσθαι ὥσπερ ἐννοεῖν ἡμῖν παρέσχεν. Οὐ γὰρ οὕτω βούλεται χρηστὰ πατὴρ τοῖς ἐξ αὐτοῦ, οὐδέ τις αὖ τοσοῦτον περὶ ἑαυτοῦ τὰ κάλλιστ' εὔχεται, οὐδέ γε ἔτι ὁ ταχθεὶς Θεοῦ προνοίᾳ Ἄγγελος τὰ καθ' ἑκάστους ἐφορᾷν ἡμᾶς τοσοῦτον ὑπερβέβληκε φιλανθρωπίᾳ τῇ περὶ τὸ γένος καὶ τῷ τῶν ἡμῖν φροντίζειν συμφερόντων, ὅσον αὐτὴ, ὑπὸ περιουσίας τῆς χρηστότητος καὶ τῆς ἀεὶ ἀκμῆς, τοῦ ταύτῃ δύνασθαι προΐσταται ἡμῶν, καὶ ὑπερέχει χεῖρα, κινδύνοις ὁποτέροις εἴπῃς (2) συνεξητασμένους ἐξαρπάζουσα, καὶ ἄλλως εὖ ποιοῦσα. Οὔκουν ἔστιν οὐκ ἔθνος, οὐ πόλις, οὐκ ἤπειρος, οὐ νήσων ταῦθ' ὁρίσματα, εἰς ἃ μὴ διὰ πλείστων εἰδῶν τῆς βοηθείας διαβέβηκεν αὐτὴ, προδρόμους ἀγαθοὺς καὶ σωτηρίους διαπέμπουσα τὰ θαύματα, ὥστε καὶ γνῶσις ἡ Θεοῦ ἐξ αὐτῆς μάλιστα ἐθαυμαστώθη (3) καὶ φοβερὸς ἐν βου-

(1) Psalm. XXXII, 7: συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσου.

(2) Forsan ἂν εἴπῃς.

(3) Psalm. CXXXVIII, 6: ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ.

λαῖς ὤφθη ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων (1). Κἀντεῦθεν οὐσίας τε αὐτοῦ ὅσον ἐξῆν ἀνθρώποις οὖσι μεμαθήκαμεν καὶ τἄλλα δὴ τὰ κατ' αὐτὸν ὁμοίῳ τρόπῳ γνώσεως, τοῦτο μὲν οἷς τὰ τῆς τούτου καταβάσεως, οὐκ ἄν ποτε γενόμενα ἡμῖν ληπτὰ ἑτέρως, ὅμως δι' αὐτῆς τοιαῦτα ταῦθ' ὑπῆρξε, τοῦτο δ' οἷς, αὐτὴν μητέρα τούτου ἐγνωκότες, τόν γε ἐγχωροῦντα τρόπον ἔγνωμεν καὶ τοῦτον, μὴ ἀρκοῦντες διὰ τοῦ ἀξίου.

Τίνα γοῦν αὐτῇ τῆς ταύτης γνώσεως ἐκτίσομεν τὴν εὐφημίαν; ποῖος δὲ χρόνος ἐγκωμίων τηλικῷδε ὄγκῳ χάριτος ἀρκῶν φανεῖται; αἰὼν ὁ μέλλων πάντως. Ὑπὸ γὰρ αὐτῇ ἡγεμονούσῃ τῆς ἀμείνονος γενόμενοι ζωῆς ἐκείνης, καὶ μεταλαβόντες ὀφθαλμὸν ὁρᾷν ὡς ἀληθῶς ἡμῶν ἀπεργαζόμενον τὴν γνώμην, οὕτως ἕξομεν τὰ παρ' αὐτῆς ἡμῖν ἀμείνονι τῇ εἰς τὸ λέγειν ἕξει ἐπιέναι. Οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτῆς υἱοῦ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει τιμὴ, δόξα, κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν τε καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

(1) Psalm. LXV, 5 : δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ· φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΔΙΑΛΟΓΟΣ ΝΕΚΡΙΚΟΣ.

ΕΠΙΔΗΜΙΑ ΜΑΖΑΡΙ ΕΝ ᾋΔΟΥ,

Η ΠΕΥΣΙΣ ΝΕΚΥΩΝ ΕΝΙΩΝ

ΠΕΡΙ ΤΙΝΩΝ ΤΩΝ ΕΣ ΤΑ ΒΑΣΙΛΕΙΑ ΣΥΝΑΝΑΣΤΡΕΦΟΜΕΝΩΝ.*

Νοσήματος ἔναγχος δεινοτάτου τῇ Κωνσταντίνου (1) ἐπεισεφρηκότος (2) ὁμόσε, καὶ πάσης καθαψαμένου σχεδὸν ἡλικίας, ταῖς τοῦ θειοτάτου ἀρχιθύτου πρὸς θεὸν διηνεκέσι πρεσβείαις (3) τοῦτο μετεκεντρίσθη, καὶ ἀντὶ λοιμώδους παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ κυνάγχη συνεχωρήθη, ἥ γε, λοιμώδης εἴπερ

* E cod. regio 2991 A, p. 448. De hujus opusculi argumento, de auctore ejusque ætate, docte disseruit Hasius, quem omnino consulendum moneo, in Notit. Mss. t. IX, part. II, p. 131 sqq. Nunc verbo significare satis erit mihi a Mazari, scriptore prorsus ignoto, tangi, more Lucianeo et cynica dicacitate, privatas publicorum quorumdam hominum res, qui in aula Græca, regnante Manuele Palæologo, circa initium sæculi quinti decimi versabantur. Plura in notis exponentur.

(1) De morbo illo pestilenti vid. Phrantzes I, 35; Ameilhon. Hist. Infimi Imperii CXVI, 65. Annus tunc fuit 1417.

(2) Moschopulus Π. σχ. pag. 195: φρῶ, ὃ γίνεται ἀπὸ τοῦ προΐω κατὰ συγκοπήν· ὁ μέλλων φρήσω, ὃ μετὰ τῆς προθέσεως ἀεὶ γράφεται, οἷον εἰσφρήσω. Codex 2599 recte omittit τῆς: quum non una præpositio εἰς simplici φρῶ addatur. Vel legendum erit, τῆς προθέσεως εἰς. De compositis simplicis atque inusitati verbi φρῶ vide Wyttenb. ad Eunap. p. 314.

(3) Πρεσβεία, ἡ παράκλησις, interprete Herodiano Epimer. pag. 107. Moschopulus Π. σχ. p. 39, in epimerismo syllabæ πρε: πρεσβεία· πρέσβυς ὁ γεραιός, διὰ τοῦ υ ψιλοῦ· πρέσβειρα δὲ ἡ γηραιὰ καὶ ἡ μεσίτεια διὰ τῆς ε καὶ ἰῶτα διφθόγγου. Codex 2599: πρέσβυς ὁ γεραιός, πρέσβυρα ἡ γηραιὰ διὰ τοῦ υ ψιλοῦ, καὶ ἡ μεσίτεια διὰ τῆς ει διφθ. Voluitne scribere librarius, πρεσβύτειρα?

ἦν, πᾶσαν ἂν ἄρδην ἠφάνισεν ἡλικίαν, καθάπερ τοὺς ἐν νήσοις ἐξεθέρισε πρότερον.

Ἐπεὶ οὖν ἡ τοιαύτη κατὰ πάντων διώδευσε, καὶ πᾶσιν οὕτως ὁμῶς, ὡς ἔφθην εἰπὼν, ἐπεισέφρησε, μετὰ τῶν ἄλλων μάλα γε ἀναιδῶς, ὦ παρόντες, κἀμοὶ ἐπέθετο, καὶ δίκην σκηπτίου μιᾷ πρὸς ταῖς εἴκοσιν ἡμέραις κατὰ τοῦ σώματος ἐκστρατεύσασα, νῦν μὲν συνεχέσι πυρετοῖς, νῦν δὲ κλόνοις, νῦν δὲ σκοτοδίνοις ἰλίγγοις, καὶ μελῶν παρέσεσι, καὶ ἄλλαις ἐπαλλήλοις, ὀδύναις διοδεύσασα, Μυσῶν λείαν, κατὰ τὴν παροιμίαν (1), τὰ ξύμπαντα κατειργάσατο μέλη. Μόλις οὖν ποτε, καὶ μεθ' ὅσης ἂν εἴπῃ τις βίας, τῆς τοιαύτης κυνάγχης ἀναχωρησάσης, ῥαΐσας ἀνέστην, τοσοῦτον ἰταμῶς ἐπιτεθείσης, ὅτιπερ καὶ ἄκοντα ἐγγὺς ἐς τὸν τοῦ ᾅδου ὦσεν οὐδόν.

Ἃ μὲν οὖν ἐκεῖσε ἀφικόμενος, παρ' ἐνίων ἀκήκοά γε νεκύων, καὶ ἅπερ εἶδον βραχύν τινα διατείψας

(1) Ad Eunapium pag. 483, quum proverbium Μυσῶν λείαν illustrarem, hunc locum protuli, ab ἐπεὶ οὖν ad μέλη. Atque Hasius, ad Timarionem p. 189, eadem verba ad καὶ δίκην adtulit. De proverbio adde notas Variorum ad Aristot. Rhet. I, 12, 20, in edit. Oxon. a. 1820; et Gothofredi ad Liban. t. II, p. 166. Leo Diacon. Hist. VII, 2: τὴν Ἀσίαν κατατρέχων, τῶν μὴ σπενδομένων αὐτῷ πυρπολῶν τὰς οἰκίας, λείαν ἐτίθει Μυσῶν. Niceph. Gregoras Hist. IX, 6, 9: εἰ μὴ βασιλεὺς.... τῶν τε στρατιωτῶν καὶ τοῦ δήμου τὴν φορὰν ἀνεχαίτισε, τάχ' ἂν Μυσῶν λείαν εἰργάζοντο τά τε ἱερὰ καὶ τῶν Βυζαντίων τοὺς οἴκους. Conf. et Liban. t. I, pp. 378, 533; Theodor. Hyrtac. Epist. 55. Moschopulus Π. σχ. p. 141: Μυσῶν λεία· παροιμία ἐστὶν οὕτω λεγομένη· λέγουσι δὲ λαβεῖν τὴν ἀρχὴν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν· λέγεται δὲ ἐπὶ τῶν ἀφανισθέντων τόπων ἢ τοιούτων τινῶν· codex 2599 habet λέγεται pro λέγουσιν, male δραμόντων, et pro λῃστῶν, quod est et apud Harpocrationem a Moschopulo compilatum, non bene λῃϊσαμένων, dein commode λέγεται δὲ καὶ.

χρόνον, ὡς οἷόν τε, ὦ ἄνδρες, διηγήσομαι, τοῖς τε ἄλλοις ἅπασιν, οὐχ ἥκιστα δὲ γε τοῖς συναναστρεφομένοις ταῖς βασιλικαῖς αὐλαῖς· οἷα δὲ ἄνθ' οἵων ἐν κλίνῃ με κείμενον ἡ παλαμναία ἥδε νόσος κατειργάσατό τε, καὶ ὅσαπερ τὰ ὄρνεα καὶ ἐβούλετο καὶ ἐμαντεύσατο κατ' ἐμοῦ, νῦν ἀκούσατε, δέομαι, ἐπειδήπερ δι' ἐφέσεως, οἶδα, ταῦτ' ἔχετε μαθεῖν. Ὅσιον γὰρ τὰ ἐν τῷ βίῳ πρῶτον, ἔπειθ' ὑμῖν τὰ ἐν ᾅδου διηγήσασθαι.

Κειμένου μου (1) τοιγαροῦν ἐν κλίνῃ, τῶν φίλων οὐδέν' ἀφῆκεν αὕτη νόσου χωρὶς πρὸς τὸ ἐλθεῖν ὡς ἐμὲ καὶ θεάσασθαι· ἀλλ' ἀντὶ παρουσίας φίλων τε καὶ ἐπιτηδείων, κολοιοὺς καὶ κορώνας πρέσβεις μοι πέπομφεν, ἀντὶ δ' ἰατρῶν, τοὺς τοῦ θανάτου κόρακας κήρυκας (2). Οὐδὲ γὰρ οὐδεὶς τῶν ἁπάντων, ὡς ἔφθην εἰπών, ἧκεν ἐν κλίνῃ με θεασόμενος κείμενον, ἐπειδήπερ καὶ φίλοι καὶ ἀγχιστεῖς, ἀλλὰ δὴ καὶ βροτολοιγοὶ (3), ἐν πέντε μὲν σισύραις, τρισὶ δὲ χλαίναις ἔκειντο, κατὰ τὸν Κωμικὸν (4), ῥέγχοντες, ἐγκεκορδυλημένοι καὶ πέρδοντες, ὥσπερ ἤδη κἀγὼ πέπονθα κείμενος. Καὶ νῦν μὲν ἐδήλου τὰ ὄρνεα μαντευόμενα θάνατον, νῦν δ' ἔκρωζε, τὰς ἐμὰς ἀθλίας καὶ κατασπίκτους, μᾶλλον δὲ ἐξηρθρωμένας τε καὶ παρειμένας αἰτοῦντα σπαράξαι σάρκας, καὶ ταῦτα, πρὶν τοῦ παρόντος με ἀπαλλαγῆναι δυστήνου βίου. Ἐπειδὴ δὲ παρὰ μὲν τῶν κολοιῶν καὶ κορωνῶν ἤδη ἐψήφιστο, παρὰ δὲ τῶν

(1) Codex, κειμένου μοι.

(2) Forsan τοὺς τοῦ θανάτου κήρυκας κόρακας.

(3) Codex sic, absque nomine. Non semel ita medicos significabit. Mox p. 118, junguntur φίλοι καὶ ἀγχιστεῖς, ἀλλὰ δὴ καὶ ἰατροί.

(4) Aristoph. Nub. init. : Οἱ δ' οἰκέται ῥέγκουσιν.... Ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας Ἐγείρεται τῆς νυκτὸς, ἀλλὰ πέρδεται Ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.

κοράκων φεῦ! μοι ἐκέκριτο ἡ ἀργαλέα καὶ ἀνάντης καὶ μεστὴ φρίκης ἐν ᾅδου ὁδὸς ἐκείνη, τῇ ὑστεραίᾳ ὑπνώσας, ἡρπάγην, οὐκ οἶδ' ὅπως, ὑπό τινος· εἴτε οὖν γυμνὸς, εἴτε σινδόνα ἐνημμένος, συνιδεῖν οὐκ ἔχω. Καί μοι μηδεὶς ἀπιστείτω, τοιαῦτα κατὰ τὸν ἰανουάριον τῆς νῦν ἑβδόμης ἰδεῖν ἰνδίκτου (1) τερατευομένῳ. Ἢν γάρ τις οὐ πιστεύσῃ (πολλοὶ δ', ὡς οἶμαι, πιστεύσουσιν ἂν ἥκιστα), δρομαῖος ἀπελθέτω εἰς ᾅδου, καὶ, εἴπερ οὕτως οὐχ εὕροι ὡς ἔγωγε ἀριδηλότατα διεξέρχομαι, ψευδόμενόν με γραψάσθω παρά τε τῷ Μίνωϊ καὶ Αἰακῷ καὶ τῷ Ῥαδαμάνθυϊ, κἀκεῖνοι δικάσουσιν ἄν με, καὶ, ὡς εἰώθασι, δίκας λήψονται.

Ἁρπαγεὶς οὖν, ὡς ἔφθην εἰπὼν, ἀωρὶ νυκτῶν, τῶν οἰκετῶν μοι ῥεγχόντων ἐπὶ τῆς οἰκίας (οὐδὲ γὰρ ᾔσθοντο τοῦ ξυμβάντος), ἐς μεγάλην τε καὶ βαθεῖαν ἀφικόμην κοιλάδα, μεστὴν παμπόλλων τε καὶ ἀναριθμήτων ἀνδρῶν, οὐ νέων, οὐδὲ πρεσβυτέρων; ἀλλὰ μιᾶς ὑπαρχόντων ἡλικίας, ἄνευ τῆς τῶν προσώπων μορφῆς· αἱ γὰρ πάντων ἰδέαι διάφοροι, ὡς ἐν τῷ παρόντι βίῳ διατελοῦντες τυγχάνουσιν ἄνθρωποι· ἁπάντων δὲ ὄντων γυμνῶν, τῶν μὲν μώλωψι καταστίκτων (2) καὶ κατ' ἐμὲ βεβαπτισμένων ὑπὸ πλήθους ἁμαρτημάτων, τῶν δὲ, μωλώπων χωρὶς, οὐκ ἀφωρισμένως, ἀλλ'

(1) Indictio septima mense januario incidit in annum æræ Byzantinæ 6922, et J. C. 1414. Recitavit Hasius, ad Timar. pag. 195, ab ὑστεραία ad δικάσουσιν ἂν με, scripto πιστεύσωσιν, lapsu calami. Futurum sæpe Mazaris cum particula ἂν construxit.

(2) Mortuorum cujus vita scelerosa fuerat, animas cicatricibus ac vibicibus et stigmatis maculosas esse, multi veterum philosophorum ac patrum etiam ecclesiasticorum tradiderunt: de qua opinione vide Heindorfium ad Plat. Gorg. § 170; Wyttenbachium Animadv. in Plutarchum p. 821.

ἀναμὶξ πάντων ἑστιώτων. Μικρὸν οὖν ἡσύχῳ προβὰς ποδὶ ἐξ οὗπερ ἀφικόμην χωρίου, ἐπιτυγχάνω ἀνθρώπῳ κατασίικτῳ ὄντι καὶ μελαμπύγῳ, μεγάλην τε καὶ ὑπόγρυπον ἔχοντι ῥῖνα, τὴν μὲν κόμην κεκαρμένην, τὴν δὲ γένυν σώαν ἔχοντι, πολλὴν δ' ἄγοντι σπουδὴν, ὥστε τὰ ἐν ταῖς βασιλικαῖς αὐλαῖς ἐξετάσαι πάντα. Λάθρα (1) γὰρ, ὡς ἐφαίνετο, ἐκ τῆς πληθύος τῶν ἐν τῇ κοιλάδι ἐκείνῃ κατοικούντων, ὡς μακρόθεν με ἑωράκεν ὑποσκάζοντα, εἰσεπήδησε, μαθεῖν βουλόμενος, τίνες τε τῶν συναναστρεφομένων λειτουργοῦσιν ἐν ταῖς βασιλικαῖς αὐλαῖς λειτουργίας, καὶ τίνες διατελοῦσιν εὐδοκιμοῦντες· ἐφλέγετο γὰρ ὑπὸ δόξης καὶ ἐζηλοτύπει, καὶ ὅλος ἦν τεταμένος καὶ φερόμενος, ὥστε τὰ ἐν βίῳ ἀκριβῶς εἰδέναι ἅπαντα. Τοῦτο δὲ ἐτεκμαιρόμην, ἀπό τε τῆς αὐτοῦ μορφῆς καὶ τῶν ἐρωτήσεων, οὐχ ἥκιστα δ' ἀπὸ τῆς ἔριδος καὶ νείκης, καὶ τῆς ἀκριβοῦς ἐξετάσεως ὧν ὕστερον κατὰ μέρος διηγεῖτό τε καὶ διηρεύνει, καὶ ἐπὶ τοῖς ἀκουσθεῖσιν ἐξεθαμβεῖτο.

Πρῶτον μὲν οὖν, ὡς ἠπήντηκεν, εὐθὺς ἠσπάσατό με γελῶν, καλέσας ὀνομαστί· ἔπειθ', ὡς περιέβαλον, ἤρετό με μεμφόμενος· « Τί βουλόμενος, ταλάνταν' » ἀνδρῶν, ἧκες ἐς νεκροὺς καὶ κευθμῶνα καὶ πύλας » ᾅδου (2), μήτε τοῦ ἐπικεκλωσμένου σοι νήματος ἐκκο» πέντος, μήτε τοῦ Χάρωνος ὧδε καλέσαντος (3); »

Τρίτον βουλήν μοι βουλεύεται γενναίαν καὶ μάλα

(1) Apud Hasium ad Timar. p. 205, ab λάθρα ad εἰδέναι ἅπαντα, recitatus est locus.

(2) Umbra Polydori, in ipso Euripid. Hecubæ initio: Ἥκω, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών.

(3) Euripid. Alc. 262: Χάρων μ' ἤδη καλεῖ. — Habet Hasius ad Timar. pag. 211, verba μήτε τοῦ ἐπικ. . . . . . καλέσαντος.

λυσιτελοῦσαν, ἣν Ἀθηναίαν ἢ Σολομοντιαίαν τις εἰπὼν
οὐκ ἂν ἁμάρτοι, « Ἄπελθε » λέγων, « φίλτατε, ἄνω
» ἐς τὸν βίον· οὐδὲ γὰρ ἔχει τις ὧδε σοῦ χρείαν,
» πένητος τε ὄντος καὶ ἀδόξου, ἀλλὰ καὶ παρειμένου,
» καὶ πρός γε ἔτι μὴ παρασχόντος σου τοὺς δύ' (1)
» ὀβολοὺς τῷ πορθμεῖ, κατὰ τὸν ἄνωθεν εἰς τοῦτο θε-
» σμὸν ἐπικρατήσαντα. Ἢ σὺ οἴει παῤῥησίαν ἐνταῦθ'
» ἔχειν τοὺς κατὰ σὲ βεβορβορωμένους καὶ πένητας;
» Ὅτε δὲ γενήσῃ, κατὰ τὸν Κωμικὸν, ὅμοιος Χρε-
» μύλῳ (2), τότε σε καὶ ἄκοντα λήψονται, καὶ παῤῥη-
» σίαν ἐνταῦθ' ἕξεις. Τό γε γοῦν νῦν ἔχον ἐς Μῶραν (3)
» ἄπελθε πανοικὶ, καὶ τὴν γαστέρα κρεῶν τε καὶ ἐλαῶν,
» ἀλφίτων τε καὶ νέκταρος, πρὸς δὲ καὶ κωλῆς καὶ
» παναθηναϊκοῦ ζωμοῦ πλῆσον· τιμηθήσῃ γὰρ ἐκεῖσε
» ῥαδίως ὑπὸ τῶν τὴν Πέλοπος οἰκούντων, καὶ δοξα-
» σθήσῃ (4) μάλα εἰκότως· ἀφ' ὧν καὶ ἀργύρειον ἱκανὸν
» ὑποκτήσειας ἄν. Εἶτα, μετὰ τῶν ἄλλων τῶν ἐκεῖσε
» εὐδαιμονιῶν, συμβαλεῖς καὶ συνετωτάτῳ καὶ βαθυ-
» γνώμονι ἀνδρὶ, ὁμωνύμως μὲν κεκλημένῳ Εὐδαί-
» μονι (5), καρτερῷ δὲ ὄντι καὶ πολυόλβῳ πολλῶν δὲ

(1) Sic codex, non δύο, ut est ap. H. p. 135, qui descripsit ab οὐδὲ γὰρ ad πένητας. Cod., ἢ σὺ οἴει: ut et infra, quod et infra mutavi.

(2) Chremylo similis illi qui in Pluto Aristophanis fit e paupere ditissimus.

(3) In Moream, ἤτοι εἰς Πελοπόννησον, ut infra dicetur p. 124, explicandi causa.

(4) Codex habere videtur vel δοξαθίσῃ, vel δοξαθίσῃ. Iotacismi talia menda non servanda sunt. Choricius Villoisoni p. 24: πόσους ἔθρεψε νέους ἐν ὀρφανίᾳ καταλιφθέντας. Est id quidem in codice, nec tamen ideo non mutandum: rescribi debuit καταλειφθέντας. Id. ibid. p. 60: οὐκ ἤνεγκε τὸν μὲν ἐλεεινῶς ἐῤῥιμμένον ἰδὼν· quod est bene græcum, sed tacite sic a Villebrunio scriptum, cui codex, non ἰδὼν, sed ἰδὴν, obtulit: unde erat scribendum ἰδεῖν.

(5) Ignotus homo, ut tot alii quorum infra mentio fiet.

» ἄρχοντι πραγμάτων καὶ τὰ μέγιστα δυναμένῳ, τῶν
» ὅσα συναναστρεφομένων ἐν τοῖς τοῦ πορφυροβλά-
» στου (1) βασιλείοις οὐδείς. Τοῦτον τοίνυν τὸν γενναιότα-
» τον εὑρὼν, προσκολλήθητι, καὶ τὰς αὐτοῦ προσταγὰς
» ὡς αὐτοκράτορος ποίει, ὡς ἂν καὶ σαυτὸν καὶ τοὺς με-
» τὰ σοῦ πολλῶν ἀγαθῶν ἐμπλήσῃς. Τούτῳ μήποτε
» ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, ὡς οὐ πολὺς ἔσοιτο
» χρόνος τοῦ γενέσθαι τοῦτον εὐδαιμονέστερόν τε καὶ
» βελτίω, καὶ ἐνδοξότερον πάντων τῶν ἐκεῖσε ἐνοικούν-
» των. Καὶ ταῦτα μὲν αὐτῷ φράσον κρύφα· σὺ
» δ' ὅταν τούτων πάντων καὶ ἑτέρων μειζόνων ἐμ-
» πλησθείης, ὡς ἔφθην εἰπὼν, καὶ πλουτήσῃς, τότε
» ῥᾳδίως ἥξεις εἰς ᾅδου καὶ φανερῶς, οὐ μὴν δὲ κρύφα
» καὶ ἁρπακτικῶς ὥσπερ νῦν, μετὰ πομπῆς θαυμα-
» στῆς καὶ δόξης ὅτι πολλῆς. Τότε δὴ τότε καὶ φίλοι
» καὶ ἀγχιστεῖς, ἀλλὰ δὴ καὶ ἰατροὶ, ὅτε σε νοσοῦντα
» ἀκούσωσιν (2), ἐλεύσονται αὐτεπάγγελτοι, ὁμοίως
» δὲ γυνή τε καὶ παῖδες, καὶ οἰκέται, καὶ πάντες σχε-
» δὸν, κλαύσονταί τε καὶ ὀδυροῦνται τὴν σὴν ἐκδη-
» μίαν. Τότε τοίνυν οὐ πολλοῦ πόνου καὶ κόπου σοι
» χρεία γενήσεται πρὸς τὴν εἰς ᾅδου πορείαν· ἀλλ',
» ἐπειδήπερ ἐν τῇ Λακωνικῇ τὸ Ταίναρον, ὥς φασιν,
» ὂν τυγχάνει, τὸ δὲ ἐστιν πλησίον ᾅδου, ἐξ οὗπερ
» πάντες, ὡς λέγουσιν, οἱ τεθνηξόμενοι ἀνάγονται μὲν
» ἐκ βίου, ἐς ᾅδου δὲ κατάγονται, παράσχειας (3)

(1) Innuit Theodorum Palæologum, Manuelis imperatoris filium, qui Lacedæmonis erat despota. Ambitiosius est nomen πορφυρόβλαστος pro vulgatiore πορφυρογεννήτῳ. Eudociam Alexii primi filiam πορφυρόβλαστον vocavit Theodorus Prodromus, sed in poemate: vid. Notit. Mss. t. VIII, 11, pag. 172.

(2) Codex, ἀκούσωσιν.

(3) Sic codex. Optativos alios

» ἂν καὶ σὺ τότε δύ' ὀβολοὺς τῷ πορθμεῖ, καὶ ἐς μόρον
» ῥᾳδίως ἀπονητὶ (1) ἀπὸ Μώρεας χαίρων (2) καὶ εὐφραι-
» νόμενος ἥξεις, ἐπειδήπερ, καθ' Ὅμηρον (3), μόρον σε
» ἀμήχανον, κἂν ἐν οἰκίσκῳ σαυτὸν καθείρξῃς (4),
» οὐχ ὑπαλύξαις (5). »

Ἦν δ' ἐγὼ πρὸς αὐτὸν, χαίρων καὶ ἐκθαμβούμενος, τοῦτο μὲν ἐν τῷ ξυμβουλεύειν οὕτω καὶ προαγγέλλειν μοι καινά τινα καὶ παράδοξα, τοῦτο δ' ἐν τῷ λέγειν αὖθις ἀναβιῶναι, καὶ δίς με ἀποθανεῖν· « Ἆρ' ὁ καλὸς κἀγαθὸς ἐκεῖνος ἦσθα (6) Ὀλόβο-

barbare formatos infra videbimus, ἐξέλθειας, λάθειας.

(1) Forsan ῥᾳδ. καὶ ἀπονητί.

(2) Ludit, qui est ejus mos, in nominibus μόρος et Μώρεα: « in » mortem e Morea. »

(3) Respici, puto, Odyss. Ω, 29: Μοῖρ' ὀλοὴ, τὴν οὔτις ἀλεύεται ὅς κε γένηται· vel Il. M. 326: ἔμπης γὰρ Κῆρες ἐφεστᾶσιν θανάτοιο Μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν, οὐδ' ὑπαλύξαι. Cf. et Il. Z, 488, ubi plurima ad sententiam illustranda congessit Duportus Gnomol. p. 36, inter quæ Pythicum id oraculum ab Æliano servatum pag. 1055: Μοῖραν μὲν θνητοῖσιν ἀμήχανον ἐξαλέασθαι... Conf. Lamb. Bosii Exercit. in Epist. ad Hebr. IX, 7, et Stobæi titulus 118, qui totus est de hac sententia.

(4) Nobilissimus est Demosthenis locus, quem et infra respiciet: πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ· de cujus syntaxi monui ad Eurip. t. v, p. 431. Pariliter poeta apud Valcken. ad Hippol. 1442: Πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων Ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου. Vide Bergl. ad Alciphr. I, 25. Verba Demosthenis meminerat Eusebius H. eccl. VI, 43, p. 199: παρακαλούμενος.... ἵν' ἐξελθὼν τοῦ οἰκίσκου ἐν ᾧ καθεῖρξεν ἑαυτὸν, βοηθήσῃ τοῖς ἀδελφοῖς.

(5) Sic codex. Auctorne fuit indiligens adeo, ut, syntaxeos inchoatæ immemor, non animadverterit scribendum fuisse, μόρον σε ἀμήχανον..... ὑπαλύξαι? Forsan peccavit librarius, omisso ἀλέασθαι post ἀμήχανον, vel simili alio verbo.

(6) Codex, οἶσθα, sine sensu. Scripsi ἦσθα, iotacismi mendum emendans. Libanius Jac. Morelli p. 208: οὐδ' ἂν ἀποδράη ποτὲ τὴν παρ' ὑμῶν δίκην, οὐδ' ἂν ἐξέλθῃ· imo, ἐξέλθοι. Basilius Hom. mor. p. 221: πρὸς τὴν χθὲς ἐπανελθεῖν οὐδέποτε, κἂν θελήσοι, δυνάμενος· imo θελήσῃ, quod habent forsan editiones emendatiores. Infra p. 121, mendum est simile, ὀδηπορίας.

» λος (1), ὁ τοῦ μεγάλου μὲν καὶ γενναιοτάτου αὐ-
» τοκράτορος ἀείσιος γραμματεύς, ἐμὸς δὲ ἑταῖρος
» ὡς οὐχ ἑτέρως, ὁ τῆς Κωνσταντίνου μὲν ῥήτωρ
» δεινὸς, τῶν δ' ἰατρῶν ὁ βέλτιστος, ὃν ὁ μυρταΐτης
» ἐκεῖνος Ἀνδρόνικος φοιβάζων ἔλεγεν, Ἦ μέλλεις γε-
» νεῖν λογοθέτας (2) »; Καὶ ὃς, γοργὸν κατανεύσας, ἔφη-
σε, « Ναί. » Κἀγὼ αὖθις ἠρόμην αὐτόν· « Πῶς, ὦ 'τᾶν
» τοιοῦτος γέγονας; καὶ πῶς οὕτω γυμνὸς καὶ κατά-
» στικτος τυγχάνεις διατελῶν; ποῦ δὲ εἰσὶν αἱ λαμ-
» πραὶ καὶ σηρικαὶ (3) καὶ λευκαὶ ἐσθῆτες ἐκεῖναι, ἃς
» σοι μέγας βασιλεὺς ἔναγχος ἐδωρήσατο, μεθ' ὧν
» ἑώρων βαδίζων υἱῷ κοιαίστωρος (4); »

Ἐπὶ τούτοις ἐκεῖνος, κινήσας τὴν κεφαλὴν, καὶ βύθιον στενάξας, κἀπὶ τῇ μνήμῃ τῶν ἀπολαύσεων δακὼν τὸ χεῖλος (5), πηγὰς ἠφίει δακρύων, εἶτά μου

(1) Codex plerumque habet ὁλόβωλος, nonnusquam ὁλόβολος, quod prætuli. De Holobolis agit eruditissime Hasius pp. 139-141.

(2) Barbare dictum videtur, pro ἢ μέλλεις γενέσθαι λογοθέτης; Andronicus iste fuit myrtaïtes, quod officium erat in aula Byzantina. Auctor ignotus De officiis (inter notas ad Codinum p. 42), quem, sequutus 2991 A, Philæ dono nomine: Ἑταιρειάρχης, τῶν ἀλλαγίων ἄρχων, Ὁ μυρταΐτης ὁ μέγας ἐπὶ τούτοις. Matthæus monachus De officiis ibid. p. 40: τῆς ἑπτακαιδεκάτης (πεντάδος) βεστιαρίται δείκνυνται, καὶ μὴν ἑταιρειάρχης, Ἄρχων ἀλλαγίων τε καὶ μέγας μυρταΐτης. Codex 2964 habet ἑταιρειάρχαι, unde sumenda diphthongus, et Ἄρχων τῶν ἀλλαγίων τε, bene; nam editus versus est brevior.

(3) Codex συρικαί. Permutationem peperit eam iotacismus. Synesius De provid. p. 107: τοῦ συνδιαφέρειν αὐτοῖς τὸν χρόνον καὶ τῆς ψυχῆς τὴν ἄλην παραμυθεῖσθαι. Piersonus, ad Mœr. p. 60, conjecit non male ἄσην vel ἄλυν. Codex 1038 melius, ἀχλὺν, quod ipse tuetur Synesius De regno p. 15: συνδιαφθείρουσιν ὑμῖν τὸν χρόνον, καὶ τῆς ψυχῆς τὴν ἀχλύν.... παραμυθοῦνται. Atque in priore loco e posteriore συνδιαφθείρειν restitui velim.

(4) Id est, quæstoris filio.

(5) Eurip. Bacch. 613: χείλεσιν διδοὺς ὀδόντας· ubi notavi.

τῆς χειρὸς λαβόμενος, ἄγει με ἀποτέρω, καὶ, δάφνῃ συνηρεφεῖ ἡμῶν ἐπικαθισάντων, ἐμοῦ μὲν κεκμηκότος ἐκ τῆς ὁδοιπορίας, ἐκείνου δὲ καὶ πνευστιῶντος τῇ τοῦ δρόμου συντονίᾳ ὃν ἔδραμεν ἄρτι, καὶ δειλιῶντος μήπω γέ τις αὐτὸν θεάσηται, ἤρξατο πρῶτον ἀδακρυτὶ τὰ κατ' αὐτὸν ἐν κεφαλαίῳ διηγεῖσθαι· ὅπως τε ἐφεναχίσθη ὑπό του τῶν εὐγενῶν (ἣν δὲ ὁ ἐξαπατήσας Τζαμπλάκων ἐκεῖνος ὁ (1) καβαλλάριος), καὶ ὅπως ἐς τὴν παλαιὰν ἄτην ἧκε φέρων ὡς γραμματέα, ἐπὶ κακῇ μοίρᾳ, ὡς ἔλεγε, τῶν ἀσθενῶν (εἰ γὰρ ἐτύγχανεν ἰατρεύων ἐκεῖνος (2), πολλοὺς ἂν ἐκ θανάτου ἐρρύσατο· νῦν δ' ἔνιοι τῶν ἰατρῶν μήτε γράμματα εἰδότες Ἑλληνικὰ, μήτε τὰ Γαληνοῦ μήτε μὴν Ἱπποκράτους νοοῦντες, ἀπεριμερίμνως ἰατρείας ποιοῦσι, καὶ πολλὰς ἰφθίμους ψυχὰς, καθ' Ὅμηρον (3), προϊάπτουσιν ἀσθενῶν ἄϊδι)· ὅπως τε ἐδέξατο τοῦτον ἀσμένως ὁ θειότατος βασιλεὺς, καὶ ὅπως τετίμηκε παρ' ἀξίαν, ἥτις κακίας αὐτῷ γέγονεν ἀφορμή· καὶ τὴν τῆς ἰατρικῆς κατέλιπε τέχνην, καὶ ἐς παλαιὰν διατρίβων ἐτύγχανεν ἄτην (ἐχρήσατο γὰρ αὐτῷ ὁ κρατῶν ἐκ τοῦ παραυτίκα, ὥσπερ εἰώθει τοῖς νεωστὶ ἀφικνουμένοις νεήλυσι (4) χρῆσθαι, καὶ ὡς ἀκεστορι ἐμπείρῳ καὶ ὡς ῥήτορι δεινῷ, καὶ ὡς ἀνδρὶ ἀγαθῷ, καὶ

(1) Circa ann. 1330 in aula Byzantina versabatur Arsenius Τζαμπλάκων, officio fungens magni papiæ : vide Cantacuz. Hist. II, 22. Ejus forsan filius fuit vel nepos, Τζαμπλάκων ὁ καβαλλάριος.

(2) Ἐκεῖνος, narrator ipse.

(3) Homerus : Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν Ἡρώων.

(4) Codex, νεήλησι, permutatis iterum η et υ. Herodianus Epimer. pag. 90 : νεήλης, ὁ νεωστὶ ἐλθών. Et ibi rescribendum νέηλυς, quod in nota monui. Moschopulus Περὶ σχ. pag. 44 : νέηλυς (sic bene codex 2599, pro edito νέκλυς), ὁ νεωστὶ ἐλθών.

ὡς εὐφυεῖ καὶ περιέργῳ ὑπογραμματεῖ Παδιάτου (1) ἐκείνου τοῦ καταπιύστου τε καὶ φληνάφους)· ὅπως πεπλούτηκεν ἐξαπίνης, ἀφ᾽ ὧν γέγραφε θείων τε καὶ σεπτῶν χρυσοβούλλων καὶ προσταγμάτων· ὅπως τε ἠγαπᾶτο καὶ ἐτιμᾶτο, δι᾽ ἣν εἶχε τοῦ βασιλέως εὔνοιαν, καὶ παρὰ τῶν εὐπατριδῶν, καὶ τῶν εὖ φρονούντων, καὶ τῶν γένει προσηκόντων τῷ βασιλεῖ, ἀλλὰ δὴ καὶ τῶν ἐν τέλει, καὶ ἁπλῶς παρὰ πάντων· ὅπως ἀνῳκοδόμησεν οἰκίας λαμπρὰς καὶ περικαλλεῖς, καὶ ὅπως ἀφῆκε ταύτας ἡμιτελεῖς ἔκ τινος συμβάματος· ὅπως κατὰ σμικρὸν χωρήσας τοῖς τοῦ βασιλέως μυστηρίοις, ἐφαίνετο μὲν ὅμοιος τοῖς ἔνδον συναναστρεφομένοις, νύκτωρ δὲ καὶ μεθ᾽ ἡμέραν (2) τῷ αὐτοκράτορι συνὼν καὶ διαλεγόμενος, καλέπλευσεν ἐς Βρεττανίαν τε καὶ Γαλίαν καὶ μέχρις ὠκεανοῦ μετ᾽ αὐτοῦ (3)· ὅπως διὰ ταῦτα μὲν γέγονεν, ὡς ἔλεγεν

(1) Qui hæc recitavit Hasius p. 132, ab Παδιάτου ad ἐπιμᾶτο, scripsit φληνάφου, vere, puto, quum et pag. 133 recto φλήναφος Mazaris sit usus, nec φληνάφης auctoritatem habeat. Retulisse videtur πεπλούτηκεν ad Padiatem, in qua syntaxi ab ejus judicio recessisse liceat. Ὅπως πεπλούτηκεν est continuatio sententiæ per repetitum adverbium ὅπως protractæ, estque de Holobolo intelligendum. Post ὑπογραμματεῖ sustuli quæ est in codice distinctionem, ut fuerit Holobolus Padiatis ὑπογραμματεύς, et revera fuisse docet disertissimus locus p. 130. Exstitit olim post φληνάφους vocula inter lineas, a secunda manu scripta, quæ nunc non potest legi.

(2) Adduxi ad Marinum, pag. 69, quum formulam νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν illustrarem, ab νύκτωρ ad διαλεγόμενος. Wernsdorfius, ad Himer. p. 82, falso putabat posse μεθ᾽ ἡμέρας scribi. Dionysius Halic. De Dinarcho c. 3: μεθ᾽ ἡμέραν, ἡλίου τ᾽ ἐξέχοντος· pessime latinus interpres, « circa » vesperam, occidente sole; » quem nuper temere sequutus est vir d. Sensus est Dionysii verborum, « interdiu ac sole exorien» te »: quod toto cœlo differre merito dixero.

(3) Respiciuntur Manuelis Palæologi itinera: cf. Hasius ibid.

ὁ τοιοῦτος (1), ἐπέρασῖος, ὁ δὲ χρησῖὸς Παδιάτης ἐκεῖνος κατὰ σμικρὸν βδελυγμίας καὶ ἄχρησῖος· ὅπως τε ἦν μόνος κύριος τοῦ ἀκοῦσαι καὶ γράψαι ῥητῶν τινων καὶ ἀποῤῥήτων· ὅπως τε ἅμα γέγονε γραμματεὺς καὶ βουλευτὴς, καὶ διακομισῖὴς μυσῖηρίων, καὶ ὑπομνημάτων ἐξαγγελεύς· ὅπως τε μικρὸν ὕσῖερον ἤλπιζεν, εἴπερ οὐκ εἶχεν ἀντίτεχνον τὸν τὴν κλεῖν κατεαγότα (2) Φιλομμάταιον, ἐς τὸ τοῦ μεγάλου λογοθέτου γέρας ἥξειν.

Ἔπειθ' ὡς ἐν μυσῖηρίῳ καὶ πρὸς οὓς ἔφασκε μὲν, οὐκ ἀδακρυτὶ δὲ οὐδ' ἀσῖενακτὶ, ταῦτα· « Ὁρᾷς, ὦ » φίλων ἄρισῖε, οἷος ἀνθ' οἵου γέγονα, καὶ οἷος ἐν ᾅδου » βαδίζω, ἡλίκος (3) νῦν φαίνομαι. » Ἦν δ' ἐγὼ πρὸς αὐτὸν, σῖενάξας· « Ὁρῶ. »

Καὶ ὃς ἀρξάμενος διηγήσατο οὑτωσί πως εἰπών· « Ἐγὼ μὲν, ὦ βέλτισῖε Μάζαρι, ὡς ἐν ἐξομολογή- » σει (4) καὶ θαῤῥούντως ταῦτά σοι διηγήσομαι· σὺ » δ' ἀκούσας φύλαξον καὶ ἔχε παρὰ σαυτῷ. » Κἀγὼ εἶπον· « Ὁμοιοπαθεῖ ἀνθρώπῳ ἐρεῖς, καὶ πολλὰ εἰδότι » μυσῖήρια, ξεῖνε· καὶ ὥσπερ τἀμὰ καὶ ταυτὶ φυ- » λάξω. »

Καὶ ὃς ἀρξάμενος ἔλεγεν· « Ἔγωγε εἴπερ ἔμελλον » φεῦ! ζωὴν ἐν τῷ βίῳ ζῆσαι πλείω τε καὶ βελτίω

p. 135; Leunclavius Præceptorum editionis dedicatoria. Idem, p. 132, protulit verba ὅπως κατὰ σμ. — μεθ' αὐτοῦ, quæ non ad Padiatem, sed ad Holobolum hæc de se narrantem sunt referenda.

(1) Ὁ τοιοῦτος, nempe ille ipse narrator, Holobolus.

(2) Demosth. Coron. 21 : τὸν Φίλιππον . . . τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα. De Philommatæo infra monendi nonnihil erit occasio : cf. pp. 129, 135.

(3) Forsan καὶ ἡλίκος.

(4) Vertendum : « velut in » confessione ; velut apud con- » fessorem. »

» τῆς ἥσπερ βεβίωκα ὁ ταλάντατος, πλοῦτόν τε
» πλεῖστον πλουτῆσαι καὶ τῶν εὐπατριδῶν μίαν γῆ-
» μαι, καὶ τὰς οἰκίας λαμπρὰς καὶ περικαλλεῖς ἐκ-
» τελέσαι, τέτταρά μοι ὁμοίως δεινὰ ἐν ἑνὶ καιρῷ
» καὶ ἐκ τοῦ παραυτίκα ἐπέθετο, ἅπερ μοι νόσον
» βαρεῖάν τε καὶ δεινοτάτην κατειργάσατο· καὶ, ὡς
» ὁρᾷς, ἐν ᾅδου ταυτὶ ἀώρως με προύπεμψε. »
Τοὺς χρουνοὺς οὖν καὶ αὐτὸς τῶν ἐμῶν δακρύων
ἀπ' ὀφθαλμῶν ἐκμάσας, πρὸς αὐτὸν εἶπον· « Μὴ
» ὤφελες, δύστην' Ὀλόβολε, πρώτως με (1) ξυναντῆ-
» σαι, μηδὲ τοιαῦτα πρὸς ἐμὲ λέξαι, μηδὲ τὰ σὰ
» οὕτως ἐπιδεῖξαι, ὥσπερ ὀφθαλμοῖς μὲν εἶδον, ὠσὶ
» δ' ἀκήκοα· τὴν γὰρ ἐν ᾅδου διατριβὴν ᾤμην δεῖν
» βελτιωτέραν (2) τε καὶ ἀπονωτέραν τοῦ οὗπερ ἐξῆλ-
» θον δυστήνου βίου, καὶ χαίρων ἠκολούθουν ἐκείνῳ,
» τῷ ἀωρὶ νυκτῶν ἡρπακότι (3). Ἐπειδὴ δὲ καὶ τὰ ἐν
» ᾅδου οὕτως ἔχει, ὥσπερ καὶ τὰ ἐν βίῳ, σὺ δὲ
» πολλὰ καὶ μεγάλα δεινὰ πέπονθας, ὡς διεξέρχῃ,
» παλινδρομῆσαι βούλομαι ἐς τὸν βίον· βέλτιον γὰρ
» ἐκεῖσε διατρίβειν ἀτίμως οὕτω καὶ δυστυχῶς, ἢ
» γενέσθαι με τοιοῦτον ὁποῖος σύ μοι φαίνῃ νῦν.
» Πλὴν, δέομαι δή σου, ἐπειδή μοι ξυμβουλεύῃ τὰ
» λυσιτελοῦντα, καὶ ἐς Μῶραν (4), ἤτοι γε εἰς Πελο-
» πόννησον, φοιβάζων ὥσπερ Ἀπόλλων ἐκ δάφνης,

(1) Forsan μοι. Sed accusativo abutuntur valde in syntaxi verborum ac præpositionum recentiores, quod ad Syntipam ostendi.

(2) Pro δεῖν, forsan δὴ, vel δεῖν εἶναι. Cod. βελτιοτέραν. Scripsi βελτιωτέραν cum Hasio, a quo hic locus ab τὴν γὰρ ἐν ad ἐς τὸν βίον excitatus fuit ad Timar. p. 202. Quod scripsi παλινδρομῆσαι est in codice.

(3) Vide p. 115, ubi se narrat fuisse raptum.

(4) Codex, μῶρα: confer supra pag. 117, n. 3.

» λέγεις μοι ἀπελθεῖν, φράσον μοι τὰ τέτλαρα » ἐκεῖνα οἷα ἐσὶὶ, τὰ τὴν ἐν ᾅδου σοι πορείαν οὕτω » προξενήσαντα· δι' ἐφέσεως γὰρ ἔχω τούτων ἀκοῦ- » σαι. »

Καὶ ὃς σὶενάξας αὖθις, « Νὴ τὸν Κέρβερον » εἶπε « τὸν κύνα, ὦ κατάρατε ἐπιθέτα, δῆλά σοι βούλο- » μαι ἥκισὶα ταυτὶ ποιῆσαι, δύο κακῶν ἕνεκα, ὧν » ἑτέρου μείζω μοι προξενήσειεν ἂν ζημίαν. » « Καὶ » τίνα ζημίαν ἢ βλαβὴν » ἔφην ἐγὼ « μέλλουσι προξε- » νήσειν ταυτὶ, νεκρόν γε ὄντα καὶ διατρίβοντα (1) ἐν » ᾅδου; ποίαν » ἣν δ' ἐγὼ πρὸς αὐτόν « συνιδεῖν » οὐκ ἔχω. »

« Σὺ » ἔφη « ἀγνοεῖς, ἠλίθιε, πάντων μάλισὶα γινώ- » σκειν οἰόμενος; »

« Οὐκ ἐρεῖς » εἶπον αὐτῷ « ταύτην ἐμὲ τὸν φι- » λοῦντα τὰ σὰ πλέον τῶν ἄλλων; ἀλλὰ κρύπὶεις; »

« Οὐκ οἶσθα » ἔφη « ὡς εἴπερ ἐκ συναρπαγῆς » κοινώσεις πρὸς τοὺς σοὺς καὶ ἐμοὺς ἑταίρους ταυτὶ, » οὐ ταραχθήσονται (2), καὶ ἐπαράσονταί με οἱ τὰ » δεινὰ δράσαντες; »

« Μὴ φοβοῦ, ὦ 'γαθὲ », εἶπον· « ἐγὼ γὰρ οὕτω » παρ' ἐμοὶ φυλάξω τὰ εἰρημένα, ὥσπερ αὐτὸς σὺ » ταυτὶ ἐφύλατὶες ἕως νῦν. Ὅρα μόνον μὴ κέκρυ- » πὶαί τις ἐν ταῖς μυῤῥίναις, καὶ τῶν λεγομένων » ἀκούῃ· ὁρῶ γὰρ αὐτὰς σειομένας. »

« Θάῤῥει », ἔφη· « οὐ γάρ τις ἐκ τῆς πληθύος » ἐκείνης ἐξῆλθεν, ἄνευ ἐμοῦ. Πλὴν ἄκουε δή μου καὶ

(1) Expectabam νεκρῷ γε ὄντι καὶ διατρίβοντι, quum supra bis προξενεῖν fuerit legitime structum. Et legitima occurret syntaxis p. 128.

(2) Me impedit negatio. Forsan συνταραχθήσονται.

» τοῦ προτέρου δεινότερον δεύτερον. Ἔγωγε, ὦ ἑταῖρε,
» τὸν μέγαν Πλούτωνα καὶ τὴν Περσεφόνην παπαί!
» δέδοικα· ὡς, εἴπερ αἴσθονταί με (1) διὰ τέτταρ'
» ἄττα (2) λυπούμενον, ἀντὶ δεινοτάτης καὶ μεγάλης
» κολάσεως, τὸ τῆς λήθης μοι ὕδωρ πιεῖν οὐμενουν
» δώσουσιν, ὅπερ μοι ἐς ἡμερῶν τριακάδα δώσειν γε
» ἐπηγγείλαντο, ὡς ἂν ἀμνημονήσω πάντων, ὧν ἐν
» βίῳ χρηστῶν ἀπήλαυσα· ἡ γὰρ τούτων μνήμη τὸ
» μὲν σῶμα κατατρύχει, δίκην δὲ σκώληκος ἰοβόλου
» νύκτωρ καὶ μεθ' ἡμέραν (3) τὴν ψυχὴν δάκνει τὸν
» μὴ τοιούτου ὕδατος μετασχόντα. Καὶ γὰρ βασανι-
» στήριόν ἐστι χαλεπὸν ἡ τῶν ἀπολαύσεων μνήμη, καὶ
» ἄρρητός τις ὀδύνη, καὶ δίκη δίκης ἁπάσης καὶ τι-
» μωρίας πικροτέρα, οὐ πλευρὰς καταξαίνουσα μόνον,
» ἀλλὰ καὶ ψυχῆς δύναμιν λυμαινομένη. Ἦ σύγε
» οὕτως οἴει δικάζειν καὶ τοὺς ἐν ᾅδου δικαστὰς, ὥσπερ
» καὶ οἱ ἐν βίῳ διατελοῦντες οὕτω (4) δικάζουσιν; »

« Ἀλλὰ πῶς ἄρ' » εἶπον « οἱ ἐν ᾅδου δικάζουσι; »

« Δικαίως » ἔφη « καὶ ἀπροσωπολήπτως, ἔτι δὲ
» ἀδωροδοκήτως, καὶ μὴ πρὸς χάριν (5), ἀλλ' οὐδὲ πρὸς
» κολακείαν, οὐδ' εἵνεκα λημμάτων· οὐδὲ γὰρ δέον-
» ται μαρτύρων ἐκεῖνοι, οὐδὲ κατηγόρων, οὐδ' ἀπο-
» δείξεων, οὐδ' ἐλέγχων, οὐδὲ συμβολαίων τινῶν·
» ἀλλὰ πάνθ', ὡς ἐπράχθη, πρὸ ὀφθαλμῶν τῶν πε-
» πλημμελημένων εἰς μέσον ἄγουσι. Τότε δὴ τότε
» οὐχ, ὑπὲρ ὧν ἠδίκηκέ τις, κρίνεται ἕτερος, ἀλλ'

(1) Conf. p. 167, 24.

(2) Codex, τέτταρά πα. Vide supra p. 106, n. 1.

(3) Sunt adposita verba in notis ad Marinum p. 69; ab ἡ γὰρ ad δάκνει: cf. supra p. 122, n. 2.

(4) Forsan delendum οὕτω.

(5) Verba δικαίως.....χάριν sunt apud Hasium ad Timar. pag. 215.

» ἕκαστος ὑπὲρ ἑαυτοῦ. Οἱ δὲ ἐν βίῳ οὐχ οὕτω, ξεῖνε, » ἀλλ' ἄλλως, δικάζουσι. Κεραίνουσι (1) μὲν γὰρ πρὸς » χάριν, ἀλλὰ δὴ καὶ κολακείαν, δωροδοκοῦνται δὲ » παρ' ἑκατέρων τῶν δικαζομένων· τοῦ γὰρ δικαίου » ἀπολωλότος, τῶν μάλα ἰσχυόντων καὶ πλείω παρε- » χομένων, μᾶλλον δὲ τῶν μεγάλα δυναμένων καὶ » εὐρυβίων καὶ πλούτῳ βεβριθόντων (2), τὸ δίκαιον » γίνεται. »

Ἐκπλαγεὶς οὖν ἐπὶ τούτοις ἐγὼ, ἱκέτευον αὐτὸν φράσαι, καὶ τὰ τέτταρα ἐκεῖνα ποῖα ἐστὶ, καὶ τοὺς ἐνταῦθα δικαστάς. Ὁ δὲ, κατιδών με τεθορυβημένον αὐτῷ καὶ τῇ ψυχῇ μετέωρον ὄντα σφόδρα (ἑώρα γὰρ νῦν μὲν ἡδόμενον, νῦν δ' ἀνιώμενον ἐν ταὐτῷ), « Πῶς » ζητεῖς τὰ τέτταρα » ἔφη, « ἐκεῖνα; καὶ πῶς ἥκιστ' » ἐπελάθου τούτων, ἀλλ' ἐς ἀεὶ μὲν ἐμὲ διεγείρεις, » πάντοτε δὲ τούτων μνείαν ἔχεις, καὶ σχεδὸν ὅσαι » ὧραι μέμνησαι καὶ πράγματά μοι παρέχεις; Καὶ » πρὸς τούτοις ζητεῖς γε μαθεῖν καὶ τὰ τῶν δικαστῶν » ὀνόματα, δέον μαθεῖν σε ἐν βίῳ. »

« Ταῦτ' εἰπεῖν ἔναγχός μοι ὑπέσχου », πρὸς αὐτὸν ἔγωγε ἔφην· « τίνι δὲ τρόπῳ παρυποκρύπτεις, » ὦ καλὲ κἀγαθέ; »

« Οὐ κρύπτω », ἔφη· « ἀλλ', ὡς ἔφθην εἰπὼν, δέ- » δοικα μὲν, πάντα δὲ τρόπον ποιῶ καὶ πράττω πρὸς » τὸ συγχέαι τὸν σὸν λογισμὸν, ὥστε μὴ ζητεῖν καὶ

(1) Sic codex. Forsan κρίνουσι.

(2) Est εὐρυβίων ab εὐρύβιος, « eorum qui facultatibus abundant. » Codex, βρυθόντων. Iotacismus confudit sæpius ι et υ. Moschopulus Π. σχ. pag. 121: φύτυς, ὁ πατήρ· codex 2599 recte, φίτυς. Idem p. 123: βδελύττομαι, τὸ κοινῶς συχχαίνω· imo σιχχαίνω, ut est in codice. Idem p. 136: πέλεκις καὶ κλίνεται πελέκεως· imo πέλεκυς, cum eodem codice.

» πολυπραγμονεῖν ἐκεῖνα τὰ βλάβην οὐκ ὀλίγην μοι » προξενήσοντα (1). »

« Εἰπέ μοι » εἶπον ἐγὼ « πρὸς Θεοῦ, καὶ οὔτ' » αὐτὸς σὺ, συναιρομένης τῆς ἀληθείας, ὑποσταίης » ἂν βλάβην, κἀμοὶ δ' ὠφέλειαν οὐ σμικρὰν προξε- » νήσαις. »

Μόλις οὖν, ὅμως δ' εἶξας, ὁ ἐκεῖνος, ἀνακαθίσας, οὑτωσί πως εἰπὼν καὶ διηγησάμενος, πρῶτον μὲν τὰ τῶν δικαστῶν τῶν ἐν βίῳ ὀνόματα· ἄλλως γὰρ ἐν ᾅδου καλοῦσι τούτους· τὸν μὲν γὰρ λέγουσιν οἰνοφάγον, μὴ τῆς εἰρήνης υἱὸν, τὸν δὲ μόγων μεστὸν, τὸν δ' ἄγκυραν ἀδικούντων, τὸν δὲ τέταρτον, σκατῶν φύλακα· ἔπειτα τὰ κατ' αὐτὸν τέσσαρα. « Τοῦ » θειοτάτου βασιλέως, ὦ ἐξεταστικώτατε (2), ἐξ » Ἰταλίας καὶ Βρεττανίας μετὰ τὴν τοῦ καταπλύ- » στου ἐκείνου σατράπου κατάπτωσιν (3), ἐν τῇ » Κωνσταντίνου ἐπανήκοντος, οὐχ ἡσυχάζειν εἴα καὶ » σωφρονεῖν ὁ τῆς ἀκολασίας οἶστρος, πρὸς τὸ μένειν » με διηνεκῶς ταῖς βασιλικαῖς αὐλαῖς, τοῖς ἔνδον τε » συναναστρεφομένοις συναναστρέφεσθαι, καὶ τὰς τοῦ » κρατοῦντος προσταγὰς ἐκπληρεῖν (4) ὡς τὸ πρότε- » ρον· ἀλλ' ἀδίκοις θεασάμενος ὄμμασι μίαν τάχα » τῶν μοναζουσῶν, διεσπεκλωμένην (5) ὑπὸ μυρίων, » ἀρχαίαν φίλην, τῷ ταύτης καὶ αὖθις ἁλοὺς ἔρωτι,

(1) Ab δέδοικα leguntur in notis Hasii ad Timar. p. 201.

(2) Codex, ἐξεταστικότατε.

(3) Id intelligit Hasius pag. 135 de Bajazeto, quem apud Ancyram Tamerlan profligavit.

(4) Sic codex, et infra pariter.

(5) Codex, διεσπεκλομένην. Infra p. 156, rectius cum ω. Aristophanes Plut. 1083: Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένῃ Ὑπὸ μυρίων ἐτῶν γε κ τρισχιλίων. Codex, ἐγκαλινδουμένην. Vir d. his usus p. 133, scripsit, facta correctione, ἐνεκυλινδούμην : quem voluisse puto ἐνεκαλινδούμην.

» μᾶλλον δὲ καταγοητευθεὶς, νύκτωρ καὶ μεθ' ἡμέραν
» τῷ ταύτης ἐγκαλινδούμην βεβορβορωμένῳ σώμα-
» τι (1). Τοῦ δὲ γενναιοτάτου βασιλέως ὅσαι ὧραι
» ζητοῦντος πρὸς τὸ γράφειν με τὰς αὐτοῦ προστα-
» γὰς, ἐπείπερ οὐδαμῶς εὑρισκόμην, ἀγανακτήσαν-
» τος, ἀντίτεχνόν μοι πεποίηκεν ἐξ ἀγγέλων πονηρῶν
» τὸν διαληφθέντα (2) Φιλομμάταιον. Ὅπως μὲν οὖν
» περὶ τούτου λελύπημαι σφόδρα, καὶ ὅπως διηγώ-
» νισμαι, νῦν μὲν διὰ μεσαζόντων (3), νῦν δὲ δι' ἐν-
» αρέτων καὶ κατὰ Θεὸν βεβιωκότων, θειοτάτων
» καὶ γενναιοτάτων ἀνδρῶν, πρὸς τὸ ἐξοστρακισθῆναι
» τὸν ἀντίτεχνον, οὐ χρεὼν, οἶμαι, καταλέγειν ἕκα-
» στα, τῆς ὥρας κατεπειγούσης, καὶ (4) τὸν τῆς διηγή-
» σεως κόρον φεύγοντος. Πλὴν ἐν ἑνὶ διηγήσομαι λόγῳ,
» ὡς ἡ τοῦ ἀντιτέχνου λύπη, καὶ ἡ διηνεκὴς ἀθυμία
» ἣν νύκτωρ καὶ μεθ' ἡμέραν εἶχον, ἐς τὸν τοῦ ᾅδου
» χῶρον ἀώρως, ὡς ὁρᾷς, προύπεμψεν· αὕτη μοι
» τῶν τεττάρων πρώτη καὶ μία αἰτία, ξεῖνε. Ἔπειθ',
» ὡς διέτριβον πρὸς τοὺς διαβεβοημένους ἁγίους καὶ
» κατ' ἀντίφρασιν ξανθοὺς ὑπούλους (5), ἵνα με πρὸς
» τὸν κρατοῦντα καταστήσωσιν, ἡλίκος ἦν πρότερον,
» ἄνευ ἀντιτέχνου (ὑπήκουε γὰρ αὐτῶν ὁ κρατῶν, ὡς
» οὐδεὶς τῶν ἁπάντων), ἐφενακίσθην ὑπό του τού-
» των. Ἦν δὲ ὁ ἐξαπατήσας ἐκ γένους ἀσπόνδου καὶ

(1) In notis ad Marin. p. 69, ab τῷ ταύτης ad σώματι. Cf. supra p. 122, n. 2.

(2) Id est, τὸν δηλωθέντα, τὸν εἰρημένον, supra scilicet p. 123.

(3) Id est, per summos publicarum rerum administratores.

(4) Forsan καὶ ἐμοῦ.

(5) Nescio qui sint isti ξανθοὶ ὕπουλοι. Significat, puto, quosdam Ξανθοπούλους, aulicos homines, in cujus nomine ludit, ut ejus est mos. Nec semel infra nominabuntur.

» εὐσεβεῖν ἀναπεπεισμένου, ἣν πολλῶν βίους ἕλῃ (1).
» Θριδακίναις γὰρ καὶ ἰντυβίοις καὶ σέρισιν, ἀλλὰ δὴ
» καὶ θλασταῖς ἐλαίαις, ὁσημέραι μοι (2) δεξιούμενος,
» καὶ νῦν μὲν ὡς κροκόδειλος (3) δακρύων, νῦν δ' ὡς
» χαμαιλέων στενάζων, νῦν δ' ὡς Πρωτεὺς μᾶλλον,
» ἤπερ ὀκτάπους, προσφάτοις ὑποδεικνύων γε χρώ-
» μασιν, ἔτι γε μὴν τὸ τῶν ἁλιέων μιμησάμενος
» δέλεαρ, εἵλκυσέ με τὸν σκληρὸν καὶ ἄτεγκτον, καὶ
» μολύβδου, μᾶλλον δὲ κηροῦ (4), πεποίηκε μαλθα-
» κώτερον. Καὶ, τοῖς τούτου κατὰ σμικρὸν θελήμα-
» σιν εἴξας, πάντων ὧν εἶχον ἀφανῶν τε καὶ φανερῶν,
» ἐπίτροπον ἄγρυπνον ἐγγράφως πεποίηκα. Τούτων
» τὴν μνήμην οὐκ ἀδακρυτὶ, ξεῖνε, νῦν φέρω, ἀλλ'
» ὡς σκώληξ με ἰοβόλος ὅσαι ὧραι τιτρώσκει. Τρίτον,
» ὡς ἐθεάσατό με βεβαπτισμένον ὁ βδελυγμίας καὶ
» λωποδύτης ἀδελφιδοῦς Κακοαλέξιος (5) ὑπὸ τοῦ

(1) « Si multorum diripuerit » facultates. »

(2) Melius scripsisset, ac scripsisse puto, με.

(3) Codex, κροκόδυλος, permutatis ει et υ. Constantinus Porphyrog. De adm. imp. c. 13: ὀφείλει τὰ οἰκεῖα κρατεῖν· cod. 2967, κρατίνην, duplici mendo calami in una voce, pro κρατύνειν. Iotacismus, quem toties attigi, narratiuncula declarabo quam late pateat. Composita fuit a quodam ludi magistro, qui, ἀντιστοίχων præcepta exemplis illustraturus, nominis ἐρήμην metamorphoses exhibuit. Illam descripsi e codice 2599, p. 181. Ἐρήμην ποτὲ καταδικασθεὶς ἐπὶ τὴν δικαστὴν ἥειν (lege ἥκειν), καὶ οὐχ εὗρον ὃν ἂν ἐρρίμην τίς ποτε χῶρος αἱρεῖ μιν. Καὶ δὴ, τὴν ὡς ἐκεῖνον φέρουσαν ἀγνοῶν, πρὸς ἐμαυτὸν ἔλεγον· « εἰ μή τις ἐρεῖ » μιν, αἱρούμην ἂν καταδεδικάσθαι » μᾶλλον ἢ πλανᾶσθαι ἀνήνυτα. » Καύματος οὖν ἐπιγενομένου, κατὰ γῆς τε ἐρρίμην. Πηγὴν μέν τοι πλησίον οὖσαν αἰσθόμενος, μόλις τε πρὸς αὐτὴν εἱρπύσα, κἀκεῖθεν αὖθις ἀναστὰς, ὡδοιπόρουν· καὶ γὰρ οὖν καὶ πέπωκα καὶ ἐρρύμην· ἀνέψυξα, καὶ ἐμαυτὸν θανάτου ἐρρύμην· αἱ ῥύμην (forsan καὶ ῥύμην vel ἐρήμην) ἐβάδιζον πόλεως.

(4) Ad Marinum p. 101, ubi de ea τοῦ κηροῦ metaphora egi, fuit is locus appositus.

(5) Composuit cum adject. κακὸς proprium nomen Ἀλέξιος. Sic

» ἐπεισεφρηκότος δεινοτάτου ἐκείνου νοσήματος, χα-
» λινοὺς, ἐφεστρίδας, βιβλία, ἄορας, λέβητας (1),
» θώκους, ἐσθῆτας, τάπητας, ἀλλ' ἄττα σκεύη πολ-
» λὰ, μέχρι καὶ πατtάλων, ἐντὸς ὑφείλετο εἰσελ-
» θὼν, πάντων ἐπ' ἐμὲ ἀσχολουμένων· ὃν εἰ λα-
» βοίμην, τὴν ῥῖνα τούτου δακὼν ἐκτεμῶ, ὡς ἂν γνώ-
» ριμον καὶ σεσημειωμένον ἀποκαταστήσαιμι φωρὰ καὶ
» τοῖς ἐν ᾄδου, ὥστε μὴ κλέπτειν τυμβωρυχοῦντα
» καὶ τὰς τῶν νεκύων σινδόνας. Τέταρτον, ὡς ἀκή-
» κοεν ὁ ἀήττητος αὐτοκράτωρ παρὰ τῶν μιαιφόνων
» βεστολοιγῶν μηδαμῶς ἔχοντά με σωτηρίαν, τὸν
» Κακοαλέξιον ἀδελφιδοῦν δειλιάσας, ἵνα μὴ καὶ ἅπερ
» εἶχον χρυσόβουλλά τε καὶ προστάγματα θεῖα, τὰ
» μὲν δι' ἐρυθρῶν ὑπογεγραμμένα γραμμάτων (2),
» τὰ δ' ἄνευ, ἀλλὰ δὴ καὶ τὴν θέσιν, ἐν ᾗ τὰς ἁπάν-
» των εἰδήσεις εἶχον ἐντὸς γεγραμμένας, συλήσῃ,
» καθάπερ, ὡς ἔφθην εἰπὼν, σεσύληκε καὶ τἀμὰ,
» πέπομφε τὸν — οὐκ οἶδ' ὅπως καλέσαιμι· καὶ ταῦθ'
» Ἡράκλεις! ἔλαβεν ἀνερυθριάστως, μετὰ σοβαρᾶς
» τινος διαλέξεώς τε καὶ εἴδους. Ὦ πῶς τὴν τούτων
» ἔφερον βίαν; πῶς δ' οὐ γέγονα φρενήρης, ὦ φίλ-
» τατε; πῶς οὐκ εἰς πῦρ ἢ κρημνὸν φέρων (3) ἐμαυτὸν

veteres fecerunt Δύσπαριν, Δυσελένην. Non semel Κακοαλέξιος ad partes vocabitur.

(1) Codex, ἄωρας. Respicit Homerum Od. P, 222: Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

(2) Literis rubris diplomata subscriptum imperatoris nomen ferebant. Epigramma in codice 1630, p. 134: Εἰς τὴν διὰ κιννα-βάρεως βασιλικὴν ὑπογραφήν. Οἷον τὸ χρῶμα, καὶ λόγοι τοῦ δεσπότου. Aliud ibidem: Εἰς τὸ αὐτό. Ῥήματ' ἀληθέα· τοὔνεκα χρώματα τοῖα. Omisit librarius pedem unum, quem restituas initio, Ἐστὶν ῥήματ', vel in fine, τοῖα πέλονται.

(3) Hunc participii usum tractans ad Eunap. pag. 564, hoc sum loco usus.

» ἔρριψα; πῶς δ' οὐ μάχαιραν κατὰ σπλάγχνων
» ἐμῶν ὦσα; Λυσιτελέστερον ἦν ἂν καὶ ταῦτα συ-
» λῆσαι τὸν Κακοαλέξιον ἀδελφιδοῦν, ἢ τὴν τούτων
» οὕτως ἀφαίρεσιν ὑποστῆναι. Εἴπερ οὖν, ὦ 'τᾶν, οὐκ
» ἀφείλετο οὕτως ἀναιδῶς τε καὶ ἰταμῶς ὁ ταῦτ'
» αἰτήσας καὶ λαβών, ἅμ' ἕῳ λάθρα, μὴ γινώσκοντός
» τινος, κατακαῦσαι ταῦτ' ἐβουλόμην, ἤγουν τὸν
» πάντα μοι ὑπακούοντα κλεπτίστατον κηδεστὴν
» ἐπέτρεπον ἄν, ὥστε, μὴ γινώσκοντός τινος, ταῦτα
» συνθάψαι. »

« Τί κέρδος », ἦν δ' ἐγώ « μάταιε, ἢ ποίαν τινὰ
» λυσιτέλειαν κερδήσειν ᾤου, εἰ ταῦθ', ὡς διεξῆλθες,
» ἐποίεις; »

« Μέγα », ἔφη πρός με « καὶ πολλῶν ἐγκωμίων
» ἄξιον, κάκιστε. »

« Εἰ ταῦθ' οὕτως » ἔφην « ἐποίεις ὡς διεξῆλθες,
» οὐκ ἐφοβοῦ τοὺς τυμβορύκτας, μνησίκακε, μή σε
» δὶς κατασκάψωσιν; »

« Εἴθ' ἐποίουν ἂν τοῦτο », εἶπε « πρὸς τὸ μὴ γενέ-
» σθαι τὸν ἀντίτεχνόν μοι τῆς γραμματοεισαγωγι-
» κῆς ἐπιστήμης ἁπάσης ἔμπειρον, καὶ μὴ μόνον δίς,
» ἀλλὰ καὶ ἑκατοντάκις, κατεσκαπτόμην ἄν. Εἰ δὲ
» καὶ ταῦτα μετ' ἐμοῦ ἐπίμπρασαν, κἂν γοῦν οἱ
» ὀδόντες, τοῦ ἄλλου σώματος δαπανηθέντος ὑπὸ τοῦ
» πυρός, ἐναπελείφθησαν ἄν, ὥς φασι, καὶ δι' αὐτῶν
» ἠμυνάμην ἂν τὸν ἀντίτεχνον. »

« Μελαγχολᾷς, ξεῖν' », εἶπον « νὴ τὴν κεφαλὴν τὴν
» σὴν καὶ τήνδε τὴν θαυμαστὴν ξυνουσίαν. Οὐκ οἶσθα
» ὅτι, ὥσπερ σὺ γέγονας γραμματεὺς ἔμπειρος, γε-
» νήσεταί γε κἀκεῖνος καὶ ἄνευ τῶν σῶν εἰδήσεων »;

« Οὐμενοῦν » ἔφη « ἥκιστα, κἂν πάντες ῥήτορες καὶ » φιλόσοφοι φῶσι. »

« Καὶ ὡς (1) εἰ τοῦτ' » ἦν δ' ἐγὼ πρὸς αὐτόν « οὐκ » ἔνι ὡς εἶπον, πῶς ἄρα σὺ μέγας γέγονας; Ὁ φλή» ναφος καὶ εἰρωνείας μεστὸς καὶ περὶ τοὺς εὐεργέτας » ἀχάριστος, ὁ λέγων ἄλλα τῷ μεγάλῳ βασιλεῖ καὶ » ἄλλα γράφων λημμάτων εἵνεκα, Παδιάτης ἐκεῖ» νος, οὗτός μοι μεθ' ἡμέραν συνὼν καὶ διαλεγόμενος, » καὶ ἡμέρας ὑπαγορεύων τεττάρων ἐνιαυτῶν, τοιοῦ» τον, ὡς οἶδας, πεποίηκεν ἔμπειρον (2). »

Τῆς οὖν διαλέξεως οὔπω πέρας λαβούσης (πολλὰ γὰρ ἐβουλόμην, ὡς εἶδον τοῦτον ἠκονημένον φέροντα τὸν θυμὸν, κολάσαι τε καὶ ἐπιστύψαι), αἴφνης ἀνίσταται ἐκ τοῦ χώρου ἐκείνου ἐν ᾧ μυῤῥίναι ὑπῆρχον ἐφ' αἷς ἐγκέκρυπτο, ὡς ἔφθην εἰπὼν, ὁ ποτὲ μὲν ἐπέραστος καὶ χρηστὸς, ὕστερον δὲ γενόμενος ἄχρηστος καὶ κατάπτυστος, Παδιάτης ἐκεῖνος ὁ πάνυ. Φησὶν ἀγρίως οὕτω καὶ θυμοειδῶς, τοὺς μὲν ὀφθαλμοὺς ὥσπερ ἐξ ἀγχόνης διαστρόφους πεποιηκὼς, ῥόπαλον δ' ἔχων τὼ χεῖρε (3) καὶ ὑποσκάζων· « Ὦ μῶρε καὶ » παράληρε καὶ ῥεραφανιδωμένε (4) Ὀλόβολε, καλά

(1) Sic codex. Forsan καὶ ὅμως, vel καὶ πῶς.

(2) Sic codex.

(3) Sic codex. Periit nonnihil.

(4) Rursus hac forma perfecti utetur p. 137, quam, quum adtulisset Hasius p. 133, notavit vocula *sic*. Est ῥεραβδωμένος in Lydo De mag. p. 20, quod non mutari debuit in ἐῤῥαβδωμένος. Hesychii ῥερυσηκόσι sub Ῥυσοῖσι frustra in ἐῤῥυσηκόσι Meibomius convertebat; quo loco qui utebatur Wesselingius Prob. c. 5, p. 45, nihil tentabat, quum nihil esset tentandum. Ἀπορέριπτο, pro ἀπέρριπτο, adtulit e Joanne Chrysost. Abreschius Diluc. pag. 840. In Onosandri codicibus nonnullis invenit ῥερυθμισμένη Schwebelius, quem vide p. 46. Puto illas formas a quibusdam usurpatas fuisse et euphoniæ causa, et ad imitationem Homerici ῥερυπωμένα.

» γ' ἐστὶ ταῦτα (1), ἅπερ μετὰ τοῦ κυλλοποδίωνος » Μαζάρεος φληναφεῖς; »

Ἐκεῖνος δ' εὐθὺς ὠχειάσας (2), καὶ μικρὸν ὑπομειδιάσας, φησίν· « Ἐγὼ μὲν ᾤμην οὐδένα τῶν ἁπάντων » κεκρύφθαι ἐνταῦθα, ὦ, κατὰ τὸν μυρταΐτην (3) ἐκεῖ- » νον Ἀνδρόνικον, μπαντιάτα (4)· καὶ διὰ τοῦτο ἀπε- » ριμερίμνως καὶ ἁπλῶς ὡμίλουν, ὡς ἀκήκοας, οὕτω » τῷ καλῷ κἀγαθῷ καὶ φίλῳ ἡμῶν, καὶ πρὸς αὐτὸν » ἔλεγον ἐκεῖνα, ἅπερ ἥκιστ' ἐχρῆν σε ἀκοῦσαι· » ἐπειδὴ δὲ σὺ μὲν ὡς ὠτακουστὴς κατεκρύφθης ἐν » ταῖς μυῤῥίναις, λανθανόντως δέ πως ἐπ' αὐταῖς » εἰσεῤῥύεις ὡς ὕδρος, καὶ ἅπερ εἶπον ἀκήκοας, δέομαι » δή σου καὶ πάνυ δέομαι, φύλαξον ταῦτα, καὶ μηδὲν » τούτων εἴπῃς πρός τινα τῶν ἁπάντων, οὐχ ἥκιστα » δέ γε πρός τε τὸν μέγαν Πλούτωνα καὶ τὴν Περ- » σεφόνην. Ἢν γὰρ παρὰ τῆς σῆς μιαρᾶς γλώττης » μάθωσι ταῦτα, τῷ στόματ' εὐθὺς ἐμβαλοῦσί με » τοῦ Κερβέρου τὸν δύστηνον. »

« Θάῤῥει », ἔφη ἐκεῖνος « καὶ ἔχ' ἀτρέμας. Πλὴν » καὶ τουτουῒ δεήθητι τοῦ Μαζάρεος, ἵνα μὴ δῆλα » ταῦτα πρὸς τοὺς ἐν ταῖς βασιλικαῖς διατρίβον- » τας ποιήσῃ αὐλαῖς. »

« Πολλαχόθεν » ἔφη ἐκεῖνος « τοῦτον θαῤῥῶ· σὲ » δὲ μόνον ὑποδειλιῶ, καὶ τὴν σὴν τετρεμαίνω (5)

(1) Ita Codex, superscripto παυπ.

(2) Codex, ὠχχειάσας. Choricius in Procop. § 3 : ἔδειξε πεῖρα τῶν ἔργων ὅτι φύσις δεξιὰ, κἂν ἐξ ἡλικίας, κἂν ἐξ ὀρφανίας ἐπὶ τὸ χεῖρον ὠθῆται, αὐτὴν πρὸς τὸ δέον ἑαυτὴν οἶδεν ἀνθέλκειν. Cod. 2967, ὀρφανείας, quod non notavissem, ni fuisset animadvertendum simul esse in codice αὐτὴ, melius quam αὐτήν.

(3) Cf. p. 120, n. 2.

(4) Puto esse gallicum nomen *bandit*.

(5) Codex, πετρεμαίνω.

» μιαρὰν γλῶτταν, ἵνα μὴ κἂν ᾅδου ποιήσῃς ὥσπερ
» ἀεὶ παίζων μᾶλλον ἢ σπουδάζων εἰώθεις ποιεῖν ἄνω
» ἐς τὸν βίον, ὑβρίζων ἅμα λοιδορῶν τε καὶ εἰρωνευό-
» μενος ὅσαι ὧραι πάντας καὶ πάσας. »

Ὁ οὖν Παδιάτης ὀλίγον ἐπισχὼν, καὶ γοργὸν ἐμβλέψας ὥσπερ οἱ λέοντες, ἔλεξεν οὕτω πρὸς αὐτόν·
« Οὐκ οἶσθα, κάκιστε Ὀλόβολε, ὅτι ταῦθ' οὕτω λέ-
» γων καθυβρίζεις κἀμὲ, ὥσπερ ἔναγχος ἐξ ἁμαξῶν
» ἔπλυνας τὸν (1) ἐξ ἀγγέλων πονηρῶν ἀπόγονον
» Φιλομμάταιον (2), τὸν παρὰ τοῦ μεγάλου βασι-
» λέως· μὲν ἐς τὰ μάλιστα φιλούμενον, πολλῶν τε
» ἄλλων εἵνεκα, οὐχ ἥκιστα δέ γε διὰ τὸν αὐτοῦ
» πάππον, τὸν χαλάσαντα, κατὰ τὸν μυρταΐτην
» ἐκεῖνον Ἀνδρόνικον, κτήριον ἑλληνικὸν αὐτοῦ καὶ τῆς
» εἱρκτῆς ἐκβαλόντα (3), παρὰ δὲ πάντων διὰ ταῦτα
» καὶ τιμώμενον παρ' ἀξίαν καὶ ἐπαινούμενον, τὸν νεώ-
» τερον καὶ εὐφυέστερον καὶ ὑγιαίστερον κατὰ πολύ σου,
» τὸν συναναστρεφόμενον τοῖς ἔνδον καὶ μεγάλων κοινω-
» νοῦντα μυστηρίων, τὸν εἰς ἅπαντα ἐντρεχῆ, τὸν
» τόξα καὶ ὅπλα φέροντα, καὶ νεβρῶν καὶ ἄρκτων
» κατατρέχοντα, καὶ σύας βάλλοντα μᾶλλον ἢ πτῶ-
» κας, κἀπὶ τὰ πολεμικὰ δὲ ἐμπειρότερον τυγχά-
» νοντα, τὸν ἐπὶ σατράπαις πρεσβείας ποιοῦντα, τὸν
» ἀοκνοτέρως καὶ εὐφυεστέρως γράφοντα σοῦ, καὶ
» μήτε ξυγγραμματέα μεθ' ἑαυτοῦ γράφειν ἔχον-
» τα, μήθ' ὑπογραμματέα, ἀλλ' ἀπεριφάνως (4) τὰ

(1) Codex, τὸν τῶν.

(2) Philommatæus, de quo supra p. 123, unus fuit ex Angelorum familia, et fit lusus in angelorum nomine. Nullus dubito quin Mazaris Φιλομμάταιος idem sit τῷ γραμματικῷ Ἀγγέλῳ τῷ Φιλομμάτῃ Phrantzæ I, 39.

(3) Sic codex.

(4) Sic codex.

» πάντα δι' αὐτοῦ γραφόμενα (1), λημμάτων ἕνεκα, » τὸν νύκτωρ καὶ μεθ' ἡμέραν διατρίβοντα ταῖς βα- » σιλικαῖς αὐλαῖς, καὶ πάντα τρόπον ποιοῦντα καὶ » πραγματευόμενον πρὸς τὸ μὴ μεθ' ἑαυτοῦ ξυγγρά- » φειν ἕτερόν τινα. Οὐκ αἰσχύνῃ οὖν, ταλάντατε, » οὐδ' ἐρυθριᾷς, ἀλλὰ παραβάλλεις τὰ τοῦδε μετὰ » σαυτοῦ· ἢ ἐπελάθου ὡς ὁ σὸς μὲν πατὴρ οἰνοπώ- » λης ἦν, ὁ δὲ τὸν πατέρα φύσας ἦν ἐργαζόμενος » ὑπὸ ἐρίων κεφαλῆς πίλα, φορῶν διφθέραν; »

Κἀπὶ τούτοις ὁ Ὁλόβολος ἀνείθη τε καὶ ἐγέλασε, καὶ πρὸς ἐμὲ « Φίλτατε », ἔφη, « ποῖος Τελχὶν ἧκε » φέρων ἐνταυθοῖ τουτονὶ τὸν ἐπάρατον καὶ παλαμναῖον » καὶ ὑβριστὴν, τὸν οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς » χάριν καὶ ψεῦδος πᾶσι φιλοῦντα (2), τὸν τὴν ξυνου- » σίαν ἡμῶν ἀνακόψαντα τὴν χρηστὴν ἐκείνην; »

Ὁ δὲ Παδιάτης, στρυφνῷ τῷ προσώπῳ ὑποστρέ- ψας, « Ποίαν », ἔφη, « συνουσίαν; μή τις ξυνεγένετο » τῷ ἑτέρῳ (3) »; Κἀγὼ ἐρυθριάσας ἔφην· « Εὔφημα » φώνει ἐν ᾅδου, παράνομε, καὶ μὴ φληνάφει. »

Καὶ ὃς, λαβόμενός μου τῆς χειρὸς, ἔφη· « Ὁρκιῶ » σε ἐπ' ἀληθείας, ὦ κατὰ Λατίνους κουμπάρε (4)· » εἰπὲ τίς χρὴ ἐμοῦ ἂν καὶ τούτου γε πλέον λυπεῖσθαι, » ἔγωγε, ὁ πατρίδα καὶ γένος καὶ οἰκίας καὶ ἀγροὺς » καὶ πλοῦτον καὶ ἀλλ' ἄττα καταλιπὼν, ἔτι » τε διατριβὴν καὶ πολιτείαν βελτιωτέραν τῆς ἧς » ἀπήλαυσα ἐν βασιλείοις, ὁ καὶ τῷ μεγάλῳ

(1) Sic codex. Forsan ἀλλὰ περιφανῶς πάντα δι' αὐτοῦ γράφοντα. Sed puto lacuna locum esse vitiosum.

(2) Sic φιλοῦντα πᾶσι φίλοις cum dativo occurret infra, pag. 154.

(3) Συνουσίαν obscœno sensu capiebat.

(4) Est nostrum *compère*, monente commode Hasio pag. 133.

» βασιλεῖ συγκοπιάσας κἀν τῇ Κωνσταντίνου, κἀν τῇ
» Φιλίππου, κἀν τῇ Ἀνατολῇ, κἀν τῇ πολυυμνήτῳ
» Λήμνῳ, καὶ πανταχοῦ, ἢ αὐτὸς (1) ὁ ῥεραφανι-
» δωμένος καὶ βδελυγμίας Ὁλόβολος, ὁ ἐκ πενήτων
» πλούσιος, καὶ ἐξ ἀτίμων τίμιος, καὶ ἔνδοξος ἐξ
» ἀδόξων, καὶ ἐξ ἀγνώστων γνωστὸς, γενόμενος, ὁ τὴν
» πατρίδα μὲν οἰκῶν, οἰκίας δ' ἀνοικοδομήσας λαμ-
» πρὰς, ἃς οὐδ' ἐν ὀνείροις εἶδέ ποτε, ὁ λευκὰς καὶ
» σηρικὰς καὶ βασιλικὰς ἠμφιεσμένος ἐσθῆτας, πρό-
» τερον δὲ διφθέραν φορῶν, ὥσπερ ὁ τούτου πρό-
» γονος. »

Ἦν δ' ἐγὼ πρὸς αὐτὸν βλέμματι καὶ νεύματι· « Σὲ αὐτότατον (2) πλέον ἐκείνου λυπεῖσθαι χρή. »

Εἶτ' αὖθις ἔφη πρὸς ἐκεῖνον ὑποστρέψας, ὥσπερ εἰώθει παίζων ἀεί· « Μῶρε καὶ καταγεγαυμημένε (3)
» Ὁλόβολε, εἰ μὲν ὁ κράτιστος καὶ διακριτικώτατος
» αὐτοκράτωρ ἀποκατέστησεν ἀντίτεχνον, σοῦ πα-
» ρόντος, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν βασιλείοις
» σοῦ εὑρισκομένου, ὁσίως ἂν λελύπησαι, καὶ μετό-
» πισθεν δικαίως τε, καθ' Ὅμηρον (4), ἔσχες κότον
» ὄφρα τελέσῃς κατὰ τοῦ ἀντιτέχνου, καὶ καλῶς
» πρὸς τὸν καλὸν κἀγαθὸν ἑταῖρον ἡμῶν Μάζαριν
» περὶ τούτων διεξῆλθες· ἐπειδὴ δὲ πολλάκις, μᾶλλον
» δὲ μυριάκις ἐζητήθης παρὰ τοῦ κρατοῦντος καὶ
» ἥκισθ' εὑρέθης (5), καὶ πολλαὶ μὲν καὶ μεγάλαι δου-
» λεῖαι, πάμπολλαι δὲ ὑποθέσεις, ἄκυραί τε καὶ

(1) Expectabam οὗτος.

(2) Potuit pronomen comicæ formationis ex Aristophane sibi sumere. Sic Plautus dixit *ipsissimus*. Habent et Itali *stessissimo*.

(3) Ita codex. Forsan *καταγεγαυρωμένε*.

(4) Il. A, 82 : Ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ.

(5) Codex, ἥκιστ' εὑρέθης.

» ἡμιτελεῖς ἐναπελείφθησαν, ἐξ ὧν ἡ τῶν Ῥωμαίων » εὐδαιμονία μεμείωται, σοῦ μὴ εὑρισκομένου ἐν ταῖς » βασιλικαῖς αὐλαῖς, ἐπὶ δὲ τῇ κεκοισυρωμένῃ (1) » μαχλώσῃ τε καὶ ἐπὶ μέγα γαυρουμένῃ, καὶ τάχα » γε μοναζούσῃ, τῇ μείζονι τοῦ ματαίου καλινδου» μένου ἀωρεὶ νυκτῶν τε καὶ μεσημβρείας, πῶς οὐχ » ὅσιον τὸν κρατοῦντα καταστῆσαι ἀντίτεχνον; Πρὸς » ταῦθ', Ὀλόβολε (2), χαλέπαινε καὶ πήδα, καὶ πάν» των ἀνδρῶν μιαρώτατον ἐμὲ κάλει, ὥσπερ νῦν ἤδη » καλεῖς. »

Ἐπὶ τούτοις καὶ ὁ χρηστὸς Ὀλόβολος ἐνέδυ τὴν λεοντῆν, ὥς φασι, καὶ τῆς δεξιᾶς μοι λαβόμενος, καὶ οὗτος ὑποτρέμων ὑπὸ θυμοῦ (τὴν γὰρ θατέραν χεῖρα τὸ γόνυ κατεῖχε), φησὶν ἀειδήλως οὕτω καὶ μανικῶς πρὸς αὐτόν· « Ἐμοί, μπαντιάτα (3), γύ» ναιον οὐκ ἦν· ἀλλ' οὐδὲ ποδαλγῶν ἢ χειραλγῶν » ἐτύγχανόν ποτε, ὥσπερ σύ. Εἴπερ οὖν, κατὰ με» σημβρείαν ἢ νυκτῶν ἀωρεὶ, κωμάσδων ἀπηρχόμην » ποτὶ τὰν μείζονα τοῦ ματαίου, κατὰ Θεόκριτον (4), » ἀλλ' οὖν εἶχον ὑπογραμματέα τὸν μείουρον (5) καὶ » ἀκέφαλον, τὸν ἤστραψε φῶτα (6), Κασσιανὸν, ὃν » ἀντ' ἐμοῦ παρεὶς ταῖς βασιλικαῖς αὐλαῖς μένειν

(1) Codex, κεκοιασυρωμένη. Infra sic cum duplici σ. Sumsit id verbi ex Nubibus 49, ubi: Σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην. De re supra p. 128 extr.

(2) Codex, ταῦτ' Ὀλοβόδε: sic.

(3) Supra p. 134, n. 4.

(4) Theocrit. III, 1: Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα. — Codex τὴν, superscripto τὰν.

(5) Codex, μίουρον.

(6) Locus non videtur integer. Forsan post τὸν quærebat epithetum, et, non invento, syntaxin mutavit, sic distinguendis verbis: τὸν — ἤστραψε φῶτα — Κασσιανόν. Ea negligentia liberiorem dialogum non dedecet. Cf. pag. 131, 18. Fateor tamen in ea explicatione non me mihi fecisse satis.

» ἐκέλευον. Ἔτι γε μὴν εἶχον τὸν Μανικαΐταον οὐλωμένον, τὸν νεκρέγερτον Ὤκιμον, καὶ τὸν τούτου ὁμώνυμον, τὸν εἰς κάλλος γράφοντα, Κέληφον, καὶ τὸν οἰνόφλυγα Τζαμαμύρεα. Διὰ τοῦτο οὐ δίκαιον ἦν γενέσθαι ἀντίτεχνον, καὶ δι' ἄλλα μὲν πολλὰ, οὐχ ἥκιστα δέ γε δι' ὅπερ μοι ἐς Ἰταλίαν διατρίβοντι, μετὰ τῶν ἄλλων εὐεργετήθην καὶ αὐτὸς παρὰ τοῦ θειοτάτου αὐτοκράτορος πρὸς τάγμα θεῖον, ἵν' ἐς ἀεὶ τυγχάνω δήπουθεν εὑρισκόμενος μονώτατος γραμματεὺς ῥητῶν τε καὶ ἀποῤῥήτων, ὥσπερ καὶ τοὺς Μεσίας μεσάζειν τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον πεποίηκεν. »

Ἦν δ' ἐγὼ πρὸς αὐτὸν φιλικῶς μάλα καὶ ἠγαπημένως πλέον ἤπερ ἠπίως· ἐποίουν γὰρ οὕτω τοῦτο, διὰ τὸ ἵνα τούτους ἀποκαταστήσαιμι εἰρηνικῶς καὶ μὴ φιλονείκως ἔχειν· ἑώρων γὰρ τὸν ἐπάρατον Παδιάτην ὥρμενον ἐπὶ κόῤῥης πατάξαι, ὥσπερ καὶ τὸν ἐκ Τραπεζοῦντος γεννάδα δρυγκάρειον (1) ἐκεῖνον μέσον ἀγορᾶς ἐπὶ κόῤῥης ἐπάταξεν· « Ὦ φίλταθ' Ὀλόβολε, ἆρ' οὐ μέμνησαι, ἀλλ' οὕτω ῥαδίως ἐπελάθου, ὅτιπερ καὶ αὐτὸς σὺ ἀντίτεχνος ἦσθα (2) τουτουῒ Παδιάτου τοῦ πάνυ »; Καὶ ὃς ὑποτρέμων ἔφη· « Οὐχὶ, ἀλλ' ὑπογραμματεύς ». Καὶ ὁ Παδιάτης, « Ναίχι », φησὶ, « τριβολαῖε, μᾶλλον δὲ τριοβολιμαῖε (3), καὶ διαβολεῦ ἀληθείας, Ὁλόβολε,

(1) Vulgatior est scriptura per γγ, sed et δρουγκάριος aliunde in Glossarium Cangii receptum fuit. Sæpe permutant librarii literas γγ, γκ.

(2) Codex, ut statim, atque infra p. 143, οἶσθα, et sic supra: conf. p. 119, n. 6. Lucianus De gymn. 19: ἢν δέ τις ἢ φρονίμων εἴπῃ.... ἢ δείνωσιν ἔξωθεν ἐπάγοι τῷ πράγματι· imo ἐπάγῃ.

(3) Sic et pp. 154, 159. Malim

» ἀντίτεχνος ἦσθα, οὐχ ὑπογραμματεύς. » Τῆς θατέρας οὖν μοι λαβόμενος καὶ αὐτὸς χειρὸς, φησὶν οὕτως, ἐπομνύων· « Νὴ τὴν ἡμετέραν φιλίαν, ὦ ἀδελ-
» φὲ, καὶ ἵν' ἡμᾶς ἐλευθερώσῃ ὁ πάντα ποιῶν καὶ μετα-
» σκευάζων παντοκράτωρ πρὸς λυσιτέλειαν τῆς τε
» δεινῆς χειραλγοποδάγρας καὶ τῆς πενίας, ἔτι γε
» μὴν τῆς ἀθυμίας καὶ τοῦ προπηλακισμοῦ, ἅπερ
» ἡμῶν ἑκάτερος πέπονθε, καὶ νὴ τὴν τοῦ φιλτάτου
» μοι υἱοῦ ζωὴν, τοῦ σειομένου καὶ διαθρυπτομένου
» ἐν τῇ βαδίσει τῆς ἑαυτοῦ πλέον ἀξίας, τοῦ παρ-
» ωνύμως, κατὰ τὸν Κλαυδιώτην ἐκεῖνον σούπα-
» σιν (1), Σεσέλκωϊ ἐπονομαζομένου, διὰ τουτονὶ
» τὸν ἀλιτήριον καὶ τὴν αὐτοῦ ἀναίδειαν καὶ ἀντι-
» τεχνίαν, ἐς νῆσον Λῆμνον, τὰ πάντα δεύτερα
» θέμενος, καταπεπλευκὼς ἀπῆλθον. Ἐζηλοτύπουν
» γὰρ αὐτὸν καὶ οὐκ ἠνειχόμην ὁρᾷν, ὁρῶν γράφοντα
» μὲν καὶ ἀπόντος ἐμοῦ καὶ παρόντος, ἔνδον δὲ ζητού-
» μενον ἐς ἀεὶ πάντοτε. »

« Οὐχ οὑτωτρόπως », εἶπεν ἐκεῖνος « ὦ κυλλο-
» ποδίων Παδιάτα, ἐς Λῆμνον ἀπαίρεις, ἀλλ' οὕτω·
» τὸν γὰρ τὰς φρένας τετρωμένον κεραυλκῷ βέλει (2)

τριωβόλιμαῖε, quum rectior sit scriptura per ω : cf. Herodiani Epim. p. 204. Agathias Anthol. Præf. v. 13 : τίς δ' ἂν πρίαιτο τοὺς λόγους τριωβόλου;

(1) Conf. p. 150, n. 5.

(2) Statim Malacenus iste κεροφόρος dicetur. Maritis, cujus erant uxores adulteræ, liberior Græcorum sermo, ut noster, cornua in fronte tribuebat. Qua de re videri possunt Solanus ad Luc. D. M. 1, 2; Jacobs. ad Lucill. Epigr. 9; Belin. ad Lucian. t. III, p. 326; Huschk. Anal. p. 168; Lambec. ad Codin. § 126; Nodell. in Diario class. t. X, p. 157; Bayl. Dict. in Junone not. E. Molleri librum de jure cornutorum non potui inspicere; rarus esse fertur. Qui scripsit ad Persium 1, n. 27, « l'idée d'infa-
» mie ou de honte qu'il a plu
» à quelques nations modernes

» Μαλακηνὸν ἐκεῖνον, τὸν σὸν σύμηρον (1) πτοηθεὶς,
» μή πως ἐκ τῶν βαράθρων τῆς Θετταλῶν ἥξειε
» πόλεως, καὶ τῆς πολυθρυλλήτου κλίμακος ἐπανα-
» βεβηκὼς στῇ, ὥσπερ αἱ μοιχαλίδες τοὺς σφῶν ἄν-
» δρας λέγουσιν ἐπαπειλούμεναι· Ὁρᾶτε, ἄνδρες· μὴ
» κακῶς ἡμᾶς λέγετε· ἀναβήσεσθε γὰρ παρ' ἡμῶν
» καὶ ἄκοντες ἐς τὴν τοῦ πατριαρχείου θρυλλουμένην
» κλίμακα, τὴν ἔχουσαν βαθμοὺς δύο πρὸς τοῖς
» ἑβδομήκοντα· τοῦτον τὸν κερασφόρον, ὡς ἔφθην εἰ-
» πὼν, φοβηθεὶς, τὸν τῆς Λήμνου δρομαίως (2) ἔδραμες
» δρόμον, μηδένα τῶν ἄλλων ποιησάμενος λόγον· ἀλλ'
» ὥσπερ ἐκ δεσμωτηρίου τινὸς ἀποδρὰς, μᾶλλον δ'
» ὥσπερ ἔκ τινος ὑσπλήγγος, ὑποσκάζων ἔθεες, θαμὰ
» βλέπων ὄπισθεν, δειλιῶν καὶ ὑποτρέμων, μή πού γέ
» τις παρὰ πόδας διώκει. » Πρὸς ἐμὲ δὲ ὑποστρέψας,
φησὶν οὕτω· « Πεπίστευκας τοὺς αὐτοῦ ὅρκους, ξεῖνε;
» οὐκ οἶσθα ὅτι τοῦ Ῥῆφα Χαλκεοπούλου (3) ἐκεί-
» νου τυγχάνει ὢν ὑποβολιμαῖος, ὅντινα καλεῖ υἱὸν
» οὑτοσί (4). »

Ἐπὶ τούτοις ταραχθεὶς ὁ ἀλιτήριος Παδιάτης, ἅμα τε καὶ μανεὶς, τὴν κεφαλὴν τοῦ χρηστοῦ Ὁλοβόλου κατέαξε τῷ ῥοπάλῳ ᾧ ἐπεστήρικτο· τὸ δ' ἦν ἐκ κρανείας· ἐγκέφαλος δ' εὐθὺς ἐκ ῥινῶν, καθ' Ὁμη-

» d'attacher aux cornes, étoit in» connue aux anciens », Selisius veteres vix attigerat, etsi se doctum esse putaret, et tunc essent quibus suam doctrinam probaret. Et infra Mazaris pariter ludit : cf. p. 143.

(1) Sic codex. Fors. σύμμοιρον.

(2) Codex, δρομέως.

(3) Forsan Ῥίφα. Est forsan nomen per ludibrium ex ἐρίφου factum. De nominum terminatione πουλος monui ad Syntipam p. 170, ubi pro Χρωματόπουλος, quod calami lapsu scripsi in Theodori Hyrtaceni loco, repone Χαλκωματόπουλος.

(4) Codex, οὑτωσί.

ρον (1), ἔσταζε. Βοῆς δὲ γενομένης καὶ ταραχῆς ὅτι πολλῆς ἐπὶ τούτῳ, καὶ ἄλλος ἄλλοθεν εἰσπηδήσας ἐς τὸν θροῦν ἧκον ἐκεῖνον, καὶ τοῦ ἀθλίου Ὁλοβόλου λειποψυχοῦντος, καὶ διωλύγιον φθεγγομένου « Ἐλθέτω » ἰατρός » (ποταμηδὸν γὰρ ἐκ κεφαλῆς ἔρρει τὸ αἷμα), ἧκε κληθεὶς ἐκ τῶν ἰατρῶν ὁ καλὸς κἀγαθὸς Πεπαγωμένος (2) ἐκεῖνος, ὁ δηλητήριον ἀντ' ἀλεξιτηρίου κερασάμενος φάρμακον, καὶ ἑαυτῷ καὶ τῷ Φωκιδίῳ ἐκείνῳ τῷ οἰνόφλυγι (3) καὶ ὑπογραμματεῖ τοῦ Ἰαπετοῦ Εὐμαράντου ἐκείνου δεδωκώς, καὶ τὴν μὲν ῥύσιν εὐθὺς τοῦ αἵματος ἔστησε, βοτάνην ἐπιθεὶς τὴν καλουμένην βοόφαλμον (4).

Ἐμὲ δὲ ἰδὼν ἠσπάσατό τε καὶ περιέβαλε πρῶτον, εἶτ' ἤρετο· « Πῶς, υἱέ μου, τοιοῦτος γέγονας, πόθεν » δὲ ἥκεις αὐχμῶν, κυλλοποδιτιῶν, ὠχριῶν, θυραυ- » λῶν, τοὺς τῶν χειρῶν καὶ ποδῶν δακτύλους ἐξηρ- » θρωμένους ἔχων; πόθεν δὲ γέγονας, πένης ἅμα καὶ » προσαίτης, ἄτιμός τε καὶ ἄδοξος; κἀκ ποίας δ' αἰ- » τίας ταυτὶ πέπονθας; εἰπέ, πρὸς φιλίας. »

Ἦν δ' ἐγὼ πρὸς αὐτὸν στενάξας· « ὅτι μὲν εἰμὶ

(1) Il. T, 38 : νέκταρ ἐρυθρὸν στάξε κατὰ ῥινῶν.

(2) Non esse confundendum cum Demetrio Pepagomeno medico, cujus exstat liber de podagra a Bernardo editus, monuit Hasius p. 141.

(3) Codex, οἰνόφλυγι. Basilius Homil. de Synisactis p. 84 : λογικῷ ζώῳ ἑρπηστικῶν δρακόντων προαίρεσιν ἔχοντι. Puto legendum ἑρπυστικῷ. Nam e lexicis omnino exigenda videtur vox ἑρπηστικὸς, nata scilicet e mala vocalis secundæ scriptura. Sic jam fuit ἑρπηστὴς a Jacobsio damnatum ad Antipatri Thessal. Epigr. 53. Similem medicinam faciam Syncello, nuper suppleto a v. d. Dindorfio, p. 14 : τὸ δὲ εἶναι τὸν ὄφιν τετράπουν τὸ πρίν, καὶ μετὰ τὴν πονηρὰν εἰσήγησιν ἑρπηστικὸν, οὐκ ἀπιστοῦμεν. Velim ibi etiam ἑρπυστικὸν reponi.

(4) Sic codex, pro βούφθαλμον, opinor.

» τοιοῦτος ὡς ὁρᾷς, καὶ αὐτὸς οἶδα· ἐκ δὲ ποίας αἰτίας » γέγονα τοιοῦτος, συνιδεῖν οὐκ ἔχω. »

« Ἀλλ' οἶδ' ἔγωγ' » ἔφη « τὴν αἰτίαν· πλὴν, οἵαν » οἴομαι, πρὸς σὲ ταύτην ἐρῶ. »

« Εἰπὲ », εἶπον ἐγὼ « πρὸς Θεοῦ, καὶ μηδὲν κρύψῃς. »

« Πιστεύω », εἶπεν « υἱέ· δι' οὐδὲν ἄλλο γέγονας » τοιοῦτος ἡλίκος νῦν ἦσθα, ἢ δι' ἣν κέκτησαι πίστιν » ἐς βασιλέα ἀκλόνητον, ὅτιπερ οὐδ' ἐν ὀνείροις ἠβου- » λήθης πώποτε γενέσθαι τούτου γε ἄπιστος, κἂν ὅσα » δεινὰ πολλά τε καὶ μεγάλα πέπονθας. Εἰ γὰρ παρη- » σπόνδεις καὶ αὐτὸς, εὑρισκομένου σου ἐν Λήμνῳ, ὥσπερ » καὶ ἄλλοι μὲν πολλοὶ, οὐχ ἥκιστα δ' ὥσπερ ὁ θρυλ- » λούμενος κερασφόρος Κεράντζης (1) ἐκεῖνος, ὁ ἑβδο- » μήκοντα μόνον ἐς περιουσίαν ἔχων τότε νομίσμα- » τα, καὶ τῷ ἀδελφιδεῖ τοῦ γενναιοτάτου αὐτοκρά- » τορος τῷ χαριτωνύμῳ (2) ἐκείνῳ βασιλεῖ ἠκολούθεις

(1) Est lusus in κερασφόρος et Κεράντζης. Talia Mazari valde placuerunt. Plurima congessit ex ejus libello petita exempla Hasius p. 137. Sic plebs dicacula ludebat in Arbazacii nomine. Ἀρβαζάκιος Ἴσαυρος, Eunapius Suidæ inquit p. 315 = 117, ἐπὶ Ἀρκαδίου βασιλέως, ὃν Ἀρπαζάκιον ἐκάλουν διὰ τὸ πλεονεκτεῖν: scilicet Ἀρπαζάκιον quasi ἁρπακτικόν. Arbazacius iste μουσουργοῖς συνέζησε τοσαύταις, ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν εἶχεν, οὔτε ἕτερός τις τῶν διακονουμένων· καὶ οἵγε προσήκοντες αὐτῷ λογισταὶ τῶν στρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν στρατιωτῶν ᾔδεσαν, τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτοῦ διέφυγεν. Conjecit nuper vir doctissimus αὐτοὺς pro αὐτοῦ, quam conjecturam non intelligo. In voce Μουσουργοὶ, particula hujus loci cum pauxilla varietate repetita fuit, ac sine αὐτοῦ. Poterit αὐτοῦ vel in αὐτὸν mutari, vel, quod satius est, servari; sensusque erit, qui fuit in Latina versione significatus: « scortorum » vero multitudo vel manuum » ipsius numerum fugiebat », scilicet, vel numerum qui ex arithmetica per digitos supputatione iniri posset. Et notandum, quod conjecturam αὐτοὺς quoque refellet, imitationem inesse Pindarici loci Ol. II, extr.: ψάμμος ἀριθμὸν περιπέφευγεν.

(2) Χαριτώνυμος, id est, qui

» ἐν τῇ Φιλίππου, οὔτ᾽ ἂν ὁ ἐκ Λιβύης χίβδηλος (1)
» Χῖος ἐκεῖνος ὁ καὶ βδελυγμίας θετολόγος διέβαλεν ἄν
» σε, ὅτε κατὰ σοῦ κακὰ καὶ διενοήσατο καὶ πεποίηκεν ὁ
» κολοιόφθαλμος φῶξ κατὰ Κλαυδιώτην, ὁ μελαίνης
» μὲν καὶ λευκῆς χρηματίσας θαλάττης ἀπογραφεὺς
» δοκιμώτατος, νῦν δὲ θεόληπτος, μᾶλλον δὲ φρενό-
» ληπτος, ναζιραῖος (2) γενόμενος, ἱκανὸν δ᾽ ἂν εἶχες
» ἀργύριον, δόξαν τε καὶ τιμὴν καὶ ὑγίειαν, καὶ μεγάλας
» ἐλειτούργεις ἂν λειτουργίας, ὥσπερ τὸν κερυλκῷ
» τετρωμένον βέλει (3), μελάντερον Κεράντζην ἐκεῖ-
» νον, καὶ τὸν ὁμοίως καπνίαν (4) Ταρχανειώτην, καὶ
» τὸν μολυβδοχαλκόχρωον Μαχητὰν ἐκεῖνον, καὶ
» ἄλλους πολλούς. »

« Ἐκ παλαιοῦ ἂν ἐγίνωσκον καὶ αὐτός », ἔφην.
« Οὕτως ἔχει, ὡς ἔφησθα. Πλὴν ἐδεδοίκειν λέγειν,
» ἵνα μὴ καὶ τοῦτο μετὰ τῶν λοιπῶν προσθήκη μοί
» τις γίνηται, καὶ πολλῶν κακῶν ἀφορμή· ἡ γὰρ διη-
» νεκὴς ἀθυμία, ἣν νύκτωρ καὶ μεθ᾽ ἡμέραν εἶχον,
» καὶ αἱ τοῦ κρατοῦντος ὀργαὶ, καὶ τὸ πονηρὰν εἰς
» ἐμὲ πάντοτε δόξαν ἔχειν, τοιοῦτον, ὡς ὁρᾷς, ἤδη
» πεποίηκε. »

« Μέγαν ὄκνον », ἔφη « υἱὲ, καὶ πολλὴν ἔχω δειλίαν,

Joannis nomen habet. Hebraice enim Joannes *gratiam* significat, quod ostendi t. I : conf. Wernsdorf. ad Philen pag. 133. Significatur Manuelis fratris filius, Joannes Palæologus. De Manuelis patre Joanne Joannes Diaconus in ejus panegyr. v. 241 : Παλαιολόγον τὸν στῤῥὸν, τὸ θαῦμα τῆς ἀγάπης, Τὸν κλῆσιν χαριτώνυμον, τὴν βρύσιν τῶν χαρίτων· conf. et v. 5.

(1) Codex, χίβδηλος : quod reliqui. Potuit auctor sic vocem male scribere, ut lusus inter Χῖον et χίβδηλον esset apertior; præsertim quum et sint qui nomen κίβδηλος a Chiis derivent.

(2) Codex, ναζηραῖος. Vid. notam t. II, p. 411, coll. Albertio Gloss. N. F. p. 18.

(3) Conf. pag. 140.

(4) Codex, καπνίας.

» πλεῖστά τε πεφόβημαι, καθάπερ πτηνῆς ὄμμα
» πελείας, κατὰ τὸν ποιητὴν (1), περὶ τῶν ἐμῶν μὲν
» υἱῶν, σῶν δὲ ἑταίρων, ἵνα μὴ γένηταί τι τοιοῦτον
» καὶ πρὸς αὐτοὺς, ὁποῖον ἄρα καὶ ἐπὶ σοὶ γέγονεν.
» Ἔμαθον γὰρ παρὰ τῶν ἀπὸ βίου ἀφικνουμένων,
» ὅτιπερ ἐβούλοντο πρὸς ἄρκτον ἀπελθεῖν, καὶ τῷ
» εὐεργετικωτάτῳ βοεβόδᾳ (2) δουλεύειν πρὸς τὸ καὶ
» τούτους πλουτῆσαι, ὥσπερ πεπλούτηκεν ἐξαπίνης
» ὁ ἀοιδὸς Πῶλος Ἀργυρὸς ἀπελθὼν, παρὰ δὲ τοῦ
» πρὸς μητρὸς θείου τοῦ Ἀκράγαντος ἐκωλύθησαν,
» καὶ εὑρίσκονται νῦν ἐν τῇ παλαιᾷ ἄτῃ. Ὧν ὁ μὲν νεώ-
» τερος, ὁ ἐκ Πατροκλέους ἀφικόμενος Ἀλουσιάνος (3),
» ἐν τῷ χορῷ τῶν ἔνδον συναναστρεφομένων εὑρίσκε-
» ται, τοῦ τε Λουκίου ἢ ὄνου (4), τοῦ τῆς ὀπώρας
» Κυδωνίου ἢ προβάτου (5), τοῦ πυγὴν νύττοντος Πυ-
» γωνίτου, τοῦ δεινοπλήγου Ζωτικοῦ, καὶ τοῦ Βερο-
» νικέος (6) πυθίκου τοῦ Ἀνδρονίκου, καὶ, πρὸ τούτων,
» τῶν κορυφαίων, τοῦ τε Συρματθαίου (7) τοῦ χρυσοεγ-
» κεφάλου, τοῦ καὶ ἐς ἀπόπατον ἄνευ διαγνώσεως

(1) Sophocl. Aj. 139 : *Μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι, Πτηνῆς ὡς ὄμμα πελείας.*

(2) Est gallice *vayvode.* Vide Cangium.

(3) Aristoph. Pl. 84 : *ἐκ Πατροκλέους ἔρχομαι, Ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο.*

(4) Lusum quæsivit ex Lucianeo libello cui lemma *Λούκιος ἢ ὄνος.*

(5) Innuitur, puto, Demetrius Cydonius. Ludit circa nomen *κυδώνιον μῆλον*, capto *μήλῳ* et de fructu et de ove. Est festivior nimium iste Mazaris.

(6) Codex *βερονικέος.* Synesius Epist. 79 : *ἄρχει γὰρ παρ' ἡμῖν ὁ Βερονικεὺς Ἀνδρόνικος, ἀπορρὰς ἄνθρωπος.* Synesii verba respexit Mazaris. — Forsan *πιθήκου.*

(7) Videtur esse compositum nomen e *σὺρ* et *Ματθαῖος* : *σὺρ* pro Occidentalium nomine *sire.* Est apud Ducam p. 91, *σὺρ Γεωργίου.* Notissimus est ex Cantacuzeni historia *Συργιάννης* in Andronicorum rebus.

» ἀστρολάβου μὴ ἀπερχομένου, ϗ τοῦ κοπρίου μικροῦ
» Θεοδοσίου, τοῦ ἐν τοῖς ὕπνοις λευκὴν ἠμφιεσμένου
» ἐσθῆτα βασιλικήν· ἅτερος δ' ὁ πρεσβύτερος, ὁ
» Πεπαγωμένος (1) μὲν ὠνομασμένος, παρωνύμως δὲ
» Σαυρομάτης γε κεκλημένος, ἐν τῷ καταλόγῳ τῶν
» μιαιφόνων βροτολοιγῶν (2), οἷόν γε τοῦ κατὰ Λα-
» τίνους Ὀνοκεντίου (3) τοῦ τὰς φρένας πεπηρωμένου,
» τοῦ αὐταδέλφου τούτου τοῦ ἐοικότος Λιβίστρου,
» τοῦ ἐκκεκωφωμένου ϗ ἐμβροντήτου Μαλάκεος, καὶ
» τοῦ, κατὰ Συνέσιον (4), ὀργὴν ἠλιθμημένου Πεντα-
» πόλεως, Πέτρου, καὶ, πρὸ τούτων, τοῦ κερβέρου
» Κωνώνη, τοῦ ἀντ' ἀλεξιτηρίου κώνειον (5) τοῖς ἀν-
» θρώποις παρεχομένου, καὶ τοῦ ῥᾳδίως ϗ ἀναιμωτὶ
» πρὸς Χάρωνα τοὺς πονήρως ἔχοντας προοδοποιου-
» μένου Χαρσιανίταο. »

« Θάῤῥει », ἔφην ἐγώ « ϗ ἔχ' ἀτρέμας· οὐδὲ γὰρ
» ἂν πάθωσί τι τοιοῦτον, ἕως ἂν ὦσιν ἄζυγες· ἐπει-
» δὰν δέ γε βουληθεῖεν γῆμαι, τότ' ὄψει τούτους
» ὁμοίους ἐμοὶ καὶ χείρονας. Ἔγωγε μὲν γάρ, ἕως
» μόνος ἔζων, ἀπήλαυον ἱκανῆς δόξης τε καὶ τιμῆς,
» οἵας ἦν εἰκὸς ἀπολαῦσαι, ϗ πλούτου, ϗ ἄλλων ὧν
» οἶδας ἀγαθῶν· εὐθὺς δὲ (φεῦ μοι!) τὸ (6) γῆμαί με
» παρὰ πόδας ἠκολούθησαν αἱ δυστυχίαι, ἐπεὶ ταῖς

(1) Conf. p. 142, n. 2.

(2) Cf. p. 114, n. 3; p. 131, 11.

(3) Putat vere Hasius, alludi ad Latinum nomen *Innocentius*.

(4) Codex, συνέσιον. Synesius igitur Epist. 47 : ἀελίθμει ϗ Πέτρον ὀργὴν Πενταπόλεως.

(5) Codex, κώνιον. Hasius, eos circa nomina lusus recensens pag. 137, scripsit ἀλεξητηρίου κώνειον. Illud non mutavi, quod et p. 152 legetur. Nomen medici Κωνώνη et κώνειον, ut Χαρσιανίτης et Χάρων frigide componuntur.

(6) Ita codex. In alio scriptore statim scripsissem τῷ, quæ foret melior syntaxis verbi ἀκολουθεῖν. Cf. p. 124, n. 2.

» ἀρεταῖς, κατὰ τὸν εἰπόντα (1), παραπεπήγασιν
» αἱ κακίαι. Καὶ φαίνομαι, ὡς ὁρᾷς, τοιοῦτος. »

« Καὶ τοιοῦτος » ἔφη ἐκεῖνος « κἂν ᾅδου βούλει γε
» διατρίβειν; »

Ἦν δ' ἐγὼ πρὸς αὐτόν· « Οὐχί. Ἀλλ', ἐπειδήπερ
» ἐν τῷ δυστήνῳ βίῳ πενίαν παρὰ πόδας καὶ ἀδοξίαν,
» φυγήν τε καὶ ἀτιμίαν, προπηλακισμούς τε καὶ δια-
» βολὰς καὶ συκοφαντίας, ἔτι τε νοσημάτων ἐπαλλή-
» λων ἰδέας, καί, τὸ δεινότερον, φοβερισμοὺς καὶ
» βασιλέως ὀργήν, καὶ θεατρισμοὺς νῦν μὲν ἐν πόλεσι
» νῦν δ' ἐν νήσοις, οὐκ ὀλίγας τε ζημίας, καὶ παίδων
» ἀποβολήν, καὶ ἄλλα μυρία, καί, τὸ πάντων χαλε-
» πώτατον, ὡς οὐ μέχρι τῆς παρούσης ὥρας τὰ
» δεινὰ ἔστη, ἀλλ', οὕστινας βούλεται ὁ γενναιότατος
» αὐτοκράτωρ φοβῆσαί τε καὶ ἐκπλῆξαι, ὁπόταν εἰς
» λειτουργίας ἐκπέμπῃ, ἐμέ τε τὸν δύστηνον καὶ τὸν
» Μελικνάσαρ, καὶ ταλάντατον Βουλωτὴν παραβάλ-
» λει, ποιῶν τε καὶ ἐξελέγχων κακίας καὶ φοβερισμοῦ
» καὶ παραδείγματος στήλην· ἐπεὶ οὖν ταῦτα πάντα,
» συναιρομένου Θεοῦ καὶ ἀρήγοντος, γενναίως τε καὶ
» μεθ' ὅσης ἂν εἴπῃ τις μεγαλοψυχίας καὶ ἀνδρίας
» ἤνεγκα, προσδοκῶ, κατὰ τὴν ἐν τοῖς θείοις εὐαγγε-
» λίοις φωνὴν (2), ἀπόλαυσιν ἀγαθῶν καὶ ἀταλαίπω-
» ρον ζωήν, καὶ τἄλλ' ὅσαπερ ἐπαγγέλλονται τοῖς ἀν-
» δρείως δεινὰ ἐνεγκοῦσι. »

Τούτων οὕτω παρ' ἐμοῦ λεγομένων, καὶ μήπω πέρας τῆς ἐμῆς διηγήσεως εἰληφυίας, ἧκεν, ὡς ἐκ θαλάμου,

(1) Gregorium scilicet Naz., cujus hæc reperi verba in Stephani Thesauro : παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι καὶ εἰσί πως ἀγχίθυροι.

(2) Conf. Matth. v, 10.

ἐκ μύνθου (1), δρομαῖος καὶ ὁ περιφανὴς πρεσβύτης
ἐκεῖνος Ἀντίοχος, μᾶλλον δὲ γυναικομανὴς, καὶ, πρὸ
τοῦ ἀσπάσασθαί με κατὰ τὸ εἰωθὸς καὶ περιβαλεῖν,
ἤρετό με πρῶτον· « Τί ποιεῖ, ὦ οὗτος, ἡ ἐμοὶ περι-
» λημένη καὶ ἐπέραστος ἐκείνη, ἣν νύκτωρ καὶ μεθ' ἡμέ-
» ραν διὰ μνήμης εἶχον, κἂν τῇ Βρεττανίᾳ κἂν τῇ
» Γαλίᾳ (2) καὶ πανταχοῦ, καὶ ἔτι νῦν ἐς ἀΐδαο ἔχω,
» ἣν ἐλπίζω καὶ ἐκδέχομαι ὅσαι ὧραι ὧδε ἐλθεῖν; Τοῖς
» γὰρ πόθῳ κάμνουσι, κατὰ τὸν εἰπόντα (3), βίος
» ὅλος ἡμέρα μία· εἰ δ' ἀπέραντος ὁ αἰὼν, πῶς οἴει
» με πάσχειν, ξεῖνε; Ὅθεν καὶ δέομαί σου, φίλτατε,
» εἴπερ σώζεται τὸ κάλλος ἐκείνης καὶ ἡ περιουσία
» φράσον, πρὸς ἀληθείας. Βούλομαι γὰρ τοῦ ἐλ-
» θεῖν (4) ὧδ' εὐθὺς ἐκείνην γῆμαι. »

« Ποίαν, ὦ δύσμορε καὶ γυναικοφρενόληπτε καὶ φῴ-
» δων (5) ὄζων », ἔφην ἐγώ « λέγεις; »

Καὶ ὃς « Τὴν πλησίον τῆς πύλης οἰκοῦσαν τοῦ ἁγίου
» μάρτυρος Ῥωμανοῦ (6), δυστυχέστατε », εἶπε,
« τὴν πολὺν οἶνον γεωργουμένην, τὴν σπαθῶσάν τε (7)
» καὶ κεκοισυρωμένην (8), καὶ ἄντικρυς ὡς ἐξ ἀνατολῆς
» λάμπουσαν, Ἀνατολικήν (9). »

(1) Ita codex. An μίνθου?

(2) Fuerat igitur ille Antiochus Manuelis in itinere comes.

(3) Respici videtur Theocritus, qui Id. XII: οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσι.

(4) Videtur subaudiendum ἅμα ante τοῦ. Syntipas: ἅμα τοῦ συμμιγῆναι· cf. ibi nota p. 199.

(5) Id nomen sumtum e Pluto 535, ubi vide quæ notavi.

(6) De porta Constantinopoleos quæ a S. Romano nomen habebat, vide Cangii CP. Christianam.

(7) Sumsit ex Nubibus 54: cf. t. II, p. 420, n. 3, et Albert. Observ. philol. p. 398.

(8) Et id est Aristophanicum: cf. supra pag. 138, n. 1. Hasius hoc loco usus κεκοισυρ. recte scripsit: codex, κεκοισσ.

(9) Ludit rursus in nominibus Ἀνατολικὴ et ἀνατολῆς.

« Τὸ μὲν κάλλος » ἔφην « ἐκείνης, ὦ γυναικομανὲς, » ὡς ἠρινὸν ἀπεῤῥύη κρίνον (1), ὁ δ' ὄλβος ἅπας διεφθάρη, ὑπὸ τοῦ ὡς ἐκ νεκάδων φθεγγομένου υἱοῦ αὐτῆς, τοῦ » τὰς φρένας ἐν πτέρναις ἔχοντος (2), Ἀνατολίου. »

« Παπαί »! εἶπεν ὁ ἐρωτομανής· « ὁ θειότατός » μοι κεκώλυκε βασιλεὺς τοῦ μὴ γῆμαί με ταύτην. » Διάτοι γε τοῦτο, καθώσπερ ἡ τύχη τῆς τοιαύτης » εὐδαιμονίας ἐμὲ κεκώλυκεν, οὕτως ἐλπίζω καὶ τὰ » τῶν Ῥωμαίων γενέσθαι πράγματα. »

Κἀγὼ εἶπον· « Ὦ καταγέλαστε, ἔτι γε διὰ μνή» μης ἐν ᾅδου γυναῖκα ἔχεις, τριπέμπελος ὤν, καὶ » ταῦτα τοῦ Χάρωνος τὸ ξύμβολον δεδωκότος σοι (3); » ἢ ἐπελάθου ὡς θυγατέρας καὶ παῖδα ἔχεις τὸν » Κακοαλέξιον (4), φορτολόγον τε ὄντα δεινόν, καὶ ἔμ» πειρον ἐν λειτουργίαις, καὶ πρὸς τούτοις φῶρά τε » καὶ κυμινοπρίστην (5); »

Ἀναπολήσας οὖν κατὰ νοῦν καὶ μνησθεὶς ἔφη· « Ναί. » Ἀλλὰ διόπερ οὐχ εὑρίσκεται εἰς ἣν ἤμην ἔγωγε » ὑπηρεσίαν καὶ ὁ τοιοῦτος, οὐμενοῦν φιλῶ αὐτόν, » οὐδὲ τούτου γε μέμνημαι. Λυσιτελέστερον γὰρ ἦν ἂν » αὐτῷ μεθ' ὧν συνανεστρεφόμην καὶ τοῦτον συνανα» στρέφεσθαι, ἢ φορτολογεῖν καὶ λεγδολογεῖν (6) οὕτω » μανικῶς μεθ' ὧν ἐξυπηρετεῖν εἵλετο. Εἴπερ οὖν ὡς

(1) Anonymus in meis ad Marinum notis p. 70 : Ἀνθεῖς· ἀπανθεῖς· τοῦτο δὴ καὶ τοῦ κρίνου.

(2) Conf. nota ad Marini Proclum p. 70. Demosthenes Orat. de Halon. fin.: εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις, καὶ μὴ ἐν ταῖς πτέρναις πεπατημένον, φορεῖτε.

(3) Ex Pluto 278.

(4) Conf. p. 130, n. 5.

(5) Est id nomen supra t. I, p. 167 f. in Libanio. Vide Moschop. Περὶ σχ. pag. 5; Menag. Amœn. jur. c. 33; Schacht. ad Matth. XXIII, 23; Spanheim. ad Cæsares, &c.

(6) Ita codex. Forsan λεπτολογεῖν.

» φὼρ φωραθείη, δέδοικα μὴ τὰ ὅμοιά σοι δεινὰ » κἀκείνῳ γενήσεται. »

Σὺν τούτῳ ἧκεν ἐκ γαλαξίου πόλου καὶ ὁ τὰς αἶγας πρότερον Μελγουζὴς ἀμέλγων περὶ τῶν υἱῶν ἐρωτήσων, εἰ ἄρ' ὠτακουσταὶ γεγόνασι καὶ οὗτοι, ὥσπερ ἦν κἀκεῖνος. Καὶ μετ' αὐτὸν ὁ ἐκ ποταμίων ῥευμάτων Ἰαπετὸς ἐκεῖνος Ποτάμιος, ὁ πρὸς ὕβρεις ῥήτωρ δεινὸς, πρός τε τὸ λέγειν πρός τε τὸ γράφειν, ἧκε βουλόμενος καὶ οὗτος μαθεῖν, περί τε τοῦ δυτικοῦ παιδαρίου, τοῦ τὰς αἰσθήσεις μεμυκότος Καμύτζη (1), εἰ ἄρα γε καὶ ἔτι δροπακίζεται (2), καὶ περὶ τοῦ κοκκίνου χαρχαρόδοντος (3) Χαρσιανίτου, τοῦ ἀκολάστου τε καὶ οἰνόφλυγος (4) εἰ ἔτι καὶ νῦν παλλακὴν ἔχει, καὶ εἰ τὸν ἄκρατον ἐκροφᾷ ὥσπερ πρότερον ἔσπα.

Σὺν τούτῳ ἤλυθεν ὁ Κλαυδιώτης ἐκεῖνος ὁ χοίρων σούπασις (5), κατὰ Παδιάτην, βεβαμμένας καὶ τὰς τοῦ πώγωνος καὶ τῆς κεφαλῆς ἔχων τρίχας ἐκ κοράκων ὠῶν· φασὶ γὰρ οἱ ταύτας βάπτοντες, μετὰ κοράκων βάπτειν ὠῶν μελανὰς (6), ὡς ἐκ κογχύλης

(1) Καμύτζης, μύειν, καμμύειν, Mazari inficetos ludos præbuerunt, ut modo Μελγουζὴς et ἀμέλγειν. Sic lusit Theodorus Prodromus in epitaphio Constantini Camutzæ, quod edidit Dutheilius Notit. Mss. t. VIII, 11, pag. 212: Ὑπνοῖ δὲ, μύσας τὰς πτύχας (non πτύκας) τῶν ὀμμάτων..... Εἶτ' οὐ λέγεις μοι, τύμβε, τὴν Ῥώμην (scilicet τὴν νέαν) μύσαι, Τῶν τοῦ σεβαστοῦ καμμυσάντων ὀμμάτων;

(2) Melius fuerit δρωπακ. Cf. t. I, p. 238, n. 1.

(3) Sic codex. Putat Hasius p. 137 a vulgari scriptura καρχαρ. recedisse auctorem, ut plenior esset quam quærebat alliteratio inter Χαρσιανίτης et χαρχαρόδους. Conf. p. 144, n. 1.

(4) Codex, οἰνόφληγος.

(5) « Je n'ose décider », Hasius ait p. 134, « si le dernier mot » désigne un nom propre, un » nom de dignité, ou simplement » une injure. » Cangio est Bassæ vicarius. Vide Addenda.

(6) Cod. μέλανας. « Forsan με» λαίνας », Hasius ait p. 135, ubi de comæ tinctura nonnulla eru-

πορφύραν. Πρὸ τοῦ ἀσπάσασθαί με οὖν καὶ περιβαλεῖν, τάδ' ἔλεξε σπουδάζων μᾶλλον ἢ παίζων·

« Οὐκ ἔλεγον, ὦ μυρωτικὲ σύντεκνε, ὡς πᾶν ὅσονπερ ποιεῖ ὁ εὐεργετικώτατος Ζωσιμᾶς πρὸς τὸν ἄστατον καὶ κατάπτυστόν μοι υἱὸν Αἰτίνην, χαώνει (1) αὐτό, ὡς εἰς βυθὸν ῥίπτων; οὗτος γὰρ ἐς ὕστερον παλινδρομήσειεν ἂν πρὸς Ἰσμαηλίτας (2)· οὐδεὶς γὰρ περιτετμημένος ἀκροβυστίαν τὸ πάγιον ἔχει καὶ ἀσφαλὲς πρός τε Θεὸν πρός τε βασιλέα, ἀλλ' ἐς ἀεὶ διὰ μνήμης τὰ τοῦ Μωάμεθ καὶ ἀρρενομανίας καὶ ἄλλης ἀσελγοῦς πράξεως ἔχει, ὥσπερ ἔγωγε διηνεκῶς διατρίβων ἐν Λήμνῳ εἶχον. »

« Ναί », εἶπον. « Τοιαῦτα μὲν ἔλεγες· πλὴν δ' ᾤμην ἐκ φθόνου σοι λέγειν (3) ταῦτα. »

dite monet. Rescripsi *μελανάς*. Recentiores utuntur adjectivo *μελανός*. Moschopulus Περὶ σχεδ. p. 135 : *πελιδνὸν τὸ βαρβάρως οὕτω λεγόμενον μελανόν*. Anonymus, in meis ad Planudis Metam. notis p. 652, *τόπον μελανὸν* dixit. Joannes Mauropus De signis physiognomonicis inter meas notas ad Marin. p. 132 : *κρείσσους (ὄνυχες) οἱ σαρκοειδεῖς τῶν μελάνων καὶ κιρρῶν*. Codex denuo a me inspectus, *τ. μελανῶν καὶ τῶν κιρρῶν*. Obiter ob adjectivum *μέλας* Theodorum Prodromum attingam Amar. : *ἡ κόρη κόχλῳ διεμελαίνετο· τοῦτό γε οὐκ αἴσιον συλλογισαμένου φιλοσόφου· μέλαινος γὰρ ἐκεῖθεν τοῦ τῆς λύμης ὑγροῦ καταρρέοντος, οὐκ εἰς μακρὰν τὸ σόφισμα ἐξελήλεγκτο*. Sic edidit, codicem suum sequutus, Dutheilius Notit. Mss. t. VIII, II, pag. 119, et notavit se ex industria *μέλαινος* et *λύμης*, pro Gaulminianis lectionibus *μέλανος* et *λήμης*, scripsisse. Pessime factum. Nam *μέλαινος* vox est nihili, et *λύμης* sensu caret. Putidulus senex oculos stibio pinxerat, non callide; siquidem humor lippitudinis, quum sic niger flueret, artem hominis malam prodebat. Facta fuit *τῆς λήμης* ejus mentio p. 115.

(1) Sic codex. Melius fuerit, puto, *χαόνειν*. Scriptura varia est et antiquior verbi, quod nunc plerumque cum forma *χάνειν* reperitur : conf. Corayus ad Plut. t. II, p. 365.

(2) Codex, *Ἰσμαιλίτας*. Scripsit Hasius p. 138, quod scripsi. Monuit idem nomen filii ejus esse *Aidin*, *Αἰτίνης*.

(3) Vel *σε λέγειν*, vel *σοι λέγεσθαι*.

Τούτων ὕδατος ἧκεν, ὡς ἀσπὶς βύων τὰ ὦτα (1), ἐκεῖνος ὁ Ἀσπιέτας, ὁ λόγοις μὲν ἡδυεπὴς, ἔργοις δ' ὥσπερ ἀσπὶς δάκνων, ὑφ' οὗ καὶ αὐτὸς δηχθεὶς, μέχρι τοῦ νῦν θανατῶ. Λέγεται γὰρ ὡς ὁ ὑπὸ θηρίου δηχθεὶς ἀλεξιτήριον ἂν ἐθεράπευσε φάρμακον, ὁ δ' ὑπ' ἀνθρώπων φαύλων, οὐδὲ εἰπεῖν ἐστιν ὅσοι ἀπολώλασι, καὶ πόλεις πᾶσαι (2) καὶ ἰδιῶται καὶ νῆσοι καὶ βασιλεῖς. Μακρόθεν οὖν με ὡς ἑώρακε, βοῶν ἔλεγε· « Τῶν φλωρίων οὐκ ἐπελαθόμην τῶν ἐν τῇ Γαλίᾳ, » ἅπερ ἠδίκηκε καθαρπάσας ὁ τετρυχωμένος καὶ δίκην » Ἡφαιστίου βαδίζων ἀσαφὴς Σταφυδάκης (3)· ἀλλὰ » τούτων μέμνημαι καὶ μεμνήσομαι, κἂν πίω κἂν οὐ » πίω τὸ τῆς λήθης ὕδωρ. Καὶ γὰρ, ὅταν εἰς τοῦτον » ἥξῃ τὸν χῶρον, δρομαῖος ἀπελθὼν εἰς τὸν Μίνω, » ἐγκαλέσαιμι ἂν τοῦτόν γε περὶ τούτων. »

Μετ' αὐτὸν ἧκε καὶ ὁ ἐκ Λατίνων Βαρθολομαῖος Ντεαλαγάσκος ἐκεῖνος καὶ λατινικῶς με προσαγορεύσας, « Μπεβένια μισὲ (4) », μειδιῶν ἤρετο· « τί

(1) Psalm. LVII, 4: θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὥσπερ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.—Ludit in ἀσπὶς et Ἀσπιέτας.

(2) Malim ὅλαι. Ceterum notanda syntaxis plane ἀσύντακτος.

(3) Rursus lusus in ἀσαφὶς et Σταφυδάκης. Proximis utebar ad Marinum p. 79, ubi de τῷ τῆς λήθης πώματι. Quæ ibidem Fabricius adduxit Procli tunc inediti verba, γενεσιουργὸς λήθη, nunc legi possunt in commentario Alcibiadeo p. 7, 3. Sententia similis est Melogalæ in Notit. Mss. t. VI, p. 508: τοιαύτης πέρ πως αὐτὸς ἐγγόνει, ἣν δοκῶ μοι οὐκ ἐπιλήσεσθαι, εἰ καὶ τοῦ πώματος ἐκείνου πίοιμι, τοῦ πᾶσαν ἐμποιοῦντος λήθην τοῖς ἐκεῖ γεγευμένοις.

(4) Hasius de hoc loco, pag. 133: « ντὲ est certainement le *de* » français ou latin.... Quant au » mot altéré Ἀλαγάσκος, je ne sais » ce que l'auteur a voulu désigner. Serait-ce *de la Gascogne?* » Μπὲ βένια (prononcez *Be venia*), μισὲ, sont probablement » quelques mots de la langue » franque; peut-être, *ben venga*, » *Messer*, ou *Monsieur*. » For-

» πράττει, ὦ ἐπέραστε, ὁ ἐμὸς μὲν υἱὸς, σὸς δὲ » ἑταῖρος ἐν ταῖς αὐλαῖς ταῖς βασιλικαῖς; ἆρ' εὑ» ρίσκεται καὶ ἔτι ἐν ταῖς τοῦ ἅλατος λειτουργίαις » ὡς πρότερον; ἢ λόγων μόνον καὶ μηνυμάτων δια» πορθμεύς ἐστι Λατίνων καὶ Γραικῶν; »

Κἀγὼ, μόλις ἀναγνωρίσας τὸν ἄνδρα, κεκαρμένην γὰρ εἶχε καὶ τὴν ὑπήνην (1) καὶ τὴν κεφαλὴν, « Ἑκάτερ' » εἶπον, « καλῶς αὐτῷ (2) πράττει, καθηγητὰ εὐγενέ» στατε. Πλὴν ὑπόκειται μόνον τισὶ λογισμοῖς τῶν » τοῦ ἅλατος καταστίχων. »

Ὁ δὲ, κινήσας τὴν κεφαλὴν, καὶ τῇ παλάμῃ τῇ ἑτέρᾳ παλάμην κρούσας, καὶ βύθιον στενάξας, ἤρετο· « Καὶ τίς ἐστιν ὁ τοὺς λογισμοὺς τῶν Ῥωμαίων ποιῶν » νῦν, καὶ ὁ τοῦτον λογίσασθαι ὀφείλων; »

« Οὐκ οἶσθα » ἔφην « τὸν ἐκ Βαβυλῶνος ἐλθόντα » τότε ἐν τῇ Χρυσῇ, καὶ κρινόμενον μετὰ τοῦ Ἰαπετοῦ » Πελοποννησίου ἐκείνου ἀσόφου Σοφιανοῦ περὶ τῶν » ἐς Ἀλεξάνδρειαν πεμφθέντων βασιλικῶν ξύλων; »

« Τὸν ψωριῶντα λέγεις Μισαὴλ Μουσκαρᾶνον, τὸν » διαβολέα, τὸν κατάπτυστον καὶ ὕφαλον, καὶ λω» ποδύτην, τὸν οἰόμενον εἰδέναι τά τε ὄντα τά τ' ἐσό» μενα, πρό τ' ἐόντα (3), πλὴν δ'. ἀναιδείας ὄντα » οὐδὲν, τὸν ῥαμπλιστὴν (4), καὶ σολοικιστὴν, καὶ λα» τινόφρονα, τὸν τὴν ἀκροβυστίαν περιτετμημένον, » τὸν οὐδὲ πρὸς Θεὸν τὸν ἐν Τριάδι ὑμνούμενον, οὐδ' εἰς » βασιλέα πίστιν ἀκλόνητον ἔχοντα, τὸν πᾶσι τοῖς

san, Μπὲ βένι, ἀμισέ: verbis latinioribus, « bene venisti, amice. »

(1) Codex, ἠπείνην, et ad marginem ὑπήνην.

(2) Forsan αὐτῷ: ni sit καλῶς πράττει ἑκάπερα pro καλῶς ἔχει.

(3) Ex Homero Il. A, 70. Codex, πρῶτ'.

(4) Astrologum, ni fallor. Vide Cangii Gloss. in Ῥάμπλιον.

» ἄλλοις αὐτοῦ φίλοις οὐ κατ' ἀλήθειαν, ἀλλὰ πρὸς
» χάριν καὶ δόλους καὶ ἀπάτην, φιλοῦντα (1); Του-
» τονὶ τὸν παμμίαρον καὶ παράληρον καὶ παραπλῆγα
» καὶ ἀκόλαστον φὴς, ὅτι βούλεται λογίσασθαι τὸν
» ἐμὸν υἱὸν φίλτατον; »

Καὶ « Ἐκεῖνον » φημί « τὸν τριβολαῖον, μᾶλλον δὲ
» τὸν τριοβολιμαῖον (2). »

Καὶ ὃς, λαβόμενός μου τῆς χειρὸς, ὑποτρέμων
φησίν· « Ἐγὼ ἀκήκοα παρὰ τοῦ χρηστοῦ Ὁλοβόλου,
» ὅτι παλινδρομῆσαι βούλοιο ἐν τῷ βίῳ· καὶ εἴπερ
» οὕτως ἔχει ὡς ἀκήκοα, ἀνάμνησον τὸν γενναιότα-
» τον αὐτοκράτορα ἐξ ἐμοῦ κρύφα τάδε· ὡς οὐ δεῖ
» τοῦτον τὸν μιαρὸν καὶ ἀκάθαρτον, καὶ λατινόφρονα
» καὶ συμβαλομάχον, Ἰσκαριώτην μᾶλλον ἢ Μου-
» σκαράνον (3), πρεσβευτὴν ἐν τῷ τοῦ Γαλατᾶ
» ποτεστάτῳ (4) πέμπειν. Ἦ μὴν ὡς ἀλοκόρπον δεν-
» δίω (5), νῦν μὲν τῇ τούτου συμβουλῇ τὴν βασι-
» λικὴν σημαίαν ὁ ποτεστάτος ἀναιδῶς χαμαὶ ἔῤῥιψε·
» κἀκ τοῦ παραυτίκα μετακληθεὶς, καὶ ὡς ἐκ μέθης
» ἀνανήψας, ὡς τὸ πρότερον αὐτὴν ἔστησε, μετὰ
» πομπῆς θαυμαστῆς καὶ δόξης ὅτι πολλῆς. Εἴπερ
» οὖν οὐδὲν παραπέμψῃ (6) τοῦτον ἐς κόρακας, ἐς αὔ-
» ριον πολλὰ δεινὰ καὶ μεγάλα τῇ βασιλίδι τῶν

(1) Ita codex, φίλοις..... φιλοῦντα. Conf. pag. 136, n. 2.

(2) Conf. p. 139, n. 3.

(3) Ludit in Ἰσκαριώτης et Μουσκαράνος. Pro συμβαλομάχον, velim συμβολομάχον, scilicet symbolo fidei hostem, qui pugnaret acriter ut Græcorum symbolo verba καὶ υἱοῦ adderentur, quæ processionem S. S. duplicem assererent. Hasius tamen hæc verba allegavit nec ea suspecta habuit.

(4) Magistratus Genuensium qui in Galata suburbio Byzantii habitabant; *le podestat.* Mira syntaxis, ἐν ποτεστάτῳ πέμπειν.

(5) Sic codex.

(6) Scripsit, puto, παραπέμψει.

» πόλεων ἐργάσεται ὁ τοιοῦτος, τῇ ξυμβουλίᾳ (1) τοῦ
» πολυμηχάνου καὶ παλαμναίου καὶ ῥεραφανιδωμέ-
» νου (2) τοῦδε. Αὐτὸς γάρ ἐστιν ὁ τῶν ζιζανίων (3)
» σπορεὺς τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας· αὐτός
» ἐστιν ὁ τὴν θρυλλουμένην τῶν Ῥωμαίων νῆσον Θά-
» σον ταῖς ξυμβουλαῖς καὶ συνεχέσι γραφαῖς κατα-
» πείσας τὸν ἐκ θυγατρὸς κηδεστὴν, δυστυχέστατον
» Ῥαούλιον Μύρμηκα, ὥστε πρίασθαι.»

Τούτου τοίνυν οὑτωσὶ πρός με διηγησαμένου, ὁ χρηστὸς ῥαῖσας Ὀλόβολος, εὐθὺς ἀνέστη, καὶ, τῆς δεξιᾶς λαβόμενος, ἄγει με ἀπωτέρω, ἐν ᾧ πτελέαι (4) μὲν ὑψίκομοι, πάμπολλοι δὲ πεφύκασι πλάτανοι, ἐφ' οἷς καὶ καθήμενα ᾠδικὰ στρουθία ᾖδον ἡδέως μάλα γε καὶ ποικίλως, καὶ πρὸς τοῖς εἰρημένοις (5), « Ὦ » φίλτατε », μόνον ἔλεξεν.

Εἶτα μετὰ τὴν ᾠδὴν τῶν τοιούτων στρουθίων ὕστατος ἐλθὼν καὶ ὁ τῆς μουσικῆς κορυφαῖος λαμπαδάριος (6) ἐκεῖνος, φέρων ἐν τῇ χειρὶ λαμπάδα ἡμμένην, πρῶτον μετὰ μέλους ᾖσεν ᾠδὴν τὴν ἐκ νεκάδων,

Σύντρομον ᾅδης ἀφῆκε Μάζαριν,

ὥσπερ εἰώθει λέγειν ἐν βίῳ μοι. Ἔπειτ' ἤρετο·
« Πῶς ἔχουσιν οἱ ταλάντατοι καὶ τετυφωμένοι καὶ τρισ-
» άθλιοί μου υἱοὶ, οἱ τὴν πατρικὴν μὲν ἐξαρνησά-
» μενοι κλῆσίν τε καὶ ἐπιστήμην, τὴν δὲ μητρικὴν
» ἀεὶ ἀσπαζόμενοι; πρὸς φιλίας, φράσον μοι τὴν
» αὐτῶν καὶ πολιτείαν καὶ διατριβὴν τὴν ἐν βίῳ.

(1) Codex, συμβουλεία.
(2) Conf. supra p. 133, n. 4.
(3) Codex, ζηζανίων. Cf. p. 18.
(4) Codex, πτελαίαι. Bene est πτελέαι apud Hasium pag. 219.
(5) Sic codex.
(6) Non est nomen proprium hominis, sed officii ecclesiastici.

» Πολλοὶ γὰρ τῶν ἀπὸ βίου ἀφικνουμένων ἐτάραξάν » μου τὴν ψυχὴν καὶ τὸν λογισμὸν συνέχεον, λέγοντες ὡς » ὁ μὲν πρῶτος, ὁ παρὰ τῆς μητρὸς κληθεὶς Λήσκαρις, » τὸν μονήρη γε τάχα βίον ἠσπάσατο, καὶ τὴν κλῆ- » σιν ἀμείψας γέγονε ναζιραῖος (1), τὴν δὲ ἑταίραν » ἐκείνην τὴν διεσπεκλωμένην (2), τὴν ἐκ Σκυθῶν, τὴν » ἐκ παιδιόθεν συγκυλιομένην, οὐκ ἠρνήσατο, ἀλλ' » ὥσπερ λεπὰς (3) τῷ τοιούτῳ μιαρῷ γραϊδίῳ προσ- » κόλλεται, καὶ ἐν ἀγορᾷ, καὶ ἐν πανηγύρεσι καὶ ἐν » τριόδοις, καὶ ἐφ' ἑορταῖς, ἕπεται ταύτῃ γρυλλί- » ζων (4) μᾶλλον, ἢ προοδοποιῶν· καὶ οὐκ αἰσχύνεται » ὁ τρισάθλιος, μᾶλλον δὲ φρενόληπτος, οὔτε τὸ » σχῆμα ὃ ἐνεδύσατο, οὔτε τὸ τῆς μητρὸς γένος· » ἀλλὰ φέρει τὸ σχῆμα τοῦτο παραφρονῶν, ὥσπερ » λεοντῆν ὄνος (5)· ὁ δὲ δεύτερος ὁ Δρακοντώνυμος, » καὶ παρωνύμως Φυσίγναθος (6) κεκλημένος, τὸν ἀοιδὸν » Πῶλον ἰδὼν ἐκ Βλαχίας (7) ἐπανήκοντα μεθ' ἱκανοῦ » ἀργυρίου πρὸς τὴν ἐνεγκαμένην, ὥρμησε καὶ αὐτὸς » ἀπελθεῖν ἐκεῖσε, ὥστε πλουτῆσαι, καί, τῆς πατρί- » δος ἀπάρας, ἐναυάγησε, κἀκεῖθεν ἐπανήκων, δια-

(1) Cod. ναζηραῖος. Cf. p. 144, n. 2.

(2) Conf. p. 128, n. 5.

(3) Aristoph. Plut. 1096: Ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γραΐδιον, Ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται! Ibi glossator verbo προσίσχεται adscripsit προσκολλᾶται: quod præstat ignoto verbo προσκόλλεται.

(4) Codex, γρυλίζων. Iterum præivit Aristophanes Pl. 307: Ὑμεῖς δὲ γρυλλίζοντες ὑπὸ φιληδίας ἕπεσθε μητρὶ χοῖροι.

(5) Æsop. F. 258 Corayanæ. Theodorus Prodrom. in Notit. Mss. t. VIII, 11, p. 85: καὶ πλανώμεθα περὶ τὸν ὄνον τῇ λεοντικῇ, καὶ τῇ νυμφικῇ στολῇ περὶ τὴν γαλῆν. Quæ describens in oculos incurrit vicinus locus: εἴ ποθεν εἶχες... πτεροφονῆσαι, καὶ ὑπερβῆναι κατὰ τοὺς αἰετιδέας τὸν ἐλλιμνάζοντα· lego, πτεροφυῆσαι.

(6) Ranarum rex in Batrachomyomachia. Videtur homo iste buccis fuisse inflatis.

(7) Vide supra p. 145, et Hasium p. 138.

» τρίβει διακενὴς ἐν ταῖς αὐλαῖς ταῖς βασιλικαῖς. »

« Οὕτως ἔχει τὰ κατ' ἐκείνους », εἶπον αὐτῷ « ὡς
» λέγεις, ἀνδρῶν μουσικώτατε· ὁ γὰρ τὴν τούτων
» σοι πολιτείαν διηγησάμενος, καλῶς διεξῆλθε. Καί
» σε παρακαλῶ μή με εἰς μακρολογίας καὶ ἐξετά-
» σεις ἐμβάλῃς, ὥστε λέγειν καὶ διεξέρχεσθαι τὰ
» ἐκείνων· ὁρᾷς γὰρ ὅτι πολλοί μοι ἐπέθεντο ἐρω-
» τῶντες, καὶ ἀλγῶ τὴν κεφαλὴν τοῦ λέγειν τε καὶ
» ἀκούειν. »

« Ἐπειδήπερ σὺ μὲν » ἔφη ἐκεῖνος πρός με « πρὸς
» τὸ διηγεῖσθαι καὶ λέγειν ἀηδῶς ἔχεις, ἔγωγε δὲ
» κατεπείγομαι ὑπὸ φίλτρου πρὸς τὸ μαθεῖν, κἂν
» ἄκουσον, δέομαι δή σου, πῶς ἄρα μοι διηγήσατο
» τὰ ἐκείνων ἡ τῆς παλαιᾶς ἄτης ἀπώλεια καὶ πρῶ-
» τος ἱερεύς. »

« Εἰπὲ ταῦτα », ἦν δ' ἐγὼ πρὸς αὐτόν· « μόνον
» βραχέως· ὁρᾷς γὰρ ὅτι κατεπείγομαι. »

« Οὕτω ποιήσω », ἔφη ἐκεῖνος. « Ἤδη δὲ μόνον
» ἄκουε. Διηγήσατό μοι ὁ τριπέμπελος ἐκεῖνος καὶ
» κεκυφὼς, ἡ εἰρημένη ἀπώλεια, ὡς ἧκεν ἐκ βίου ἐς
» ᾅδου ἄκων καὶ μὴ βουλόμενος, ὅτι, ὁ μὲν πρεσβύ-
» τερός μοι υἱὸς κείρας τὴν κόμην, καὶ κίδαριν καὶ
» μανδύαν (1) ἐπενδυσάμενος, πᾶσαν παιδιὰν καὶ ἀμα-
» θίαν, ἀβελτηρίαν τε καὶ νωθρίαν, ἀλλὰ δὴ καὶ τύφον,
» καὶ ἄλλην πᾶσαν ἀκολασίαν καὶ ἀσέλγειαν, ἅπερ
» παιδόθεν ἐξήσκησεν, ἐπεκάλυψεν ὁ μανδύας, καὶ
» γέγονεν ἑλκεχίτων (2), καὶ διατρίβει ἐν τῇ τοῦ Εὐερ-

(1) Cod. κίδαριν καμανδύαν. Vestimenta monachorum sunt. Theodorus Prodromus Anecdot. t. 1, p. 433, 3: ποῦ ἡ κίδαρις; ποῦ ὁ μανδύας;

(2) Codex, ἑλκεχύτων.

» γέτου μονῇ (1), ψευδευλάβειαν τάχα δεικνύων,
» τῆς δὲ ἀφροδίτης τυγχάνων φίλος· ὁ δὲ νεώτερος
» τὰ τῶν νεωτέρων καὶ ἀκολάστων καὶ τετυφωμένων
» καὶ εὐρυπρώκτων καὶ μέγα οἰομένων, μᾶλλον δὲ
» μαινομένων καὶ φρενοληπτων, ἔργα ποιεῖ. Παιδευθεὶς
» γὰρ παρ' ἐμοῦ τὴν τῆς μουσικῆς ἐπιστήμην ἄκρως,
» ὥστε ζῆν ἐντίμως καὶ ἀφθόνως, ὥσπερ ἄρ' ἔζων καὶ αὐ-
» τὸς ἐν βίῳ, τὴν τοιαύτην οὐκ ἠσπάσατο πολιτείαν τε
» καὶ ἐπιστήμην, ὥσπερ ἐγὼ, ἀλλ' ἑτέραν βδελυρὰν
» καὶ ἀπαίδευτον, ἄτιμόν τε καὶ ἄδοξον, καὶ ἄλλως ἀκερ-
» δῆ καὶ μεμιασμένην. Οὐχ αἱρεῖται (2) γὰρ παρὰ τοῦ
» εὐαγοῦς καὶ βασιλικοῦ κλήρου καὶ τῆς τοῦ Θεοῦ με-
» γάλης ἐκκλησίας καλεῖσθαι καὶ ὀνομάζεσθαι Δομέστι-
» κος (3), ὥστε ᾠδὰς ᾄδειν ἐπινικίους καὶ θείας· καὶ μετὰ
» παίδων καὶ δούλων καὶ μεθυόντων καὶ παραλήρων,
» ποιούντων τε καὶ πασχόντων, ᾄδειν αἱρεῖται λήρων
» ᾠδάς. Φείδεται πολλάκις ᾠδὰς ᾆσαι, ἐφ' ἑορταῖς
» τε καὶ πανηγύρεσιν ἐκκλησίας μέσον· καὶ μετὰ
» μειρακίων ἀκαθάρτων τε καὶ ἀτασθάλων ᾄδει καὶ
» χορεύει καὶ φλυαρεῖ, παραπαίων καθάπερ μαινό-
» μενος. Αἰδεῖται τάχα καὶ ἐρυθριᾷ αἰσχυνόμενος,
» προσκαλούμενος παρὰ τοῦ γενναιοτάτου αὐτοκρά-
» τορος ὥστε πρὸς κιθάραν (4) ᾆσαι, καὶ μέλος ἐναρμό-
» νιον ἢ τῶν παλαιῶν ἢ τῶν νέων διὰ στόματος εἰπεῖν,
» καὶ ἀπαναίνεται· καὶ ἐν γωνίαις καὶ τριόδοις, καὶ πανδο-
» χείοις, καὶ καταλύμασιν ἑταιριζομένων γυναίων,
» κιθαρίζει καὶ κορδακίζει, καὶ ἕτερ' ἄττα ἄσεμνα πράτ-

(1) De Evergetæ monasterio vid. Cangii CP. Christiana.

(2) Codex, οὐκ αἱρεῖται.

(3) Vide Cangii Gloss. in Δομέστικος pp. 321, 322.

(4) Codex, κυθάραν.

» τει λάθρα καὶ μετὰ τοῦ κρύπτεσθαι. Παρακαλεῖται
» πολλάκις καὶ ἀναγκάζεται παρὰ τῶν ἐν τέλει καὶ
» τῶν γένει προσηκόντων τῷ βασιλεῖ μέλος ᾆσαι
» ἐμὸν πόνημα πρὸς παραμυθίαν καὶ χαρμονὴν βα-
» σιλέως ἢ δεσποτῶν, καὶ κρύπτεται ἐν γωνίαις καὶ
» τῶν ἀνθρώπων ὄπισθεν, καὶ ὡς παιδάριον διαθρύπτε-
» ται, καὶ φουμίζει φθεγγόμενος εὐνούχων ὀξύτερον·
» παρὰ δὲ τριοβολιμαίων καὶ οὐδένων προσκαλού-
» μενος, ἀνερυθριάστως ᾄδει μεθύων, φθέγγεται πα-
» ραπαίων, ἐμῶν βοᾷ, πέρδων χορεύει, τοὺς ὀφθαλ-
» μοὺς ἐξ οἰνοφλυγίας πελιδνοὺς (1) ἔχων καὶ διαστρό-
» φους ποιῶν ὡς ἐξ ἀγχόνης (2). Διά γε οὖν ταῦτα,
» κατὰ τὸν μεγαλοφωνότατον Δαυὶδ (3), αὐτὸς μὲν
» λοιμώξειεν ἂν ὡς κύων καὶ τὴν πόλιν κυκλώσοι, καὶ
» τὸ ἱμάτιον αὐτοῦ διαῤῥαγήσεται, τὴν δὲ προκοπὴν
» αὐτοῦ λάβοι ἕτερος, ἀνθ' ὧν πατρικῶν θεσμῶν,
» προστάξεών τε καὶ νουθεσιῶν, οὐ τετήρηκεν. Ἡ δὲ
» προμνήστρια (4), ἥτις με παρεκίνησε τὴν αὐτῶν
» γῆμαι μητέρα, εἴθε παραπεμφθείη ἐν τῷ τοῦ Κερ-
» βέρου στόματι. »

Ὁ δὲ χρηστὸς ἀγανακτήσας Ὀλόβολος τῆς τούτου μακρᾶς διηγήσεως, πρός με φησίν· « Ὁρᾷς ταυ-
» τηνὶ τὴν βαθεῖάν τε καὶ ἀλσώδη ῥύακα; »

Ἦν δ' ἐγὼ πρὸς αὐτόν· « Ὁρῶ. »

(1) Codex, οἰνοφληγίας πελοιδνούς.

(2) Similia p. 133, 19.

(3) Psalm. LVIII, 6: λιμώξουσιν ὡς κύων καὶ κυκλώσουσι πόλιν.

(4) Codex, προμνήστρεια. Sequitur et nunc Aristophanem Nub. 41: Εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς Ἥτις με γῆμαι 'πῆρε τὴν σὴν μητέρα. Substituit auctor παρεκίνησε verbo Aristophanico ἐπῆρε, et παρεκίνησε cum aliis synonymis est in glossis ad Comici locum.

« Ὑποκρίθητι » ἔφη « ἐς ἀπόπατον ἐν αὐτῇ ἀπελ-
» θεῖν σε· καὶ, μικρὸν ὑποκρυφθεὶς, ἐς βίον ταχέως
» ἄπελθε χαίρων καὶ εὐφραινόμενος ἐς μακροὺς τοὺς
» ἡλίους. Καὶ πρῶτον μὲν ἐξ ἐμοῦ προσαγόρευσον χαίρων
» χαίροντα τὸν εὐγενέστατον καὶ πάσης φιλοσοφίας
» γέμοντα περιπόθητον θεῖον τοῦ θειοτάτου καὶ με-
» γάλου αὐτοκράτορος τὸν Ἀσὰν (1)· ἔπειτα μὴ ὀκνή-
» σῃς εἰπεῖν πρὸς αὐτὸν καὶ τόνδε τὸν λόγον, ὡς·
» Οὐκ ἐπελαθόμην, ῥητορικώτατ' ἀνδρῶν, τῶν σῶν
» χρυσέων ἐπῶν οὐδ' ἐν ᾅδου· ἀλλ', ὥσπερ ἐν ταῖς
» βασιλικαῖς αὐλαῖς ἐμεμνήμην καὶ τῷ κρατοῦντι
» καὶ τοῖς ἑτέροις ἐκοινώνουν τὰ σὰ ξυγγράμματα
» ὅσαι ὧραι, οὕτω κἀνταῦθα μέμνημαι· καὶ νύκτωρ
» μὲν διηγοῦμαι πρός τε τὸν μέγαν Πλούτωνα καὶ
» τὴν Περσεφόνην ἃ περὶ τῆς τῶν κεκοιμημένων ἀνα-
» στάσεως διεξῆλθες ἀριδηλότατα· μεθ' ἡμέραν δὲ
» πρός τε τὸν Μίνω καὶ Αἰακὸν καὶ Ῥαδαμάνθιαν (2)
» μεθ' ἡδονῆς διεξέρχομαι ὅσουσπερ τὸν ἅπαντα τῆς
» σαυτοῦ ζωῆς χρόνον ἀκοπωτί τε καὶ ἀσολοικιστὶ,
» ἔτι γε μὴν ἀβαρβαριστὶ, νοός τε καὶ σαφηνείας
» ἄνευ, ἐννέα πρὸς τοῖς ἑξήκοντα λόγους γέγραφας.
» Καὶ τὸ θέατρον διὰ τῆς διηγήσεως ῥητόρων καὶ φιλο-
» σόφων πληρῶ, ὧν ἀκουόντων οἱ μὲν πηδῶσιν ὑφ'
» ἡδονῆς, οἱ δὲ γελῶσι σαρδώνιον, ἔνιοι δὲ τὸν ἀέρα
» πληροῦσι βοῆς, καὶ τὴν Κλωθὼ καθικετεύουσιν ὡς
» ἀώρως ἐκκόψαι τὸ νῆμα τοῦ ἄτρακτος τοῦ ἐπὶ σοὶ

(1) Michael Asan, Bulgarus princeps, Joannam Palæologinam Manuelis imperatoris amitam duxerat; quem respici puto.

(2) Codex, αἰακῶν καὶ ῥαδαμάνθιαν. Hoc servavit et Hasius, qui eo loco est usus p. 238; quin servavit etiam τοῦ ἄτρακτος, quod mox exhibebit codex. Atque τοῦ ἄτρακτος iterum legetur p. 172.

» κεκλωσμένου, πρὸς τὸ ταχέως ἐς τὸν τοῦ ᾅδου
» σε χῶρον ἐλθεῖν. Δι' ἐφέσεως γὰρ πάντες ἔχουσι
» τοῦ θεάσασθαι καὶ ἀπὸ στόματος ἀκοῦσαι τὰ σὰ
» κατὰ σὲ ὥραια (1) ῥαψῳδήματα. Ἔπειτα δέ γε
» τὰ πάνθ' οὕτως, ὡς διεταξάμην καὶ συνεβουλευσά-
» μην σοι, ποίησον· καὶ μηδενὶ τὰ κατ' ἐμὲ εἴπῃς,
» πρὸς φιλίας, ἀλλ' οὕτως, ὡς ὑπέσχου, φύλαξον.
» Ἐνταῦθα γὰρ οὐ μόνον οὐκ ἐξετάζουσι τοὺς ἐν βίῳ
» εὐδοκιμοῦντας, ἀλλὰ, καθ' Ἡσίοδον (2),

Καὶ πτωχὸς πτωχῷ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ,
Καὶ τέκτονι τέκτων.

» Καὶ, καθάπερ ἐς τὸν βίον ἄνω ἡ τοῦ πλησίον
» εὔκλεια δάκνει, κατὰ τὸν εἰπόντα, τοὺς φθονε-
» ρούς, οὕτω κἀνταῦθα ἐν ᾅδου ἡ τῶν κατὰ Θεὸν
» εὐδοκιμησάντων εὐημερία, ἥ τε δόξα καὶ ἡ λαμπρό-
» της, καὶ ἡ τῶν προκειμένων ἀγαθῶν ἀπόλαυσις,
» περιπείρει τοὺς κατ' ἐμὲ πεπλημμεληκότας· ὅθεν
» καὶ ἀρχιθύτης ἀρχιθύτῃ φθονεῖ καὶ ἀρχιερεὺς ἀρ-
» χιερεῖ, καὶ μονάζων μονάζοντι, καὶ σατράπης σατρά-
» πῃ, καὶ μεσίας μεσίᾳ, καὶ ἡγεμὼν ἡγεμόνι, καὶ ἄρχων
» ἄρχοντι, καὶ στρατηγῷ στρατηγὸς, καὶ ναυάρχῳ
» ναύαρχος, καὶ κριτῇ δικαστὴς, καὶ ἀπογραφεὺς ἀπο-
» γραφεῖ, καὶ γραμματεὺς γραμματεῖ, καὶ ῥήτορι
» ῥήτωρ, καὶ ἰατρὸς ἰατρῷ, ἔτι τε ἀδελφὸς ἀδελφῷ,
» καὶ πατρὶ υἱὸς, καὶ, τὸ δεινότερον, ποδαλγῷ χειρο-
» ποδαλγὸς· καὶ ἁπαξαπλῶς πάντες οὐ μόνον οὐ (3)

(1) Codex, ὥραια. Num voluit auctor ironia plenus verbis κατὰ σὲ ὥραια vitiosam Asanis in efferendo nomine ὡραῖα pronuntiationem innuere? Vix tamen puto.

(2) Hes. Opp. 25.

(3) Ita codex, delenda forsan altera negatione : sed et sic v. 8.

» φθονοῦσι, ἀλλὰ καὶ βασκαίνουσι, καὶ ἕκαστος ἑκάστῳ » δόλους ἀεὶ καὶ συκοφαντίας ῥάπτουσιν ὅσαι ὧραι. » Διά γε οὖν ταῦτα καὶ νῦν καὶ εἰς τοὺς ἀπεράντους » αἰῶνας δίκας δώσουσιν, οἱ μὲν τῷ Κερβέρῳ κυνὶ, οἱ » δὲ τῷ ἀσβέστῳ πυρὶ, οἱ δὲ τῷ Ταρτάρῳ, οἱ δὲ » τῷ ἰοβόλῳ σκώληκι, οἱ δὲ τῷ τῶν ὀδόντων βρυγ- » μῷ (1), οἱ δ' ἑτέρῳ κολαστηρίῳ δεινοτέρῳ τε καὶ » χαλεπωτέρῳ. Πρὸ τοῦ μαθεῖν οὖν τούτους καὶ ἀκοῦ- » σαι παρὰ τοῦ μιαροῦ καὶ βδελυγμία, τοῦ κατα- » πτύστου τε καὶ φονικοῦ Παδιάτου, τοῦ γάμον » ἀλλότριον διορύξαντος, ὅτιπερ ἁρπαγεὶς ἀωρὶ νυ- » κτῶν ἥκες βίᾳ ἐνταῦθα οὕτως ἐκ βίου, πᾶσα » ἐν τῇ κοιλάδι πληθὺς, ἣν ὁρᾷς, φίλτατε, δρο- » μαῖοι πρὸς σὲ γυμνοί τε καὶ ἀπεψολωμένοι (2) ἐλεύ- » σονται, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν οὐ παύσονται » ἐρωτῶντές τε καὶ διερευνώμενοι τὰ περὶ τῶν ἄνω » ἐς τὸν βίον κατοικούντων, πῶς ἄρ' ἕκαστος τυγχά- » νει διατελῶν, καὶ τί πράττει, καὶ εἰς ποίαν εὑρί- » σκεται λειτουργίαν· ἐὰν γὰρ τοῦτο γένηται, ὃ μὴ » γένοιτο, τοῦ ᾅδου οὐκ ἐξέλθειας (3) ἄν ποτε, ὥσπερ » οὐδ' ἔγωγε, μέχρις ἂν τῆς τελευταίας ἐκείνης » ἀκούσειας σάλπιγγος. »

Ταῦτ', ἀντὶ δακρύων μᾶλλον, ὦ παρόντες, ἢ γέλω-

(1) Respiciebat nota Evangelistarum loca. Marc. IX, 47 : βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρὸς, ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. Luc. III, 17 : τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Matth. VIII, 12 : ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

(2) Sic codex, non ἀπεψωλωμένοι, quod in hoc ipso loco e codice notabat vir d. Vera fuerit scriptura ἀπεψωλημένοι, quod habet Aristophanes Pl. 295, fuitque a glossatore redditum, τὰ αἰδοῖα δεικνύντες : fuisset, puto, melius hocce modo, λίαν ἐσυκότες καὶ ἀπεσκολυμμένοι.

(3) Conf. p. 118, n. 3.

τος, ὡς οἷόν τε, ἁρπαγεὶς, παιδιᾶς χάριν ἢ παιδείας (1) γέγραφα, σπουδάζων μᾶλλον ἢ παίζων.

ΟΝΕΙΡΟΣ ΜΕΤΑ ΤΗΝ ΑΝΑΒΙΩΣΙΝ*

Η ΔΙΑΛΕΞΙΣ ΠΡΟΣ ΤΟΝ ΟΛΟΒΟΛΟΝ

ΕΚ ΠΕΛΟΠΟΝΝΗΣΟΥ ΕΣ ΑΔΟΥ ΕΚ ΤΑΙΝΑΡΟΥ ΠΕΜΦΘΕΙΣΑ.

« Τί τοῦτο, πολυμήχαν' Ὁλόβολε; ἆρά με καὶ ἐν » ᾅδου ἐξηπάτηκας, ὥσπερ ἐν Λήμνῳ πάλαι, ὅτ' ἀπῆ- » ρας μετὰ τοῦ ὑψηλοτάτου Βασιλέως ἐκ Κωνσταντίνου » πρὸς Ἰταλίαν τε καὶ Γαλίαν, καὶ μέχρι Βρεττανίας αὐ- » τῆς. Καὶ ἴσως μὲν τότε ζηλοτυπῶν ἐποίεις, ἵνα σου » μὴ ἀντίτεχνος καὶ αὐτὸς γένωμαι μετὰ σοῦ συμ- » πλέων, ὥσπερ νῦν ὁ ἐξ ἀγγέλων πονηρῶν ἀπόγονος (2) » ἐν τῇ Κωνσταντίνου γέγονεν· εἰς δὲ τὸν τοῦ ᾅδου χῶρον, » ἔνθα ζηλοτυπίαι καὶ φθόνοι, καὶ ἀντιτεχνίαι καὶ ἔριδες, » ζάλαι τε καὶ ταραχαὶ ἀπέδρων, καὶ οὔτε γραμ- » ματεὺς, οὔτε μεσίας, οὔτε στρατηγὸς, οὔτε ναύ- » αρχος, οὔτ' ἄλλος τις τῶν ἁπάντων, ἐκεῖσε παῤ- » ῥησίαν ἔχει πρὸς τὸ ποιεῖν τοιαῦτα, ἀλλ' ὑπὲρ ὧν » μόνον ἕκαστος πέπραχεν ἀπαιτεῖται εὐθύνας, πῶς » πεφενάκικας, παράνομε, λέγων (3)· Ἄπελθε ἄνω » ἐς τὸν βίον· οὐδὲ γὰρ ἔχει τις χρείαν σου πένητός » τε ὄντος καὶ ἀδόξου, ἀλλὰ καὶ παρειμένου. Καὶ τὸ

(1) Conjicit vere Hasius pag. 134, verbis transpositis, *παιδείας χάριν ἢ παιδιᾶς*.

* Lemma partim est fere evanidum. Id bene legit Hasius, quem vide p. 134, quemque sequor. Nitidius foret, ἐκ Πελοποννήσου καὶ Ταινάρου ἐς ᾅδου, vel ἐκ τοῦ ἐν Πελοποννήσῳ Ταινάρου, vel...

(2) Philomattæus: cf. p. 135.

(3) Conf. supra p. 117.

» δεινότερον συνεβούλευσας δολίως, εἰπὼν ἵνα καὶ » πρὸς Πελοπόννησον ἀπέλθω πανοικὶ, ὡς ἂν μάλα » ἐκεῖσε δοξασθήσωμαί γε καὶ πλουτήσω· καὶ πρὸς » τοῖς ἐπηγγελμένοις ἔλεγες ὅτι πολλῶν καὶ μεγάλων » ἀγαθῶν καὶ ἐμαυτὸν καὶ τοὺς μετ' ἐμοῦ ἐμπλήσω, εἰ » προσκολληθήσομαι ἑνὶ τῶν ἔνδον συναναστρεφομένων » τοῖς τοῦ πορφυροβλάστου (1) βασιλείοις. Ἰδοὺ τοίνυν » εἴξας ταῖς σαῖς συχναῖς καὶ μεσταῖς ἀπάτης βου- » λαῖς καὶ ὑπὸ τῶν ἐπαγγελιῶν θελχθεὶς, τῶν διὰ » λόγων μὲν χρηστῶν, δι' ἔργων δὲ ὄντων οὐδὲν, καὶ » ἀναβεβίωκα, ἐς δὲ Πελοπόννησον ἧκον πανοικί· τῶν » δ' ἐπηγγελμένων ἐκείνων οὐ μόνον οὐκ ἔτυχον, » ἀλλ' ἐν πλείονι πενίᾳ καὶ ἀδοξίᾳ τυγχάνω διατε- » λῶν, πρὸς τοῖς δέκα τέτταρας ἄγων μῆνας. Δέ- » δοικα οὖν ἵνα μὴ γένωμαι καὶ αὐτὸς διατρίβων ἐν » Σπάρτῃ ὥσπερ ἐν τῇ Κωνσταντίνου γέγονεν ὁ Πε- » λοποννήσιος ἐκεῖνος, Συναδηνὸς ὁ Κορμέας, ἢ ἵνα » μὴ βαρβαρωθῶ καὶ αὐτὸς ὥσπερ ἄρα βεβαρβά- » ρωνταί γε οἱ Λάκωνες (2), καὶ νῦν κέκληνται Τζά- » κωνες (3), καὶ πιάσον τα καὶ σφίξον τα, καὶ δῶσον » τα, καὶ ἤμενον, καὶ ἠρχόντησαν, καὶ καθεζούτησαν, » καὶ ἔλαδε, πᾶ, καὶ αἰτιτοίωσέν τον, καὶ ἄλλ' ἄττα » βάρβαρα λέγουσι (4). Τί οὖν ἄρα ποιήσω; ἀπορίᾳ

(1) Conf. pag. 118, n. 1.

(2) Et sic sibi metuebat Ovidius inter Getas exul: « Et pudet, » et fateor, jam desuetudine lon- » ga Vix subeunt ipsi verba la- » tina mihi. Nec dubito quin sint » et in hoc non pauca libello Bar- » bara: non hominis, culpa sed » ista loci. » Distinguunt: « non » hominis culpa, sed ista loci » : quod non placet.

(3) De origine Τζακώνων nominis vide Corayum ad Ælian. H. V. 1, 24.

(4) Non est λέγουσιν in codice. Eximium hunc locum protulit Hasius p. 136. Me monuit Νικολόπουλος Smyrnensis, qui, quum

» καὶ ἀθυμίᾳ συνέχομαι, καὶ νόστου γε μέμνημαι, καὶ » διχάζομαι διχῆ ποῖον τῶν δύο ποιήσαιμι, πότερον » ἵν' ἐς ἅδου παλινδρομήσω, καὶ τὸ σκότος ἐκεῖνο » φέρω καὶ τὸν Τάρταρον, καὶ τὸν τῶν ὀδόντων βρυγ-» μὸν καὶ τοὺς σκώληκας (1), καὶ τὰς ἄλλας κολά-» σεις, ἅπερ ἐκεῖσε εἶδον, ἐπειδήπερ, κἂν ἐμαυτὸν ἐν » οἰκίσκῳ, κατὰ τὸν εἰπόντα (2), καθείρξας τηρήσω, » ὀψέ ποτ' ἂν ταῦτά με διαδέξεται, ἢ μενῶ τὴν ἐν » βίῳ δυστυχίαν τε καὶ πενίαν καὶ τὴν τῶν ἀναγκαίων » στέρησιν, καὶ τἄλλ' ὅσαπερ πάσχω μεθ' ἡμέραν » δεινὰ ἐν Πελοποννήσῳ. Ὁ γὰρ τῶν ἀναγκαίων, κατὰ » τὸν εἰπόντα, ἐπιδεὴς λυπηρὸς γίνεται, καὶ τοιοῦτος » γενόμενος μισεῖται, καὶ μισούμενος ἔτι πλέον λυ-» πεῖται, καὶ λυπούμενος τὰ ξυμφέροντα αὐτῷ οὔτε » βουλεύεται, οὔτε ἐργάζεται· οἷόν μοι κἂν τῇ Κων-» σταντίνου συμβέβηκε. Στερηθεὶς γὰρ τῶν ἀναγκαίων » καὶ πλεῖστα ἀνιαθεὶς ὑπὸ τοῦ κρατοῦντος, τὰ συμ-» φέροντά μοι οὐκ εἰργασάμην. Ὅθεν δέδοικα μὴ καὶ » ἐνταῦθα τοιοῦτόν τι πάθω, βεβαπτισμένος τυγ-» χάνων ὑπὸ πολλῆς ἀθυμίας. Συμβούλευσόν μοι οὖν » ποῖον ἄπαρτι τῶν δύο τούτων χῶρον βαδίσω· πρὸς » φιλίας γὰρ εἰπὲ τἀληθές, καὶ μὴ ὡς πρότερον ἀπα-» τήσῃς. Καὶ δίδωμί σοι ἐγγυητὰς ἀξιοπίστους, τὸν » ἐκ Θεσσαλονίκης πολυθρύλλητον ἐκεῖνον καὶ τα-

ἑλληνικώτατα ipse loquatur ac scribat, barbara tamen intelligit, esse ἤμενον imperfectum verbi εἶναι, ἠρχόντησαν esse pro ἤρχοντο, καθεζόντησαν pro ἐκαθέζοντο, ἔλαδε pro ἔλα ὧδε ἤτοι ἐλθὲ δεῦρο, πᾶ pro ὑπάγει, mutandum αἰπποιωσίν τον in ἐπποιωσίν τον, quod sit aoristus verbi πεποιόνω ab adjectivo πέποιος derivati, significetque « eum fecit talem. » In reliquis nihil est impedimenti; ni σφίξον pro σφίγξον.

(1) Cf. supra p. 162, n. 1.

(2) Nempe Demosthenem: cf. p. 119, n. 4.

» λάντατον ἰατρὸν Χαλαζᾶν, ϗ τὸν ἐκ Κωνσταντίνου
» ἀηδῆ καὶ φρενόληπτον γραμματέα Ἐξάκουστον,
» ἵνα γε, οὔτε ἐν βίῳ οὔτε ἐν ᾅδου, ἰατρεύσω πώ-
» ποτέ τινα χειροποδαλγὸν, ἀλλ' οὐδ' ὑπογραμμα-
» τεὺς ἢ ἀντίτεχνος τινὸς τῶν ἁπάντων γενήσομαι εἰς
» τὸν αἰῶνα τὸν ἅπαντα. »

« Τάλας » ἔφη ἐκεῖνος « ἐγώ! μέγα δεινὸν εἰργα-
» σάμην τὸν ἐμοὶ φίλτατον. Οὐδὲ γάρ ἦν, ξεῖνε,
» τοῦτο ὅπερ σοι συνεβουλευσάμην, ϗ πέπονθας ὑπό
» τε φθόνου καὶ ζηλοτυπίας τινὸς ὥσπερ φής· οὒ, νὴ
» τὴν κεφαλὴν τοῦ φιλτάτου μοι ἀδελφιδοῦ Κακο-
» αλεξίου. Ἀλλ' ἐξηπάτημαι, ὥσπερ οἱ ἐν βίῳ δια-
» τρίβοντες ἀεὶ ἀπατῶσί τε ϗ ἐξαπατῶνται, μᾶλ-
» λον δ' ὥσπερ οἱ ἐν ὀνείροις πλουτοῦντες· καὶ διὰ
» τοῦτό γε τὸν ἐμοὶ φίλτατον συνεβουλευσάμην
» πρὸς Πελοποννησίους ἀπελθεῖν. Ὤμην γὰρ εἶναι
» τούτους καὶ πρὸς σὲ τοιούτους, ὁποῖοίπερ ἦσαν ὅτε
» μετὰ τοῦ γενναιοτάτου αὐτοκράτορος ἀφικόμην
» ἐκεῖσε, καὶ τὰ πάνθ' ὑπῆρχον ἄφθονα, καὶ πρός
» με δεδώκασι (1), χάριν ὧν γέγραφα πρὸς αὐτοὺς
» ὁρισμῶν (2) τε καὶ θείων γε προσταγμάτων καὶ
» χρυσοβούλλων, χρυσοῦς στατῆρας ἑπτακοσίους. Τούτου
» τοίνυν ἕνεκα παρακεκίνηκά γε ϗ σὲ ἀπελθεῖν ἐκεῖσε
» πλουτῆσαι, ὥσπερ πεπλούτηκα καὶ αὐτὸς ἐξα-
» πίνης, ϗ περικαλλεῖς ἀνῳκοδομησάμην (3) οἰκίας. »

« Μελαγχολᾷς, ἄνθρωπε, νὴ τὴν ἡμετέραν φι-
» λίαν », ἔφην αὐτῷ. « Πλοῦτος ἐν Πελοποννήσῳ
» πολιτεύεται ἡ δόσις, ἡ ἀγάπη, ἡ εἰρήνη, ἡ φιλαν-

(1) Et *insuper* mihi dederunt.
(2) Ὁρισμοὺς, jussa. Vide Corayi notam Ἀτάκτοις t. 1, p. 299.
(3) Conf. supra p. 122.

» θρωπία, ἢ δικαιοσύνη, ἢ φιλοξενία, ἢ μετριότης, ἢ
» ἄλλο τι τῶν ἀγαθῶν ἁπάντων; »

« Ἀλλὰ τί πολιτεύεται »; φησὶν ἐκεῖνος. « Καὶ τίνα
» βίον νῦν ζῶσι, καὶ πῶς ἤδη πράττουσιν οἱ ἐν τῇ
» τοῦ Πέλοπος ἐνοικοῦντες; δι᾽ ἐφέσεως γάρ ἔχω
» μαθεῖν τούτων τὴν πολιτείαν. »

« Παπαί »! ἦν δ᾽ ἐγὼ πρὸς αὐτόν. « Ἐκεῖσε πε-
» πλούτηκας, μελάμπυγε, ὡς ἔφησθα, καὶ πολὺν
» ἤδη διέτριψας χρόνον· καὶ τὴν τούτων οὐκ ἔγνωκας
» πολιτείαν! καὶ νῦν ἐμὲ φὴς ἄρα διηγήσασθαί σοι
» τὴν τῶν Πελοποννησίων διατριβήν! »

« Ναί », ἔφη ἐκεῖνος κυλλοποδίων· « οὕτως ἔχει
» ὡς λέγεις· ἀλλὰ τὰ τούτων ἀκριβέστερον γινώσκεις,
» ἐξεταστικώτατός τε ὢν καὶ σχολαιότερος, καὶ
» πλείονα διατρίψας ἐμοῦ χρόνον. Ἔγωγε μὲν γὰρ
» περὶ τὸ γράφειν καὶ λαμβάνειν στατῆρα ἠγωνιζό-
» μην· περὶ δὲ τῶν ἄλλων τὸν νοῦν οὐ προσεῖχον. »

« Ἀληθῶς » ἦν δ᾽ ἐγὼ πρὸς αὐτόν « λέγεις· κατὰ
» γὰρ τὸν Κωμικὸν (1), ἡ φροντὶς εἷλκε τὴν ἰκμάδ᾽
» εἰς τοὺς στατῆρας, καὶ διὰ τοῦτο τὸν νοῦν οὐ προσεῖχες.
» Πλὴν, εἴπερ πεισθῶ, ὥσπερ μοι λέγεις, ὥστε τὰ
» τῶν Πελοποννησίων διηγήσασθαι ὡς ἔχουσι, δειλιῶ
» καὶ τετρεμαίνω εἰπεῖν, ἔτι μου ὄντος ἐν Σπάρτῃ.
» Εἰ γὰρ αἴσθονταί μου (2) διηγουμένου καὶ γράφοντος
» τίνα τε βίον ζῶσι καὶ πῶς ἄρα πράττουσι καὶ τὴν
» πᾶσαν τούτων πολιτείαν τε καὶ διατριβὴν, τοξεύ-
» σουσιν ἄν με ἢ διαπρεγνήσουσι (3) τοῖς δορατίοις

(1) Aristoph. Nub. 326. Cf. t. II, p. 305.

(2) Conf. pag. 126, 3.

(3) Codex, διαπρωνήσουσι. Passim ω et ο librarii confundunt. Synesius De regno p. 17 : λέγεται

» ἅπερ ἐν χερσὶν νύκτωρ καὶ μεθ' ἡμέραν φέρουσιν, » ὥσπερ ἀεὶ ποιεῖν εἰώθασιν οὐ μόνον ἐχθροῖς, ἀλλὰ » φίλοις τε καὶ ἐπιτηδείοις ξυμποσιάζοντες. »

« Θάῤῥει », ἔφη ἐκεῖνος « καὶ μὴ φοβοῦ· ἐγὼ γὰρ » ἐπιδείξαιμι ἄν σοι ὁδὸν ῥαδίαν τε καὶ ἀκίνδυνον, ἐν » ᾗ γνώσομαι μὲν αὐτὸς τὰ τῶν Πελοποννησίων ἀκρι- » βῶς ὡς ἔχει, σὺ δὲ αὐτὸς φυλαχθήσῃ μάλ' ἀσφα- » λῶς, καὶ οὐχ, ὥσπερ ὑπονοεῖς, κινδυνεύσεις. »

« Ποίαν φὴς » ἔφην αὐτῷ « ῥαδίαν τε καὶ ἀκίν- » δυνον ὁδὸν, ὥστε με μὴ κινδυνεῦσαι, εἰ τὰ τῶν Πε- » λοποννησίων ἐξείπω; πρὸς Θεοῦ, κρύφα φράσον. »

« Μετ' εὐφροσύνης τε καὶ ἀληθείας ἐρῶ », ἔφη « καὶ » μὴ φοβοῦ. Τὸ Ταίναρον τὸ ἐν τῇ Λακωνικῇ, ὡς » οἶσθα, ἐστὶ πλησίον Σπάρτης, ὁδὸν ἡμερῶν ἄγον » δύο· ἐν ᾧ Ταινάρῳ κατάγονταί γε καὶ ἀνάγονται » ἐς ᾅδου ἀκάτια διαπεραιούμενα, ὡς λέγουσι, ψυχὰς » νεκύων (1). Μεθ' ἑνὸς οὖν τούτων ἐμοὶ γράψον, καὶ » δήλωσον πάντα ὡς ἔχει. Εἴπερ οὖν οὕτω ποιήσεις, » εὖ ἴσθι, λάθειας (2) ἂν πάντας καὶ πάσας. »

« Ὑπέρευγε λέγεις », ἦν δ' ἐγώ « φίλτατε· ἀλλ' » εἰπὲ καὶ πρὸς τίνα θαῤῥήσας τὴν ἐπιστολὴν ἐγχει- » ρίσαιμι, ὥστε διακομίσαι ταύτην πρὸς σὲ ἀσφα- » λῶς ἐν ᾅδου, καὶ οὐ πρὸς τινα ἄλλον. »

« Τῷ ἐν Σπάρτῃ διατρίβοντι ἀοιδῷ κατ' ἀντί- » φρασιν Μόσχῳ (3) », ἔφη ἐκεῖνος, « τριπεμπέλῳ

δή τινα τῶν οὐ λίαν ἀρχαίων, ἀλλ' ὧν ἂν εἰδεῖεν καὶ τῶν γερόντων οἱ πάπποι· malim codicum duorum accusativum ὅν : habent et commode τῶν νῦν γερ.

(1) Conf. p. 118 extr.

(2) Conf. p. 118, n. 3.

(3) Spartanus poeta, nomine Moschus, per antiphrasin sic dictus esse videbatur, adeo malus erat et ab antiquo illo Moscho discrepabat.

» τε ὄντι καὶ κυλλοποδίωνι, Λακεδαιμονίοις δὲ ἐτώσιον
» ἄχθος (1) τυγχάνοντι. Ἐκείνῳ ἐγχειρίσας τὴν ἐπι-
» στολὴν δός· καὶ πρὸς ἐμὲ εὖ γε διακομίσειε οὗτος
» κρύφα. »

« Μεῖνόν με » ἔγωγε ἔφην « σμικρὸν, ἕως ἂν τὸ
» περὶ τούτου συμβουλεύσωμαι· ὁ γὰρ ἀσυμβού-
» λευτος, κατὰ Σολομῶντα, καθ' ἑαυτοῦ τυγχάνει
» πολέμιος. Συμβουλευσάμενος οὖν ἅμα τε καὶ δια-
» σκεψάμενος, τὰ τῶν Πελοποννησίων, ὡς ἔχει τάξεώς
» τε καὶ πολιτείας καὶ διατριβῆς, ἅπαντα κατὰ μέρος
» διηγήσομαι. »

« Σὺ μὲν οὕτω ποίησον, δέομαί σου », ἔφη ἐκεῖνος·
« ἔγωγε δὲ ἀπέρχομαι ἰατρεύσων ἕνα τῶν τοπαρχῶν,
» πονήρως τε ἔχοντα τοὺς πόδας καὶ ἀδικώτατον
» ὄντα πάνυ, τὴν δὲ ψυχὴν διπλῶς μεριζομένην καὶ
» πάσχουσαν δεινῶς ποῖον ἂν τῶν δύο ποιήσειε, πό-
» τερον τὸ τηρῆσαι τάχα πίστιν ἐς βασιλέα ἀκλό-
» νητον, ἣν ὕφαλον καὶ ὕπουλον καὶ χαμαιλεοντικὴν
» κέκτηται νῦν, ἢ συνακολουθήσειε κἀκεῖνος τοῖς ἑτέ-
» ροις τοπάρχαις πρὸς στάσιν τε καὶ ἀπιστίαν (2). »

« Ποῖος », ἦν δ' ἐγὼ πρὸς αὐτόν « ὁ τοὺς πόδας
» τε ἀλγῶν, καὶ ἀδικῶν, τὴν δὲ ψυχὴν οὕτως ἔχων
» τεταραγμένην καὶ σχιζομένην διπλῶς, ὁ παρὰ σοῦ
» ἰατρευθησόμενος; βούλομαι τὸ τούτου μαθεῖν
» ὄνομα. »

« Τοὔνομα οὐκ ἂν ποτε εἴποιμι » ἔφη ἐκεῖνος « ἐκεί-
» νου· ἀπὸ δὲ τῶν νοσημάτων ὧνπερ νοσεῖ, καὶ τῆς
» πολιτείας, ῥᾳδίως ἂν καὶ τὸν ἄνδρα μαθήσῃ. »

(1) Ex Homero Il. Σ, 104.
(2) De rebus in Peloponneso turbatis vide Ameilhon. Hist. infimi imp. cxvi, 62, et infra p. 178.

« Ναὶ, οἶδα τὸν ἄνδρα, » εἶπον « καὶ παῦε. Τοῖς » πολλοῖς οὖν τοῦτον μὴ ποίει κατάδηλον. Ἀλλ' ἀπο- » ρίαν τινὰ ξένην καὶ ἀλλόκοτον καὶ πολλὴν ἔχουσαν » τὴν ζήτησιν ἀπορῶ· πρὸ ὀλίγου γὰρ ἔφησθα ὅτι » πορεύῃ ἰατρεύσων τοὺς ἐκείνου τε πόδας, καὶ τὴν » ἄδικον καὶ παλίμβουλον ψυχήν. Ἔχει ἐκεῖνος ἴασιν, » παμμίαρε, ὁ Αἰθίοπος μὲν μελαντότερος, φαυλό- » τατος δὲ κεκλημένος, ἀδικώτατος δὲ πάντων τυγ- » χάνων ἀνθρώπων; Καὶ ἴσως μὲν κατασβέσειας τὸ » τῶν ποδῶν ἄλγος, τερεβινθίνην (1) ποτίσας· τὴν δὲ » τῆς ψυχῆς νόσον καὶ τὰς ἀδικίας καὶ ἁρπαγὰς, » ἅσπερ ἐκεῖνος παιδόθεν ἐξήσκησεν, ἄρτι μετα- » βαλεῖς; »

« Ἄφες, δέομαί σου » ἔφη ἐκεῖνος « τὴν διὰ μα- » κρολογίας ἔριδα καὶ τὰς ἀπορίας, καὶ γράψον ἅπερ » σε ἠξίωσα καὶ ὑπέσχου· ὅτιπερ, ἐὰν βουληθείης ἐξ- » ετάζειν τὰς τῶν Πελοποννησίων ψυχὰς οἷαί τε εἰσὶ, » καὶ τὰς ἀδικίας ἅσπερ νύκτωρ καὶ μεθ' ἡμέραν πρὸς » ἀλλήλους ποιοῦσι, καὶ τὴν πίστιν ἣν ἔχουσιν εἰς βα- » σιλέα, καὶ τἄλλ' ὅσαπερ δρῶσι παράνομα, καὶ » τὰς πρὸς ἀλλήλους σπονδὰς ἅμα τε καὶ ἐπιορκίας » καὶ τοὺς φόνους, εὑρήσειας ἂν τὰς μὲν ἁπάντων » ψυχὰς τετυφωμένας καὶ φόνειον πνεούσας, πλεον- » εκτικὰς δὲ καὶ ἐπηρμένας, καὶ ἀεὶ χαιρούσας (2) » εἰς μάχας, τὴν δὲ πίστιν ἀεὶ κίβδηλον καὶ ἀπάτης » καὶ δόλου μεστὴν, καὶ πρὸς τούτοις τριπλῶς ἕνα » ἕκαστον μεριζόμενον ἐν ταῖς πρὸς ἀλλήλους (3) » συμφωνίαις· ἄλλα (4) γὰρ γλώττῃ φθέγγεται,

(1) Codex, πρεβινθύνην.
(2) Forsan χωρούσας.
(3) Codex, ἀλλήλων.
(4) Codex, ἀλλά.

» καὶ ἄλλα φρὴν μελετᾷ, καὶ ἕτερ' ἄττα δι' ἔργων » πράττει. »

« Εἴπερ οὖν οὕτως ἔχει, ὦ φίλος », εἶπον ἐγώ « ὡς ἐν ἑνὶ δεδήλωκας λόγῳ, τί πλειόνων χρείαν » ἔχεις ἔργων τε καὶ πολιτείας παρ' ἐμοῦ μαθεῖν; » πρὸς γὰρ παράστασιν τῆς αὐτῶν πολιτείας ἱκανὰ » τὰ τοιαῦτα τυγχάνει. »

« Ταῦτά μοι πολλοὶ ἐν κεφαλαίῳ διηγήσαντο » ἢ ἐκεῖνος « ἐν ᾅδου, κατὰ μέρος δὲ οὐδεὶς δεδήλωκε. » Διὰ τοῦτό σου δέομαι καὶ ἱκετεύω, ἵνα μοι κατὰ » μέρος γράψῃς ὥσπερ ἐφίεμαι. »

Ἠρόμην οὖν αὐτόν· « Εἰς πλάτος, ἢ λακωνικῶς, » ταῦτά σοι διηγήσομαι (1); »

Ὁ δὲ « Γράφον » ἔφη « τὰ τούτων ἀκριβῶς, καὶ » μηδενὸς (2) παραλείπῃς· ὡς δὲ βούλει διέξελθε. » Πλὴν στεῖλον ταχέως ταῦτα ἐν ᾅδου, καὶ μὴ ἐς » αὔριον ἀναβάλλου, ἵνα μὴ, κατὰ τὸν εἰπόντα (3), » καὶ αὐτὸς ἄταισι περιπέσῃς. »

« Ἰδοὺ ποιήσαιμι ἂν τὸ κελευόμενον. Ἀλλ' ἐὰν ὁ » Ἰαπετὸς ἀοιδὸς ὁ βλιτομάμας (4) καὶ βεκκεσέλη- » νος (5) φιλοζωοῖ καὶ ἀπᾶραι πρὸς ᾅδου οὐ βούληται, » ἀλλ' ἔτι φιλῇ (6) διατρίβειν ἐν Σπάρτῃ ἐφ' ἑορταῖς

(1) Codex, διηγήσωμαι.

(2) Ita codex.

(3) Hesiod. E. 408 : Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον.......... Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

(4) Ex Aristophane Nub. 999. — Codex, βλιτομάμας.

(5) Ex eodem Nub. 397.

(6) Codex, φιλεῖ, solœce. Sed est mendum calami ac pronuntiationis, quum modo sit recte subjunctivis usus, φιλοζωοῖ, βούληται. Moschopulus Π. σχ. p. 183 : ἀντωμοσία μέν ἐστιν, ὅταν οἱ κατηγοροῦντες καὶ οἱ κατηγορούμενοι ἀντωμνύουσι..... συνωμοσία δὲ, ὅταν τινὲς ἐπί τινι συμφωνήσαντες ὀμνύουσιν. Codex 2599 melius, ἀντωμνύωσιν et ὀμνύωσιν. Idem pag. 189 : ἀει-

» τε καὶ πανηγύρεσι καὶ ἄλλοις τισὶ Διονυσιακοῖς συμ-
» ποσίοις, πρὸς τίνα ἄλλον ἐγχειρίσαι κελεύεις τὰ
» γεγραμμένα; »

« Κίνησον μόνον » εἶπε « πρὸς τὸ γράφειν τὴν
» χεῖρα, καί, εἴπερ ἡ Κλωθὼ τὸ νῆμα οὐκ ἐθελήσει τοῦ
» ἄτρακτος (1) ἐκκόψαι, τοῦ ἐπὶ τούτῳ τῷ παμ-
» μιάρῳ καὶ τριπεμπέλῳ κεκλωσμένου, ἤδη τὸ ξύμ-
» βολον ὁ Χάρων ἑνί γε τῶν εὐγενῶν ἀνδρῶν δίδωσι (2),
» καί, πρὸ τοῦ τελειῶσαί σε τὰ ἐπηγγελμένα, ἀκο-
» νητὶ ὁ τοιοῦτος ἥξει ἐς Κέρβερον, ἀκόλαστός τε ὢν
» καὶ ἐπαφρόδιτος· καὶ πρὸς αὐτὸν τὴν ἐπιστολὴν
» ἐγχείρισον. »

« Τοῦτο ἂν ποιήσαιμι », ἦν δ' ἐγὼ πρὸς αὐτόν.
« Ἀλλ', ὅπερ σε ἠξίωσα πολλαχόθεν, ἵνα μοι εἴπῃς
» ποῖον τῶν δύο ποιήσω, οὐδ' ἕνα περὶ τούτων εἰρή-
» κεις λόγον· καὶ λέξον μοι, πρὸς φιλίας. »

« Τὴν ἐπιστολὴν γράψον, ἥν μοι (3) ὑπέσχου »,
ἔφη ἐκεῖνος· « περὶ δὲ οὗπερ αἰτεῖς, ἐς αὔριον ἅμ'
» ἕῳ (4) φανήσομαί σοι ἐν ὕπνοις, καὶ φράσω σοι τὸ
» ποθούμενον. »

στίνδην ἐκλέγει, ὅταν κατὰ τοὺς ἀρίστους ποιεῖται τὴν ἐκλογήν· πλουτίνδην καταλέγει, ὅταν τοὺς πλουσίους ἀπαριθμῇ. Etsi et codex habeat ποιεῖται, rescribendum ποιῆται, quod et ὅταν et ἀπαριθμῇ poscunt.

(1) Ita cod. Cf. p. 160, n. 2.

(2) Ex Pluto. Conf. pag. 149, n. 3.

(3) Codex, με. Superscripsit μοι eadem manus.

(4) Ovidius Ep. XIX, p. 195 : « Namque sub auroram... Somnia quo cerni tempore vera » solent. » Cf. Wernsdorf. Poet. min. t. III, p. 207; Broukhus. ad Tibulli III, 4 : « nec sint insomnia » vera Quæ tulit extrema pessima » nocte quies! » Dacier. ad Horatiana I, S. 10, 33 : « Post me» diam noctem visus, quum so» mnia vera. » Somnia vero falsa esse putabant, quæ vespertina. Quintus Calab. I, 133 : Νηπίη, ἥ ῥ' ἐπίθησεν ὀϊζυρῷ περ Ὀνείρῳ Ἑσπερίῳ, ὃς φῦλα πολυτλήτων ἀν-

« Οὐ πρότερον ἔφησθα » ἦν δ' ἐγὼ πρὸς αὐτόν, « ὡς τὸ τῆς ἀναβολῆς δήπουθεν οὐκ ἐπαινετόν; καὶ » πῶς ἄρ' ἀναβάλλῃ ἐς αὔριον, καὶ οὐ νῦν λέγεις; »

« Μεῖνον ἐν Πελοποννήσῳ καὶ ἔτι βεβιασμένως » ἔφη ἐκεῖνος « χρόνον βραχύν. Καὶ, εἴπερ οὐ ποιήσει » ὁ γαληνότατος καὶ πολλῶν καὶ μεγάλων χαρίτων » κεκοσμημένος πορφυρανθὴς Δεσπότης (1) τὰ πρὸς » ζωάρκειαν καὶ τὰ κατ' ἀξίαν εἰς σὲ, ἐς Κρήτην (2) » ἄπελθε ἢ πρὸς τὸν τῆς Κεφαλωνίας Δεσπότην, ἵνα » μὴ λοιμώξῃς ὡς κύων καὶ τὴν Σπάρτην κυκλοῖς (3), καὶ » μετὰ τοῦ τρισαθλίου Ἀκανθοπάτεος ἐν ἡλίῳ τυγ- » χάνῃς ἀλεαινόμενος, κἀκεῖσε ὡς ἀνεπίγνωστος ἢ » παῖδας εὐδαιμόνων πατέρων διδάξειας ἂν γράμ- » ματα, ἢ γενήσῃ βροτολοιγὸς καὶ ἰατρεύῃς (4) ὥσπερ » ὁ εἰς τὴν ἀκρόπολιν τῆς Σπάρτης εὑρισκόμενος ἄρ- » χων ἐκ Δουκῶν Χαλιβέρεας. »

« Εὐχαριστῶ σοι », ἔφην αὐτῷ « ὅτι μοι ξυμβου- » λεύῃ τὰ λυσιτελοῦντα· ἤδη οὖν καὶ αὐτὸς ἀσμένως » τῆς ἐπιστολῆς ἀπάρξομαι. »

ΕΠΙΣΤΟΛΗ. — Πρώτῃ καὶ εἰκοστῇ σεπτεμβρίου ἰνδικτιῶνος ἐννάτης (5).

Ἐπειδήπερ, ἄριστε φίλων, ἐκεῖνα ἅπερ οὐκ ἐβουλόμην οὐδ' ἐν γωνίαις εἰπεῖν, ἀλλ' οὐδὲ πρός τινα τῶν ἐπιτηδείων, σύ με κατέπεισας μὴ μόνον γρά-

θρώπων Θέλγει ἐν λεχέεσσιν ἄδην ἐπικέρτομα βάζων. Exstare scio J. L. Schulzii de somniis dissertationem, quam quærant qui volent; ego nolim.

(1) Theodorus Despota, ut videtur. Conf. supra p. 164, n. 1.

(2) Codex, κρίτην.

(3) Conf. p. 159, n. 3.

(4) Codex, ἰατρεύεις. De nomine βροτολοιγὸς cf. p. 146, n. 2.

(5) Indictio nona incidit in annum J. C. 1416, æræ Byzantinæ 6924.

ψαι καὶ διηγήσασθαι, ἀλλὰ καὶ ἐς τὸν τοῦ ᾅδου ταῦτά σοι στεῖλαι, ἤδη τὴν χεῖρα ὡς οἷόν τε κινῶ καὶ τοῦ γράφειν ἄρτι ἀπάρχομαι. Ἐν Πελοποννήσῳ, ὡς καὶ αὐτὸς οἶδας, ξεῖνε, οἰκεῖ ἀναμὶξ γένη πολιτευόμενα πάμπολλα, ὧν τὸν χωρισμὸν εὑρεῖν νῦν οὔτε ῥᾴδιον, οὔτε κατεπεῖγον· ἃ δὲ ταῖς ἀκοαῖς περιηχεῖται, ὡς πᾶσι δῆλα καὶ κορυφαῖα, τυγχάνει ταῦτα· Λακεδαίμονες, Ἰταλοὶ, Πελοποννήσιοι, Σθλαβῖνοι, Ἰλλυριοὶ, Αἰγύπτιοι καὶ Ἰουδαῖοι (οὐκ ὀλίγοι δὲ μέσον τούτων καὶ ὑποβολιμαῖοι), ὁμοῦ τὰ τοιαῦτα ἐπαριθμούμενα ἑπτά. Ὁ γὰρ ἑπτὰ ἀριθμὸς ἐν ἄλλοις μὲν δείκνυται πολλαχόθεν ἀξιόπιστός τε καὶ σεβάσμιος (1), καὶ παρὰ ἀριθμητικοῖς παρθένος (2) ὀνομαζόμενος· ἐπὶ δὲ τούτοις τοῖς παμμιάροις ἐναγής τε καὶ βέβηλος. Εἴπερ οὖν ἓν ἐτύγχανε γένος, καὶ μία ἦν πόλις ἡ τούτους περικυκλοῦσα, κουφότερα ἂν ἦν τὰ δεινὰ καὶ ἁπλᾶ, καὶ ἄλλως ἀκαπήλευτά τε καὶ ἰδιωτικὰ καὶ ἀπραγμάτευτα τὰ πάντα ἐνταῦθα ἐπολιτεύετο, καὶ τὰ πάντα ἐννόμως τε καὶ δικαίως ἐτηρεῖτό τε καὶ ἐπράττετο· ἐπειδὴ δὲ φύρδην τυγχάνουσιν ἅπαντες καὶ εἰσὶν ἀναμὶξ, πᾶσα ἀνάγκη ἵν' ἕκαστος τά τε ἔθη ἑκάστου, τοὺς νόμους, τὴν φύσιν, τὴν πολιτείαν, καὶ τὴν ἄλλην πᾶσαν κακίαν ἣν τὸ γένος πλεονεκτεῖ, ἐκμιμήσηται, ὥσπερ καὶ τὸν χωλῷ (3) συνόντα ἀμήχανον μὴ μεμαθηκέναι τοῦ ὑποσκάζειν. Ἐπεὶ τοίνυν οὕτως ἔχει καὶ οὐκ ἄλλως, φέρε εἴπωμεν ἑκάστου γένους τό τε ἐπιτήδευμα καὶ τὰς τῆς κακίας ἀρετὰς, καὶ ὅπως αἱ κακίαι ἑτέρας ἀναμάττονται

(1) Respicit etymon a nomine σεπτός: cf. p. 43, n. 5.

(2) Conf. p. 44, n. 3.

(3) Codex, χολῷ.

κακίας. Τούτων τοίνυν οἱ μὲν τὸ φιλόδοξον ἐνίων καὶ ὕφαλον καὶ πρὸς διαβολὰς καὶ συκοφαντίας ἕτοιμον, καὶ τὸ τετυφωμένον καὶ οἰνοφλυγὲς (1), καὶ φειδωλὸν περὶ πάντα καὶ πανοῦργον ἐξεμιμήσαντο· οἱ δὲ ἄλλων τὸ ἀρχικὸν καὶ φιλοχρήματον καὶ παλιγκάπηλον, καὶ περὶ τὸ ζῆν (2) στενοχωρημένως τε καὶ βεβιασμένως, ἀλλὰ δὴ καὶ τὸ στρεβλὸν καὶ δόλιον ἀνεμάξαντο· ἕτεροι τὸ παλίμβουλον ἑτέρων καὶ ἀπίθανον καὶ κίβδηλον καὶ ἄδικον καὶ πλεονεκτικὸν, καὶ τὸ πρὸς στάσεις καὶ ὅρκους καὶ ταραχὰς καὶ ἀπιστίας καὶ ἐπιορκίας καὶ τυραννίδας ἕτοιμον ἐκαρπώσαντο· ἄλλοι τὸ ὠμὸν ἄλλων καὶ ἄγριον καὶ ἀτίθασον καὶ φόνειον πνέον καὶ ἀγροῖκον καὶ λῃστρικὸν καὶ βάρβαρον καὶ ἄναρχον καὶ θεοστυγὲς ἐμιμήσαντο· ἔνιοι τὸ ψεῦδος ἑτέρων καὶ ἐξεταστικὸν καὶ οὐρεσίτροφον, καὶ βαρέως ἐπικείμενον πρὸς ἀπαιτήσεις, καὶ πρὸς ἐνδύματα καὶ τρυφὰς λυτὸν, ἀλλὰ καὶ κλεπτίστατον καὶ ἄστατον καὶ πανοῦργον καὶ δολερὸν ἐξήσκησαν· ἄλλοι τὸ ἀεὶ αἰτεῖν ἐνίων καὶ φορτικὸν καὶ κίβδηλον καὶ διεστραμμένον, καὶ περὶ μαγγανείαις (3) καὶ μαγείαις καὶ κλεψίαις συνδιαιτώμενον καὶ πολιτευόμενον· ἔμαθον ἕτεροι τὸ φιλοτάραχον ἄλλων καὶ πρὸς ἀλλήλους ὀχλοποιὸν καὶ βάσκανον καὶ δόλου γέμον, ἀλλὰ καὶ τὸ ἄσπονδον καὶ ἀσύνετον καὶ βέβηλον καὶ ἀκάθαρτον καὶ ἐναγὲς καὶ ἀσεβὲς ἐπεσπάσαντο. Τί δ' ἂν εἴποιμι πρὸς τοὺς τὰ Σοδόμων καὶ Γομόρων καὶ αἱμομικτῶν καὶ ἄλλων ἀσελγειῶν ἔργα διαπραττομένους; εἰ γὰρ ἐθελήσαιμι τὴν ἁπάντων εἰπεῖν ἀκριβῶς πολιτείαν, πολλῶν ἄρα δεηθήσομαι λόγων καὶ

(1) Codex, οἰνοφληγές, ut solet. « atque insuper. » Cf. 166, n. 1.
(2) Forsan καὶ πρὸς, τὸ ζ. : (3) Codex, μαγκανίαις.

μακρᾶς διηγήσεως. Ἀφεὶς οὖν τοὺς μακροὺς λόγους, ἐν ἑνὶ βούλομαι παραστήσασθαι λόγῳ τὴν τούτων ἅπασαν φύσιν τε καὶ τὴν πολιτείαν. Αἱ ἀρεταί, φησί τις τῶν μεγάλων (1), ὅτι γε διαφθείρονται ὑπὸ ἀχρήστων ὁμιλιῶν· εἰ οὖν τὰ χρηστὰ διαφθείρονται ὑπὸ ἀχρήστων, τί ἂν γίγνωνται αἱ κακίαι ὑπὸ κακιόνων συναναστρεφόμεναί τε καὶ συνδιαιτώμεναι, μᾶλλον δὲ συγκιρνώμεναί τε καὶ συνουσιούμεναι, συγκυλιόμεναί τε καὶ καλινδούμεναι, καθάπερ ἐπὶ τῷ τέλματι καὶ βορβόρῳ σύες.

Εἰ μὲν οὖν, ὦ ἐξεταστικώτατε, πείθῃ οὕτω καὶ οὐκ ἄλλως ἔχειν τὰ τούτων πολιτευόμενα, ὥσπερ ἔγωγε δι' ὀλίγου νῦν διεξῆλθον, ἀπήλλαξάς με μακρολογίας καὶ ἀτερποῦς διηγήσεως, καὶ οὐκ ἂν δεηθήσομαι (2) πλειόνων ἀποδείξεων πρὸς τὸ παραστῆσαι τὰ τούτων· εἰ δ' οὔτε πείθῃ οὔτε πιστεύεις, ἀλλ' ἄλλην τινὰ δόξαν ἐξηπατημένην ἐπὶ τούτοις καὶ καινοτέραν ἔχεις, ἣν εἶχες ὅτε με ξυνεβούλευσας πρὸς Πελοπόννησον ἀπελθεῖν, ἄκουσον, ὁ πάντων μοι τῶν κακῶν αἴτιος, μᾶλλον δέ, ἵν' ᾖ μοι τὸ κήρυγμα μεῖζον, καί, πάντες οἱ ἐν ᾅδου, ἀκούσατε· οἱ γὰρ περιόντες τῷ βίῳ καὶ οἴδασιν ἅπερ ἐρῶ νῦν, καὶ οἱ μετ' αὐτοὺς εἰς τὸν καθεξῆς αἰῶνα ἀκούσονται, καὶ στήλη τις ἔσεται κακίας, τῶν πρὶν ἀνισταμένων ἀμείνων στηλῶν, ἀποκρύπτουσα

(1) D. Paulus scilicet, cujus nota verba: μὴ πλανᾶσθε· « φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί. » Auctorem cujus meminerat Apostolus, sive Menandrum sive Euripidem, sequebatur et Diodorus Sic. XVI, 64: ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων. Plautus Trin. II, 2, 6: « malus » bonum malum Esse volt, ut sit » sui similis; turbant, miscent » mores mali. » Conf. notula mea ad Gnom. p. 289.

(2) Codex, δεηθήσωμαι.

καὶ τὰ τῶν Λημνίων ἐκεῖνα καὶ τὰ τῆς Ἰλιάδος κακά (1).

Τοῦ θειοτάτου καὶ γενναιοτάτου καὶ μάλα ὑψηλοτάτου αὐτοκράτορος ἐκ Κωνσταντίνου ἀπάραντος, κατὰ τὴν πέμπτην καὶ εἰκοστὴν ἰουλίου τῆς ἑβδόμης ἰνδικτιῶνος, μετὰ νηός τε μεγάλης μιᾶς καὶ πέντε τριήρων, κατέπλευσεν ἐν τῇ στασιασάσῃ πολυυμνήτῳ Θάσῳ, κἀκεῖσε τρεῖς μῆνας ἐνδιατρίψας, ὑφ' ἑαυτὸν ἐποιήσατο πᾶσαν (2), ὥσπερ ἦν πρότερον, μετὰ δυνάμεώς τε καρτερᾶς καὶ πετροβόλων μηχανημάτων, συχνῶν πρότερον καὶ μεγάλων ἐν αὐτῇ γεγονότων πολέμων. Εἶτα μέχρι καὶ Θεσσαλονίκης τοῦ τοιούτου ἐλθόντος καὶ τὰ ἐκεῖσε πάντ' εὖ καὶ ὡς εἰκὸς διαθεμένου, ἐπανῆκε μετὰ τῆς τοιαύτης δυνάμεως καὶ πρὸς τὴν τοῦ Πέλοπος χαίρων (3). Ἐπανῆκεν οὖν οὐ πρὸς θοίνην οὐδὲ θήραν, ἀλλ' οὐδὲ πρὸς ἄνεσιν καὶ πόνων ἀνακωχὴν, τῶν πολλῶν καὶ γενναίων ἐκείνων ἔργων ὧν ἐν Θεσσαλονίκῃ καὶ Θάσῳ πεποίηκεν· ἀλλὰ τὸν ἀπ' αἰῶνος κατεσκαμμένον ἰσθμὸν τῆς Πελοποννήσου καὶ βατὸν τυγχάνοντα τῷ βουλομένῳ παντὶ, ὃν οὐδ' ἐν ὕπνοις ὠνειροπόλησέ

(1) Notum proverbium de quo consulendi Parœmiographi, ac Wolfius ad hæc Libanii Epist. 24 : τούτοις τοιούτοις προσεπέθη Λήμνια, φασὶ, κακά. Codex 3035, τ. τοιούτοις οὖσι πρ., additione non spernenda. Nic. Gregoras II, 2, 3 : ἦν ἰδεῖν οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, Λήμνια κακὰ, θρήνους Τρωϊκοὺς, πολλῶν καὶ παντοδαπῶν κακῶν πανήγυριν.

(2) Consentit Phrantzes I, 33 : ἐν τῷ ἰουλίῳ μηνὶ τοῦ ϛϡκα' ἔτους ἐξῆλθεν ἀπὸ τῆς πόλεως ὁ βασιλεὺς κὺρ Μανουὴλ ἀπελθὼν εἰς τὴν νῆσον Θάσον, καὶ ἀπῆρεν αὐτὴν ἐν μηνὶ σεπτεμβρίῳ τοῦ ϛϡκβ' ἔτους. Annus æræ Byzantinæ 6921 incidit in annum J. C. 1413, ut et initium anni Byzantini 6922, quem september inchoat.

(3) Phrantzes : καὶ αὖθις ἐκεῖθεν ἀπῆλθεν εἰς τὴν Θεσσαλονίκην, εἶτα εἰς τὸν Μορέαν, ἔνθα ᾠκοδόμησε τὸ Ἑξαμίλιον κ. τ. λ. Confer. Ameilhon. CXVI, 62.

τις τῶν ϖροτοῦ βασιλέων, πρὸς τὸ τειχίσαι (1) τε καὶ ταφρῶσαι, τοῦτον, παρὰ πᾶσαν ϖροσδοκίαν, ἐν πέντε πρὸς ταῖς εἴκοσιν ἡμέραις, μετ' ἐπάλξεων καὶ πυργωμάτων τὸν τοιοῦτον τετείχικε περίβολον, καὶ σὺν αὐτῷ ἀνῳκοδόμησε καὶ τὰ ἐν ἄκροις κατεσκαμμένα δύο πολίχνια εἰς φρουρὰν μὲν τῶν ἔνδον συναναστρεφομένων, λιμένα δὲ τῶν χειμαζομένων ἔξωθεν ὑπ' ἀνάγκαις βαρβαρικαῖς. Οὔπω δὲ τοῦ περιωνύμου τούτου ἔργου ἀπαρτισθέντος, οἱ πάντ' ἄνω καὶ κάτω κυκῶντές τε καὶ ταράττοντες τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον τὰ τῶν Πελοποννησίων, οἱ μάχαις μὲν ἀεὶ χαίροντες καὶ ταραχαῖς, φόνειον δ' ἐς ἀεὶ πνέοντες τοπάρχαι, οἱ ἀπάτης καὶ δόλου καὶ ψεύδους μεστοὶ, οἱ βεβαρβαρωμένοι καὶ τετυφωμένοι καὶ ἄστατοι καὶ ἐπίορκοι, καὶ ἄπιστοι πρὸς βασιλέα τε καὶ Δεσπότας ἀεὶ, οἱ ὄντες μὲν ταλάντατοι, Ταντάλου δὲ πλέον φρονοῦντες, οἱ Ἶροι μὲν τυγχάνοντες, ἥρωες δὲ εἶναι δοκοῦντες, καὶ μυρίων ἀσελγειῶν καὶ πράξεων (2) μεμεστιωμένοι, οὗτοι, ὦ γῆ καὶ ἥλιε καὶ ὁ τῶν ἄστρων ἅπας χορὸς, περὶ τὸν εὐεργέτην αὐτῶν καὶ σωτῆρα ἀναιδῶς ἐπανέστησαν, καὶ τυραννίδα τούτων ἕκαστος ἐμελέτησε, καὶ ὅρκους καὶ συμβούλια χαλεπὰ ϖρὸς ἀλλήλους συνέθεντο, καὶ δόλους κατὰ τοῦ γενναιοτάτου βασιλέως ἔρραψαν, καὶ ϖρὸς τοῖς ἐργαζομένοις ἠπείλησαν ἵνα καὶ τὸν ἀνοικοδομηθέντα ϖρὸς σωτηρίαν αὐτῶν τε καὶ τῶν μετ' αὐτῶν περίβολον κατασκάψωσι, καὶ τὸν τοῦτον τειχίσαντα εὐεργέτην τε καὶ πρύτανιν καὶ πολιοῦχον καὶ τῶν Ῥωμαίων ἄγρυπνον φύλακα,

(1) Codex, τοιχίσαι· mox τετοίχικε· et infra τοιχίσαντα.

(2) Sic codex. Videtur epithetum deesse, αἰσχρῶν, vel aliud.

κἀν τῷ παρόντι καιρῷ καθ' Ἡρακλέα καὶ ὑπὲρ Ἡρακλέα ἀγωνιζόμενον, τὸν τὰ ἑαυτοῦ πάντα δεύτερα θέμενον πρὸς τὸ τειχίσαι (1) τε καὶ ταφρῶσαι μόνον τουτονὶ τὸν περίβολον εἰς φρουρὰν πάντων τῶν ἐντὸς ἐνοικούντων, τοῦτον τοίνυν τὸν ἀήττητον καὶ γενναιότατον αὐτοκράτορα διαχειρίσαι ἐκαυχήσαντο ἢ κρύφα ἢ μεθ' ὅπλων καὶ στρατιᾶς. Οὕτως ἀπιστησάντων τε καὶ στασιασάντων τούτων, ὁ πάντων ἀήττητος αὐτοκράτωρ ἀνδρείως καὶ μεθ' ὅσης ἂν εἴπῃ τις μεγαλοψυχίας τε καὶ καρτερίας, καὶ δειλίας τινὸς ἄτερ, τὰ τούτων τῶν παμμιάρων σκαιωρήματα καὶ τοὺς ὕθλους, ἀλλὰ δὴ καὶ τὰς ἐκδρομὰς καὶ ἐνέδρας καὶ ἐκστρατείας, ἔτι τε τοῦ κροκοδείλου (2) τοὺς λόγους τοὺς ἀπάτης καὶ δόλου μεστούς, καὶ τοῦ Ἑλλεαβούρκου τοῦ δρεπανηφόρου τὸν τῦφον γενναίως διενεγκών, ἐχώρει μετὰ παμπόλλου στρατεύματος κατ' αὐτῶν, ὑετὸν ὁμοίως καὶ ἥλιον φέρων ἡδέως, χαίρων ἅμα τε καὶ ἀνιώμενος· χαίρων μὲν ὅτι διὰ τουτωνὶ τῶν λυσιτελεστάτων ἔργων οὐ μόνον τὸ δολερὸν ἐξηλέγχθη τούτων ὅπερ ἄνωθεν ἔτρεφον καὶ χαιρέκακον, ἀλλὰ καὶ τὸ ἀπατηλὸν καὶ κίβδηλον καὶ ὕπουλον, καὶ πάσης ἄλλης κακίας μεμεστωμένον τε καὶ ἄπιστον πεφανέρωται· οὐδὲ γὰρ ἄλλως ἂν ἐξεφαάνθη ἡ τούτων ἄνοια καὶ μανία, εἰ μὴ διὰ τῶν τοιούτων χρηστῶν ἔργων, καθάπερ ἐξελέγχει καὶ τὸν φρενίτην ὁ ἄκρατος, μᾶλλον δὲ τὸν κίβδηλον χρυσὸν λίθος ἡ βάσανος· ἀνιώμενος δὲ ὅτιπερ οὐ τετέλεκε τὸ περιώνυμον καὶ πολλῶν ἐγκωμίων ἄξιον ἔργον ὡς ἐφίετό τε καὶ ηὔχετο, ἀλλ' ἐφ' ἕτερά τινα ἀτερπῆ καὶ τῆς ἑαυτοῦ διανοίας τε καὶ

(1) Recte codex, τιχίσαι. (2) Cod., κροκοδύλου. Cf. p. 130, n. 3.

βουλῆς ἔξω τὸν καιρὸν ἀναλίσκειν ἠναγκάζετο, οἷόν γε πρὸς πολέμους, πόνους, μάχας, πολιχνίων ἁλώσεις, σπονδὰς ἐπ' ἀγροίκων, ἐπ' οὐδένων πρεσβείας, εὐεργεσίας πρὸς ἀχαρίστους, πρὸς ἀνημέρους καὶ φόνειον πνέοντας συμπάθειαν μετὰ φιλανθρωπίας, ἑλεπόλεων καὶ πετροβόλων μηχανημάτων κατασκευὰς, χρημάτων πολλῶν ἀναλώσεις, στερήσεις ἀναγκαίων, ἀνύδρων καὶ ἀνημέρων χωρίων διατριβὴν, δυσβάτων ὀρέων διάβασιν, χαμευνίας, ἀγρυπνίας, οἰκετῶν γογγυσμοὺς, δούλων ἐπιθέσεις, οἰκείων ὄκνον (1) τε καὶ ἀναβολὴν, ἵππων φροντίδας, καὶ ἄλλων μυρίων δεινῶν κάκωσίν τε καὶ ταλαιπωρίαν.

Τοιαῦτ', ὦ ἑταῖρε, καὶ ἔτι πλείους ἀμοιβὰς τῷ σωτῆρι τούτων καὶ εὐεργέτῃ καὶ κοινῷ τῶν Ῥωμαίων φύλακι οἱ τοιοῦτοι νῦν ἀποδεδώκασι· δέον γὰρ ὑπὲρ τούτου νύκτωρ καὶ μεθ' ἡμέραν εὔχεσθαι τῷ παντοκράτορι καὶ λιτὰς καὶ δεήσεις ἀεὶ πρὸς Θεὸν ποιεῖν καὶ τὰς αὐτοῦ προσταγὰς πείθεσθαι καὶ ὑπακούειν ἡδέως, ἐκπληρεῖν (2) δὲ προθύμως τὰ κελευόμενα, κηρύττειν δὲ καὶ μεγαλύνειν εἰς ἅπασαν τὴν ὑφ' ἥλιον τουτὶ τὸ ἔργον, τὸ δ' ὄνομα τούτου ταῖς αὐτῶν διανοίαις καὶ στέρνοις ἐγγράψαι, οἱ δὲ ἀνεφάνησαν τοιοῦτοι οἵουσπερ νῦν ἀκήκοας, οἷον περὶ τὸν εὐεργέτην ἀχάριστοι, περὶ τὸν σωτῆρα ἀγνώμονες, περὶ τὸν ἄγρυπνον φύλακα ἀποστάται, περὶ τὸν πάντα προέμενον εἰς τὸ σῶσαι στασιασταὶ καὶ ἐπίβουλοι, περὶ τὸν πρόμαχον καὶ πρόβολον τῶν ἐπερχομένων αὐτοῖς δεινῶν ἐπίορκοι καὶ φονικοὶ καὶ δόλου καὶ κακίας μεμεστωμένοι. Ἐὰν οὖν εἰς τὸν γενναιότατον καὶ μάλα ὑψη-

(1) Codex, ὄκνων. (2) Conf. p. 128, n. 4.

λότατον καὶ ἀήττητον αὐτοκράτορα, τὸν σαλεύοντα μὲν καὶ σείοντα δι' ἀκοῆς τὰς ψυχὰς τῶν ἀπ' ἀνίσχοντος ἡλίου μέχρι καὶ δυομένου σατραπῶν, ἐκφοβοῦντα δὲ καὶ ἐκπλήττοντα δι' ἔργων πάντας τοὺς δυσμενεῖς, τί ἂν εἰς ἐμὲ τὸν δύστηνον καὶ ταλάντατον, καὶ τοὺς κατ' ἐμὲ κατὰ Πελοποννησίους ἀνατολικοὺς ὀνομαζομένους, οἱ τοιοῦτοί γε διαπράξονται; Διὰ τοῦτο καὶ εὔχομαι μὲν τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγόντι παντοκράτορι, ἵνα τὰ μὲν πολίχνια τῶν μιαρῶν καὶ κιβδήλων καὶ δολίων καὶ παμμιάρων καὶ οὐδένων τοπαρχῶν ῥαδίως τε καὶ δι' ὀλίγου ἁλωθῶσιν ὑπὸ τοῦ γενναιοτάτου αὐτοκράτορος, αὐτοὶ δὲ τακήσονται ὡς κηρὸς ὑπὸ τοῦ πυρὸς (1) καὶ ὡς πάχνη ὑπὸ ἀκτῖνος (2), καὶ κυριευθήσονταί γε καὶ δουλωθήσονται δεινῶς ὑπὸ τὴν αὐτοῦ τε δεσποτείαν καὶ κυριότητα, δουλοσύνην (3) δὲ τοῦ πάντ' ἀρίστου καὶ γαληνοτάτου καὶ πορφυρανθοῦς Δεσπότου ἡμῶν. Τὸν δὲ χθόνιον καθικετεύω Ἑρμῆν καὶ τὴν Περσεφόνην καὶ αὐτόν γε τὸν μέγαν Πλούτωνα, ἵν', ἐπειδήπερ δολίως με συνεβούλευσας, μᾶλλον δὲ παρακεκίνηκας πρὸς Πελοπόννησον πανοικὶ ἀφικέσθαι, τριβόλους τε καὶ ἀκάνθας (4) ὁδεύων ἐν ᾅδου πατῇς, τὸ τῆς

(1) Isai. LXIV, 2: ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους. Cf. Psalm. LVII, 8; LXVII, 2.

(2) Confer Sapient. Salom. XVI, 29.

(3) Codex, δουλωσύνην. Moschopulus Π. σχ. p. 75, de scriptura nominum ejus desinentiæ: τὸ φρο (scilicet in nomine εὐφροσύνη) μικρὸν, διὰ τὸ εἶναι τὴν πρὸ αὐτοῦ συλλαβὴν μακράν· ὥσπερ γὰρ τὰ διὰ τοῦ ωπερος καὶ ωτατος, οὕτω καὶ διὰ τοῦ ωσυνη θηλυκά κ. τ. λ. Codex 2599 paulo disertius: τὰ διὰ τοῦ ώτερος καὶ ώτατος, οὕτω καὶ τὰ διὰ τοῦ $\overset{\omega}{_o}$συνη.

(4) Junguntur τρίβολοι καὶ ἄκανθαι, ut in Epistola ad Hebr. VI, 8. Cf. Matth. VII, 16.

Στύγος ὕδωρ σοι ξηρανθήσεται, τὸ δὲ τῆς Λήθης οὐκ ἄν ποτε πίῃς εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ὡς ἂν τὴν τοῦ ἀντιτέχνου σοι ἀηδίαν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐν νῷ στρέφῃς, ὁμοίως δὲ καὶ τὴν τῶν φλωρίων δόσιν ἅπερ πρὸς τοὺς ξανθοὺς ὑπούλους (1) φενακισθεὶς δέδωκας. Διάτριβε ἐν ᾅδου ἀνιώμενος μέχρι τῆς τελευταίας σάλπιγγος, ἡμᾶς ἐκδεχόμενος χαίροντας, ὁπόταν γε Θεὸς ἐπιτρέψῃ.

ΜΑΝΟΥΗΛ ΟΛΟΒΟΛΟΣ ΣΥΝ ΤΟΙΣ ΕΤΑΙΡΟΙΣ

Τῼ ΑΡΙΣΤῼ ΚΑΙ ΛΑΜΠΡΟΤΑΤῼ ΑΣΚΛΗΠΙΑΔΩΝ

ΚΥΡῼ ΝΙΚΗΦΟΡῼ ΠΑΛΑΙΟΛΟΓῼ ΔΟΥΚᾼ Τῼ ΚΑΛΑΚῌ.*

Καὶ πρὸ τῶν γραμμάτων, οἶμαι, τῶν ἡμετέρων, ἐξ ὧν πρὸς τὸν καλὸν κἀγαθὸν ἑταῖρον ἡμῶν Μάζαριν ἐν ὀνείροις (2) πρότερα διειλέχθην (3) μαθεῖν ἔμελλες, Ἀσκληπιαδῶν ἄριστε, ὡς ἔχει πάντα τὰ κατ' ἐμέ· ὥσπερ ἄρα καὶ αὐτὸς μεμάθηκα δήπουθεν πάντα τὰ κατὰ σὲ παρὰ τοῦ πολλὰ ἐν Πελοποννήσῳ ἀνιαθέντος ἀκέστορος τοῦ Ἀγγέλου ἐκείνου περὶ τῆς ὀφειλομένης αὐτῷ προσόδου, καὶ ὑπ' ἀθυμίας εἰς ᾅδου ὁρμήσαντος· ὅθεν μακρῶν οὐ δέομαι περὶ τούτου λόγων, ὥστε καὶ γράψαι καὶ παραμυθήσασθαί σε τήν τε ἄλλην καὶ ταλαιπωρίαν καὶ τοὺς πόνους, ἅπερ ἐν

(1) Conf. p. 129, n. 5.

* Lemma fere evanidum. Id e regione fuit in codice rescriptum a viro doctiss. Hasio, cujus manum agnovi nitidissimam. In ultima voce literæ καλ sunt reliquis quoque obscuriores.

(2) Scilicet in præcedente opusculo.

(3) Codex, διηλέχθην.

Πελοποννήσῳ πέπονθας διατρίβων. Ὁ γὰρ τῆς ἑαυτοῦ πατρίδος ἀπάρας ὅμοιός ἐστι πτερυφυήσαντι μύρμηκι· καὶ καθάπερ ἐκεῖνος ὄλλυται διαπτὰς, οὕτω καὶ ὁ τοιοῦτος διαφθείρεται ἔνθεν κἀκεῖθεν φερόμενος. Τοῦτο δέ σοι μόνον διὰ βραχέων πρὸς παραμυθίαν ἐρῶ, ὡς, ἐπειδήπερ τῆς μεγάλης ἐξῆλθες πόλεως, οὕτως ὡς ἐπυθόμην, κἀν Πελοποννήσῳ τυγχάνεις ἔτι διατρίβων, ὡς ἔγνων, καὶ νῦν μὲν ταλαιπωρίαις παλαίων ὠρακιᾷς, νῦν δ' ἀθυμίαις κυκλούμενος, μικροῦ δὴ φρενῶν ἔξω γίγνῃ, καὶ νύκτωρ μὲν τὴν ἡμέραν κατεύχῃ καθ' ἣν τῆς πατρίδος ἐξῆλθες, μεθ' ἡμέραν δὲ μεμνημένος ἐς ἀεὶ τυγχάνων διατελεῖς παίδων, οἰκιῶν, ἀγρῶν, δένδρων, ὀπωρῶν, κερδῶν, ἀνθοσμία, τρυφῆς, ἰχθύων, πλούτου, κρεῶν, θέας, ὁμιλίας ἀνδρῶν ἀρίστων, καὶ ἄλλης ἀπολαύσεώς τε καὶ θυμηδίας, βούλομαί σοι φάρμακον ἀλεξιτήριον (1) παρασχεῖν, ὥστε λήθην σε πάντων ποιῆσαι ὧν ἀπήλαυσας ἀγαθῶν, ὅπερ καὶ αὐτὸς ἐν ἅδου ἔπιον τότε, καὶ τῆς γε ἀηδίας ἐπελαθόμην τοῦ ἀντιτέχνου καὶ ἄλλων ὧνπερ ἀπήλαυσα ἐν βίῳ χρηστῶν, ἀλλὰ δὴ καὶ τῶν φλωρίων ἐκείνων ἅπερ πρὸς τοὺς ξανθοὺς ὑπούλους (2) Ἡράκλεις! φενακισθεὶς δέδωκα. Ἡ γὰρ τῶν ἀπολαύσεων, ξεῖνε, μνήμη ὀδύνη τίς ἐστιν ἄῤῥητος καὶ δίκη δίκης ἁπάσης καὶ τιμωρίας πικροτέρα, οὐ πλευρὰς καταξαίνουσα μόνον, ἀλλὰ καὶ ψυχῆς δύναμιν λυμαινομένη (3). Εἴπερ οὖν ἐθελήσειας τὸ παρὸν ἀλεξιτήριον, ὅπερ ἐν ἅδου Λήθης καλοῦσιν ὕδωρ πιεῖν ἅπαξ, τούτου γε μόνου, ἐπιλήσμων ἂν γένοιο τούτων πάντων, καὶ ἀμνημόνησις οὐ μόνον

(1) Conf. pag. 146, n. 5. Et sic mox.

(2) Conf. p. 129, n. 5.

(3) Similia p. 126.

πατρίδος καὶ πάντων ὧν ἀπήλαυσας ἀγαθῶν, ἀλλὰ καὶ τοῦ κατορωρυγμένου ἐκείνου χρυσίου, καὶ τοῦ νεοφύτου μεγάλου ἀγροῦ, καὶ τῶν συμβολῶν, καὶ ἀλεξιτηρείων φαρμάκων ἅπερ τῷ χρηστῷ ἀνδρὶ Σεβαστιάνῳ ποιεῖν (1) προσέταττες, ἀλλὰ δὴ καὶ τῶν συνεισφορῶν τῶν ξενώνων, καὶ λημμάτων τῶν ἀρχόντων τοῦ Γαλατᾶ. Ἔῤῥωσο, Ἀσκληπιαδῶν ἄριστε καὶ εὐδαιμονέστατε, ἐς μακροὺς τοὺς ἡλίους.

Αὕτη ἐγράφη ἐν τῷ Ταινάρῳ ὀκτωβρίου ις', καὶ ἐπέμφθη μετὰ Συναδηνοῦ (2) τοῦ Κορμέα.

ΠΑΛΑΙΟΛΟΓΟΥ.......ΑΜΟΙΒΑΙΑ

ΠΡΟΣ ΜΑΝΟΥΗΛ ΤΟΝ ΟΛΟΒΟΛΟΝ.

Ἐδεξάμην τὴν ἐπιστολὴν τὴν ἀπὸ Ταινάρου πεμφθεῖσαν, ῥητόρων βέλτιστε, μετὰ τοῦ Πελοποννησίου Συναδηνοῦ τοῦ Κορμέα, ἣν διαῤῥῆξαι καὶ οὐκ ἀναγνῶναι ἔδει, ὅτι με κατορωρυγμένον χρυσίον γέγραφας ἔχειν. Πλὴν, ἐπειδήπερ πέπομφας καὶ ἄκων ἀνέγνων, τὴν δὲ (3) τῶν γεγραμμένων διήγησίν τε καὶ μνήμην, ἀλλὰ δὴ καὶ τὴν συμβουλὴν, ἣν ἐν Πελοποννήσῳ μοι συμβουλεύῃ ποιῆσαι, κατέγνων. Ἐγὼ μὲν γὰρ ᾤμην ἐν αὐτῇ σε γεγραφέναι τά τε ἐν ᾅδου ὡς ἔχει πάντα, καὶ οἷον ζῇς βίον, καὶ εἰς οἵαν τάξιν αὐτόθι τυγχάνων διατελεῖς, ἄρ' ἐν τῷ καταλόγῳ τῶν ἀρίστων Ἀσκληπιαδῶν ἢ ἐν τῷ χορῷ τῶν μεγάλα

(1) Sic vernacule, *faire des remèdes*. Ironice dicta puto ea remedia ἀλεξητήρια, pro δηλητηρίοις. Medicos nonnullos ejus ætatis ut φαρμακίας jam momordit.

(2) Codex, συναδηνοῦ : et sic mox. Cf. p. 164, 18.

(3) Forsan τήνδε.

δυναμένων ῥητόρων, καὶ εἴπερ αὐτόθι μετέρχῃ ἑκάτερα, ὥσπερ ἐν βίῳ πλεονεκτῶν μετήρχου καὶ τὴν ἰατρικὴν, καὶ σὺν αὐτοῖς ποίαν τούτων αὐτόθι τιμῶσι πλέον, τὴν τῶν ῥητόρων ἢ τὴν τῶν ἰατρῶν ἐπιστήμην, καὶ πρὸς τούτοις τὰς ἀπολαύσεις ὧν ἀπήλαυσας ἥκων αὐτόθι, ὡς ἂν καὶ ἡμᾶς ποιήσῃς προθύμους ὥστ' ἀποδράναι τῶν ὧδε καὶ πρὸς ᾅδου δρομαίως ἐλθεῖν· σὺ δ' ἐξ ὧν καὶ μέμνησαι καὶ γράφεις, τὸ τῆς Λήθης οὔπω πέπωκας (1) ὕδωρ· ὁ γὰρ ἐκείνου γευσάμενος, ὡς οἱ ποιηταί φασι, πάντων ἐπιλανθάνεται. Εἰ δὲ σὺ μὲν ἔπιες, ὡς γράφεις, ἔτι δὲ μνείαν ἔχεις καὶ ἀντιτέχνου καὶ σιατήρων, καὶ ἀδελφιδοῦ, καὶ ἄλλων ἡδέων τε καὶ τερπνῶν, τίνα ἂν μείζονα δώσεις δίκην, ὅτε τῷ κριτῇ παραστῇς ἐκείνῳ τῷ ἀλαθήτῳ; ἡ γὰρ τῶν ἀπολαύσεων, ὡς ἔφησθα, μνήμη κολάσεων ἄρα καὶ τιμωριῶν μυρίων ἐστὶν ἱκανή. Ἢν οὖν καὶ αὐτὸς πίωμαι τὸ Λήθης ὕδωρ, ὡς φὴς, οὐκ ἐπιλήσομαι δὲ πάντων ὧν κέκτημαι, ἀλλ' ἔχω κἂν ᾅδου τούτων γε μνείαν, ὥσπερ ἐν Πελοποννήσῳ νύκτωρ καὶ μεθ' ἡμέραν κατατρύχομαι ὑπὸ μνήμης, οὐκ οἶδα τίνα ἂν ὠφέλειαν εὕροιμι· ὅθεν βέλτιον ἡγοῦμαι διατρίβειν ἐν τῇ τοῦ Πέλοπος μονοχίτων, ἄνω τε καὶ κάτω φερόμενος, καὶ τῶν ἡδέων πάντων ἐστερημένος ἢ τὸν παρόντα καιρὸν ἀφικέσθαι ἐν ᾅδου. Ὁ γὰρ ἐν βίῳ διατρίβων, κἂν εἰς τὰ τέρματα τῆς οἰκουμένης ἀπέλθῃ, ὀψέ ποτ' ἂν ἐπανήξειεν αὖθις ἐς τὴν πατρίδα· ὁ δ' ἐν ᾅδου, μέχρι καὶ τελευταίας σάλπιγγος. Διὰ τοῦτο, τό γε νῦν ἔχον, οὐ βούλομαι· δι' ἐφέσεως δὲ ἔχω τὰ φίλτατα συναρμόσαι, τῷ

(1) Codex, πέπωκας.

μὲν νύμφην, τῇ δὲ νυμφίον. Πλὴν ἑτοίμασον χώραν τὸν πρὸς ἀξίαν, ὅτι μικρὸν ὕστερον, κἂν μὴ βουλώμεθα, καὶ ἄκοντες ἐλευσόμεθα (1). Διάτριβε, ῥητορικώτατε, κολάσεων ἔξωθεν ἐν χώρῳ χλόης τε καὶ ἀναψύξεως μέχρι καὶ τελευταίας σάλπιγγος (2).

Αὕτη ἐγράφη ἐν Σπάρτῃ (3), ὀκτωβρίου κα', καὶ ἐπέμφθη μετὰ τοῦ ἀώρως θανόντος Θετταλοῦ τοῦ Χρυσάφη, τοῦ μηδὲ μόλυβδον (4) ἔχοντος.

(1) Codex, ἐλευσώμεθα.

(2) I Epist. ad Cor. xv, 52: ἐν τῇ ἐσχάτῃ σάλπιγγι. Inde profecit Mazaris hic et supra p. 182, 7.

(3) Clausulam hujus ac præcedentis epistolæ ad imitationem scripsit formularum quibus, in multis codicibus atque editionibus, Paulinæ Epistolæ clauduntur.

(4) Desinit ludendo de more in nomen hominis ab auro vocati Χρυσάφης, et cui ne plumbus quidem nec æs fuerunt.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΚΥΡΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

ΕΠΙΣΤΟΛΑΙ.*

α΄.—Τῷ Μεγάλῳ Δομεστίκῳ.

Κῦρος ὁ τῶν Περσῶν βασιλεὺς (1), οὓς ἐν τοῖς μάλιστα τῶν ἑταίρων ἐτίμα, παρὰ τὴν ἀριστερὰν ἐν τοῖς δείπνοις ἐκάθιζε χεῖρα, φύλακας ἴσως ἑαυτῷ τοῦ ἀσθενεστέρου ποιούμενος μέρους (2). Σὺ δὲ πάντας μὲν ὁπόσοι τῆς σῆς ἐπικουρίας πεφύκασι χρήζοντες, τούτους δ' αὐτὸς ὑπὸ τὸν τῆς σῆς δεξιᾶς καθίζεις λιμένα, ἵνα μᾶλλον ἐκεῖνοι φυλάττοιντο· τὴν δ' ἀριστερὰν οὐδ' ἐπιγινώσκειν τὰς τοιαύτας τῆς δεξιᾶς ἀξιοῖς εὐποιΐας (3). Κἀκεῖνος μὲν ἐν μόνοις γε τοῖς δείπνοις, σὺ δ' ἐν ἅπαντι τῷ χρόνῳ λέληθας δειπνίζων ἅπαντας. Καὶ οὔτε νύκτες κοιμίζειν σου τὰς τοιαύτας ἰσχύουσιν εὐποιΐας, οὔθ' ἡμέραι περισπᾶν καὶ ἀνθέλκειν ἐκ τοιαύτης γαλήνης εἰς πελάγη θορύβων (4) πολιτικῶν· ἀλλ' ἐν ἁρμοττούσῃ τῇ χώρᾳ μένειν ἑκάτερα δίδως μετά τινος ἠκριβωμένης τῆς

* E cod. 2991 A, p. 164, ubi τοῦ αὐτοῦ ἐπιστολαί. Nomen et epitheta sumsi e cod. p. 154.

(1) In Boiviniano epistolarum Gregoræ catalogo epistola recensita est Μεγάλῳ Δομεστίκῳ inscripta, cujus initium, Κῦρος ἐκεῖνος ὁ Καμβύσου, ab ea quam edo forsan non diversa.

(2) Videatur Xenoph. Cyrop. VIII, 4, 3.

(3) Præceptum est Christi ap. Matth. VI, 3 : σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.

(4) Menander pag. 22, Cler. : Εἰς πέλαγος αὐτὸν ἐμβαλεῖς τῶν πραγμάτων.

πλάστιγγος· τοῦ γὰρ χρόνου διαδοχαῖς ἡμερῶν καὶ νυκτῶν παρατρέχοντος, σὺ καὶ τοῦ χρόνου βεβαιότερα κέκτησαι τἀγαθά. Σὺ μὲν γὰρ τοὺς εὐρίπους ἐλέγχεις ἐκείνου τῇ μονίμῳ τῶν ἔργων χρηστότητι· ἐλέγξαι δ' ἐκεῖνος τὴν σὴν δεξιὰν οὐ δεδύνηται μέχρι καὶ τήμερον.

Ἐπεὶ δ' οὐ μονοειδές σου τῶν ἀγαθῶν τὸ γεώργιον, ἀλλὰ πολύχουν ὁμοῦ καὶ ποικίλον ἐκ τῶν πλουσίων ἐσχάτων τῆς γνώμης ἀνέρχεται (1), ἥκομέν σοι καὶ τήμερον παράκλησιν ταύτην ὑπὲρ τοῦ σοῦ (2) προσάγοντες, οὗ πολλάκις προστάτης ἐγένου καὶ μεγίστων παροχεὺς ἀγαθῶν. Φάνηθι τοίνυν αὐτῷ κινδυνεύοντι θερμὸς προμηθεύς, καὶ νῦν μᾶλλον ἢ πρότερον δεομένῳ τῆς σῆς ἱερᾶς καὶ βεβαιοτάτης ἀγκύρας (3), ναὶ πρὸς Θεοῦ, καὶ τῆς συνήθους σοι μεγαλοψυχίας, θειότατε ἄνθρωπε καὶ πάντων ἀγαθῶν ἀνθρώπων ἀντάξιε.

β'.—Τῷ αὐτῷ.

Ἐμοὶ (4) δ' ἐκ τῶν τοῦ σοφοῦ Σολομῶντος ᾀσμάτων δανεισαμένῳ τὰ τῇ παρούσῃ χρείᾳ προσήκοντα λέγειν ἔπεισι πρὸς σὲ τὸν τῆς ἡμετέρας δημιουργὸν εὐφροσύνης, « νῦν (5) ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς » ἀπῆλθε, τὰ ἄνθη ὤφθη, φωνὴ τρυγόνος ἐν τῇ γῇ » ἡμῶν »· ὅθεν καὶ φροῦδα γέγονε τὰ σκυθρωπὰ καὶ

(1) Respectu ad Æschyli locum, quem vide supra pag. 18, n. 1.

(2) Sic codex, omisso forsan proprio hominis nomine, qui commendatur.

(3) Alludit ad notum proverbium de anchora sacra: ταύτην, ut est in Appendice Vaticana II, 18, εἰς τὴν θάλατταν ῥίπτουσιν, ὅτε μέγιστος χειμὼν καταλάβῃ καὶ πλευταῖος· rescr. ὅταν, et forsan πλευταίαν.

(4) Deest hæc epistola in Boiviniano catalogo.

(5) Cant. cant. II, 11, 12.

ἡδονῆς ὁρᾶται τὰ πάντα μεστὰ, καὶ χάρις Θεῷ τῷ ταύτην χαρισαμένῳ τὴν εὐφροσύνην ἡμῖν. Δεῖ δὲ καὶ τοὺς ἐν εἱρκτῇ καὶ δεσμοῖς τῆς τοιαύτης αἰσθέσθαι χαρᾶς καὶ λαμπρότητος, ὥσπερ ἐξ ᾅδου μυχῶν ἀναστάντας, καὶ ὄψιν ἐλευθέραν ἀφέντας πρὸς σὲ τὸν τοῦ παρόντος δημιουργὸν ἔαρος ἥλιον. Ἔσται δὲ τοῦτο ῥᾷστα δι' ἑνὸς τετελεσμένου τοῦ ταλαιπώρου, ὃς, τῇ σκληρότητι κρυσταλλωθεὶς τῶν δεσμῶν, πρὸς βίαιον κατενηνέχθαι βιάζεται θάνατον· ἀλλὰ, πρὶν αὐτὸν τοῦτο παθεῖν, βλέψον καὶ πρὸς αὐτὸν συμπαθῶς ἡ φύσει φιλεύσπλαγχνος φύσις. Εἴ τι γὰρ πλημμελές τε καὶ κίβδηλον ὑπῆρχε δήπου γε τἀνδρὶ, ἅπαν μακρὰν ὁ μακρὸς τῆς κακώσεως ἀπήλασε χρόνος.

γ'.—Τῷ Ξανθοπούλῳ.*

Ὁ παῖς ἐμὸς, τὸ τῆς χρείας, ὀλίγου δέω λέγειν, ἀπαραίτητον· ἡ δὲ σὴ μεγαλόνοια, φίλος ἐμοὶ πατρῷος. Τὸ δὲ κεῖσθαι κοινὰ τὰ τῶν φίλων ἥτε παροιμία (1) θεμιστεύει, καὶ οἱ τῆς φιλαλληλίας ἐπιστηρίζουσι λόγοι· δίδου τοίνυν ὃ βουλόμεθα, καὶ ὃ δυνάμεθα μὴ κατόκνει (2) ζητεῖν.

δ'.—Τῷ φιλοσοφωτάτῳ Ἰωσήφ.*

Εἰ μὲν γράφοντας ἡμᾶς τοῖς φίλοις ἐπαινεῖς, μιμεῖσθαι χρή· εἰ δ' οὐκ ἐπαινεῖς, γράφειν χρὴ καὶ παραινεῖν ὡς ἄρ' οὐ χρή.

* Videtur scriptum esse ξανθοπούχῳ. Epistola abest catalogo Boiviniano.

(1) De hoc proverbio notavi in Notit. Mss. t. XI, II, pag. 31. Conf. Vorst. De adag. N. T. &c.

(2) Codex, κατώκνει.

* De illo philosopho Josepho vide t. II, p. 212.—Non comparet epistola in Boiviniano catalogo.

ε΄.—Τῷ Πατριάρχῃ.*

Πιττακὸς μὲν ἐκεῖνος ὁ Λέσϐιος ἕν τι τῶν ἀνεφίκτων εἶναι ἐνόμιζεν ἄνθρωπον εὑρεῖν ἀγαθὸν (1), κἂν πάνυ ζητοίη τις· Περιάνδρῳ δὲ τῷ Κορινθίῳ, δυσχεροῦς τινος εἶναι δοκοῦντος ἐπιτυγχάνειν ὧν ἄν τις ἐπιθυμῇ, δυσχερέστερον ἐδόκει πολλῷ εὑρεῖν ὃς ἂν ὧν προσήκει ἐπιθυμῇ. Ἀλλ᾽ (οἰχέσθω φθόνος) ῥᾴδια ταῦτα γινόμενα βλέπομεν σήμερον, τὰ μὲν σοὶ, τὰ δ᾽ ἐμοὶ διὰ σὲ, ὡς εἶναι τὰ πάντα σά. Σὺ γὰρ ἀγαθὸς ἀνὴρ, εἴπερ τις ἀνθρώπων· ἓν δὴ τοῦτο σὸν ἀγαθόν· δεύτερον δ᾽ ὅτι καὶ ἀγαθὸς ἐμοὶ, εἴπερ τῳ τῶν πάντων ἀνθρώπων, τοῦτο κοινὸν ἀμφοῖν, σοῦ μὲν διδόντος, ἐμοῦ δὲ κληρουμένου. Τῆς δ᾽ ἑτέρας συζυγίας θάτερον μὲν ἐμοὶ μόνῳ καθήκει, πῶς μὲν διὰ σὲ, πῶς δὲ διὰ σοῦ, λέγω δὴ τὸ τυγχάνειν ὧν ἐφίεμαι· τὸ δ᾽ ἐπιθυμεῖν ὧν δεῖ, τοῦτο δὲ σοὶ τῶν πάντων μόνῳ πρόσεστιν ἀνθρώπων· ὡς γὰρ ἀνθρώποις ἅπασι τοῦ πνεῖν (2), οὕτως ἔφεσις σοὶ πάντας εὖ ποιεῖν, ὡς ἂν εἰ, μὴ διὰ σαυτὸν, ἀλλὰ δι᾽ ἄλλους (3), ἐς τὸν βίον παρήχθης. Ἐπεὶ δὲ καὶ τήμερον, τὰ τῆς σῆς φύσεως δόγματα πράττων, αὐτὸς εὖ ἡμᾶς πεποίηκας τῇ ὑμῶν τἀσφαλὲς ποιησάμενος βίβλῳ, πέμπε πρὸς ἡμᾶς αὖθις αὐτὴν, ἵν᾽ εἰς τὸ ἑξῆς ἐπιόντες, νῦν μὲν ἡμεῖς, νῦν

* Non exstat epistola in catalogo Boiviniano. Patriarcha ille est, puto, Joannes Glycys.

(1) Respicere videtur Pittaci dictum, *χαλεπὸν ἐσθλὸν ἔμμεναι*. Vid. Davisius ad Maxim. Tyr. I, 1, &c.

(2) Vide t. I, p. 78, n. 6.

(3) Plato Epist. 9: *κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν*. Gregorius Naz. Orat. XXIII, p. 412: *οὐδὲ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον ἕκαστον ἡμῶν, ἀλλὰ καὶ πᾶσιν*. Confer. Elmsleyus ad Euripidis Heracl. 2, ubi et Barnes.

δ' ὁπόσοι τῶν φίλων, πολλούς σοι τοὺς τῶν ἐγκωμίων ἀποδιδοίημεν κρότους.

ϛ'.

Ἡ μὲν παροιμία χαλεπὸν (1) χορείω κύνα γεῦσαι (2) φησὶ, μηδὲ γὰρ ἂν ἔχειν ὅπως ἀταλαίπωρος τῆς ζητήσεως παύσαιτο ἐφεξῆς· χαλεπώτερον δ' ἔμοιγε φαίνεται παύσασθαι, εἴ τις τοῦ σοῦ γεύσαιτο μέλιτος· ὁρᾷς γὰρ τοὺς αὐτοὺς ἐγκειμένους αὖθις καὶ μάλα αὖθις, καὶ τῆς συνήθους παρὰ σοῦ δεομένους ἐπικουρίας, καθάπερ ἐπὶ νηὸς ἀσφαλοῦς τῆς βεβαίας ὀχουμένους ἐλπίδος. Σὺ δὲ μὴ λήγοις, ὦ βέλτιστε, αὐτός τε πράττων εὖ καὶ τὴν συνήθη τοῖς δεομένοις παρέχων βοήθειαν.

ζ'.

Τὸν Κῦρον φασὶν ἐκεῖνον τὸν μέγαν, μετὰ Μήδους καὶ Ἀσσυρίους καὶ Βαβυλῶνος τρόπαια, ἐπεὶ, καὶ ποταμὸν διαβὰς τὸν Εὐφράτην, ὅπλων Περσικῶν τὴν ἄχρι θαλάττης Ἀσίαν ὑπήκοον ἐπεπράχει, τότε τοίνυν φασὶν ἐκεῖνον μείζω τὴν ἡδονὴν τῇ ἑαυτοῦ παραπέμπειν ψυχῇ, εἴ τις οἱανδήτινα χάριν ᾔτησε παρ' αὐτοῦ, ἢ εἴ τις αὐτῷ τὴν ὅλην Ἀσίαν ἠργυρολογηκὼς ἐκεκομίκει. Οὕτω γὰρ αἱ μεγάλαι καὶ φιλότιμοι κρίνειν ἴσασι φύσεις, ὅτι τὸ μὲν οὐχ ὅπως συνέσεως καὶ στρατηγικῆς ἕξεως, ἀλλὰ καὶ ψυχῆς εὐγενοῦς

(1) Est hæc epistola in codice Veneto, saltem si ex primis quatuor vocibus fiat judicium. Vide Zanetti Catalogum p. 231.

(2) Theocritus x, 11, χαλεπὸν χορίω κύνα γεῦσαι. Vide Erasmum Adag. II, 4, 22; Schott. ad Suidam Adag. XIV, 52.

ἀπαλλάξαντος λείπεται δεῖγμα καὶ ῥέον διὰ παντὸς τοῦ αἰῶνος ἐγκώμιον, τὸ δ' ἐξ ἡμισείας φιλοτιμεῖσθαι τοῖς ἔχουσι δίδωσιν, ὥσπερ ὅλου σώματος ἁρμονίαν κατακερματίζον καὶ ἀφαιρούμενον τὰ βελτίω. Καὶ σὲ δὴ νῦν αὐτὸς εὑρηκὼς, ἄριστε, πολλῶν χαρίτων θάλαμον, καὶ μηδὲν μήτε τῆς ἔξωθεν εὐγενείας λειπόμενον ὁπόσα προσήκει μεγάλως εὐτυχοῦσι κατὰ τὸν βίον ἀνδράσιν, ἀλλὰ καὶ βαθεῖαν αὔλακα διὰ φρενὸς καρπούμενον, ἐξ ἧς ἀκραιφνεῖς βλαστάνουσι γνῶμαι καὶ νόμιμοι δίκαι (1), τῆς σῆς ἐπικουρίας δεόμενον σὺν μεγάλῳ τῷ θάῤῥει προσάγω σοι τουτονὶ, ἔργοις καὶ τρόποις χρηστοῖς τὸν βάσκανον καθ' ἑαυτοῦ κινήσαντα δαίμονα· χάριτας γὰρ ὀφείλων λαμβάνειν, παρ' ὧν εὖ πεποίηκεν, ὁ δ' (2) ἐπιπλήξεις καὶ λύπας κομίζεται. Καὶ ῥᾴδια μὲν οἶδ' ὅτι καὶ μικρὰ τὰ τῆς λύσεως φανεῖταί σοι βουληθέντι, πολλοῦ δὲ τοῦ βάρους ἀπαλλάξεις τουτονὶ τὸν ταλαίπωρον καὶ τῆς λύπης. Καὶ μέντοι καὶ λαμπροὺς ἐντεῦθεν κερδήσεις (3) καὶ τοὺς θεόθεν μισθούς.

Καί με μὴ μέμφου, μικρὰν ἐκ πρώτης, ὅ φασι, γραμμῆς (4) προσάγοντά σοι τὴν ζήτησιν καὶ ἥκιστ' ἀξίαν τοῦ σοῦ μεγέθους· ἐμοὶ γὰρ οὐ μικρὸν ἐφόδιον ἐλπίδος ἔσται τουτὶ ἐς τὸ καὶ μείζω θελήσαντι κατορθοῦν ἐν τοῖς ἑξῆς, τὸ δέ γε πλέον, καὶ ἐς τὸ τὴν τῶν πλείστων ὑπόληψιν βεβαιοῦν, ὅσοι νενομίκασι παρὰ σοί με τὰ μέγιστα δύνασθαι.

(1) Ex Æschylo : conf. supra p. 18, n. 1.

(2) Codex, ὅδ'. In codicibus sæpissime δέ pro enclitica a librariis est habita. Hinc passim in editionibus ὅδε pro ὁ δέ.

(3) Forsan deest ἐπαίνους.

(4) Cf. supra p. 32, n. 2.

η'.—Τῷ μεγάλῳ οἰκονόμῳ τῷ Βέκῳ.*

Λόγος (1) τοὺς Πυθαγορείους οὕτω τοι (2) θεῖα, καὶ βεβαιότερα ἢ τὰ ἐκ Δωδώνης θεσπίσματα, οἴεσθαι τὰ τοῦ Πυθαγόρου δόγματα, ὡς ἐν πέντε ὅλοις σιωπῶντας ἔτεσιν (3) ἀκροᾶσθαί οἱ τῶν λεγομένων, οὔτ' ἀμφιβάλλουσαν ἀκοὴν, οὔτε γλῶτταν προϊεμένους ἀντίφωνον. Καὶ αὐτὸς δ' οὖν ἔγωγε ἐμαυτὸν ἄγλωττον μὲν, πανήκοον δέ σοι καθίσθημι σήμερον, εἴπερ δῆτα καὶ σαυτὸν αὐτὸς κριτὴν ἐθέλοις λόγων τῶν ἐμῶν χειροτονεῖν. Κἂν δὴ σκώπτουσαν ἐπενέγκῃς μοι γλῶτταν, κἂν μὴ, στήσομαι πρὸς ἑκάτερον, μάλα τοι (4) πρόθυμον οὖς σοι ὑπέχων. Καὶ κρεῖττον ἔμοιγε τὸ σοῦ φανεῖται ψήφισμα, ἢ τοῖς Πυθαγορείοις ἐκείνοις τὰ τοῦ Πυθαγόρου δόγματα, εἰ δὲ βούλει, καὶ τῶν ἐκ τοῦ Δελφικοῦ τρίποδος χρησμῶν ἀσφαλέστερα (5)· οὕτω τοι θεῖος ἐμοὶ καὶ αἰδέσιμος σὺ καὶ κράτιστος ἐν ἅπασι καὶ σοφὸς ὑπὲρ τοὺς ἄλλους, καὶ κριτὴς ὑπὲρ τοῦ Μίνω. Εἰ δὲ καὶ τὴν ὑπεσχημένην βίβλον ἡμῖν πρὸς***

* Est Veccus ille in ecclesiastica historia notissimus, et de quo non semel supra in primo et secundo volumine fuit injecta mentio.

(1) Adduxi ad Eunapium pag. 286, ab λόγος ad ἀντίφωνον.

(2) Malim οὕτω π. Sed est οὕτω τοι et in Vaticano, unde illa prima verba adtulit Boivinus in catalogo Gregoræ epistolarum.

(3) De silentio Pythagoricorum quinquennali vide Rittershus. ad Porphyrium pag. 20; Menag. ad Diogenem Laertium VIII, 10, &c.

(4) Malim μάλα π.

(5) Et hæc adposueram ad Eunapium ibid., quum illustrarem formulam ὥσπερ ἐκ τρίποδος. Seneca Consol. ad Polybium 33: « aliud habebunt hoc dicente » pondus verba, velut ab oraculo » missa. » Idem De brevit. 2: « quod apud maximum poetarum » more oraculi dictum est. »

θʹ.

*** Εἰ δὴ οὖν (1) καὶ σύ γε αὐτὸς πατρίδα μὲν καὶ συμπατριώτας ἡμᾶς (2) παραλλάξας, ἄλλοις δέ τισι τοῦ σοῦ παρασχόμενος ἀπολαύειν μέλιτος, ἀχθομένων αἴσθοιο ἡμῶν, οὐκ ἄτοπά τινα δρώντων, οἶμαι, αἴσθοιο ἄν, οὐδὲ καινὰ καὶ οἷα μήπω πρὶν, ἀλλὰ καὶ πάνυ τοι (3) γεγενημένοις ὅμοια. Εἰ δ' αὐτοί τε ἐπέχοιμεν καὶ τὰ σὰ οὐκ ἐθέλοιμεν γλώττης ἐγκαλούσης ὑπεύθυνα τίθεσθαι, ὥρα σοι λοιπὸν σκοπεῖν ὁπόσον τὸ δεινὸν τοιούτους ἄνδρας ἀδικοῦντι μεγαθύμους τε φῦναι, καὶ ῥᾳδίως ὑφιεμένους εἴ τίς πη ἀδικοίη. Ὅσον γὰρ οἱ πάσχοντες ὑπείκοντα τοῖς ἀδικήμασιν αὐχένα τίθενται ἐθελονταὶ, τοσοῦτο μείζω τοῖς δρῶσι δημιουργεῖται τἀγκλήματα.

Ἐγὼ δὲ καὶ Σωκράτην τὸν Σωφρονίσκου ἥδιον ἂν ἐπαινοίην ἢ Πυθαγόραν τὸν Σάμιον. Ὁ μὲν γὰρ, Ἀθήνησι γεννηθεὶς καὶ τραφεὶς (4), Ἀθήνησι καὶ ἐπολιτεύσατο, καὶ δημόσιον ἦν Ἀθηναίοις ὄφελος ἡ Σωκράτους γλῶσσα καὶ τὰ Σωκράτους πράγματα· ὁ δὲ τὴν πατρίδα καταλιπὼν ἐς Ἰταλίαν ἀπέπλει, ἵν' ἡγεμόνα τῆς Ἰταλικῆς αἱρέσεως αἰῶσι τοῖς ἑξῆς ἑαυτὸν παραθείη. Ἀλλ' ἐκεῖνος μὲν ἴσως καὶ πρόσω γ' ἂν εἴη αἰτίας, εἰ καὶ μὴ καθάπαξ καὶ τοῖς ὅλοις, πάντως

(1) Periit inter πρὸς paginæ versæ finem, et εἰ δὴ οὖν rectæ initium, folium saltem unum.

(2) Quum infra dicatur ex Heraclea oriundus homo ille ad quem Gregoras scripsit, patet fuisse etiam ipsum Heracleotam. Qua de re sunt et alia testimonia.

(3) Velim πάνυ τι. Sed ob alia loca ubi οὔπω τι, μάλα τι, et hic τι reliqui, ne auctorem pro librario corrigerem: cf. p. 193, n. 2, 4.

(4) Adduxi ad Eunap. p. 200 ab ὁ μὲν ad παραθείη, illustraturus verborum juncturam γεννηθεὶς καὶ τραφείς.

δ' οὖν μετρίως καὶ μετρίοις· οὐ γὰρ ἱκανὴν ἔκρινε Σάμον, φαῦλόν τι νησίδιον, ὄγκον ἀρετῆς χωρῆσαι, ὁπόσον ἐκείνῳ Αἰγύπτιοι καὶ Χαλδαῖοι ξυμμίξαντι ἐξεπόρισαν· σὺ δὲ πατρίδα καταλελοίπεις, οὐ μόνον γε τιμᾶν εἰδυῖαν ἀρετὴν, ἀλλὰ καὶ γῆς καὶ θαλάττης καὶ ἀέρος ἀνῃρημένην τὰ καιριώτατα, πάσης δ' Ἀσίας δόξασαν ὀφθαλμὸν (1), Ἡρακλέους δ' ἐπώνυμον καταστᾶσαν, ἀφ' οὗ τῶν Ἑλληνίδων ἐστὶν αἷς τὸ μέγα καθήκει κλέος.

Ἀλλὰ τούτων μὲν ἅλις· ἀστείου γὰρ εἵνεκα εἴρηται. Ὁρῶμεν γὰρ ὅτι καὶ τὰ φυτὰ τοὺς καρποὺς ἑτέροις καὶ ἥκιστα σφίσιν αὐτοῖς ὑπανίσχει, καὶ θάλαττα τοῖς ἠπειρώταις μᾶλλον ἢ ἑαυτῇ καρποφορεῖ, καὶ γῆ τῶν ἀσταχύων οὐχ ἡ φύσασα ὤνατο, ὅτι μὴ σαφῶς ἑτέροις ἐκπονεῖ τὸν τόκον· καὶ νόμος οὗτος ὁμονοίας ἕστηκεν ἀεὶ θαλάττῃ τε καὶ γῇ καὶ πόλεσιν ἁπάσαις, ἄλλα ἄλλως ἄλλοις ἐφόδια φιλίας χαριζομένου τοῦ κτίσαντος.

Ἐγὼ δὲ καὶ μεγίστας ὁμολογῶ σοι τὰς χάριτας, ἀκιβδήλους μοι τῇ γλώττῃ πρὸς τοὺς αἰεὶ μοι ξυνόντας παρεχομένῳ τὰς ἀφορμάς· φιλοτιμίας γάρ τινος οὔσης ἐμοὶ μανιώδους πάντα μικροῦ τὰ βελτίω τῇ πατρίδι προσνέμειν, ἔπειτ' ἀποχρῶν λοιπὸν αὐτός μοι τὸ τῆς γλώττης θέατρον ὑφαίνεις, οἴκοθεν οὐδὲν οὐκ ἔχοντος ἐμοῦ τῇ ξυντυχίᾳ χαρίζεσθαι προσφο-

(1) Metaphora nota, de qua videndi Camenz. et Bœckh. ad Pind. Ol. II, ubi Theronis majores Σικελίας ὀφθαλμὸς sunt nuncupati. Multa dabit Damken. ad Agapet. 46. Addatur et mea ad Nicetam Eugen. nota pag. 285, coll. Burdelot. ad Heliodor. III, p. 68. Gregorius Naz. Or. XXXII, p. 517, Constantinopolim vocat τῆς οἰκουμένης ὀφθαλμὸν, quam ὅλης τῆς γῆς δεύτερον ὀφθαλμὸν dicit esse Themistius Orat. VI, p. 83. Libanius t. I, p. 531 : ἐρῶντα τῆς Ἑλλάδος, καὶ μάλιστα δὴ τοῦ τῆς Ἑλλάδος ὀφθαλμοῦ τῶν Ἀθηνῶν.

ρον. Καὶ καινὸν οὐκ ἂν εἴη τουτί. Ἴδοις γὰρ κἂν τοῖς ἱππικοῖς διαύλοις καὶ ταῖς ἁρματηλασίαις τοὺς μὲν ταῖς ἀληθείαις ἀθλοῦντας καὶ γαννυμένους ἐπὶ ταῖς νίκαις, τοὺς δὲ μήτε πομπικούς τινας ἔχοντας δίφρους, μήτε παγκράτιον εἰδότας, συγχαίροντας δ' ὅμως ἐκείνοις, καὶ γέμουσαν ἡδονῆς ποιουμένους τρυφὴν τοὺς τῶν νικώντων στεφάνους. Ἔρρωσο.

ι'.—Τοῦ φιλοσόφου
τῷ μητροπολίτῃ Θεσσαλονίκης τῷ Γλαβᾷ.*

Οὐκ οἶδ' ὅτι τις ἂν ἐν τῷ βίῳ νῦν ἔχων τιμιώτερον ἄγοι τῆς τῶν ἀγαθῶν ἀνδρῶν ὁμιλίας, ἐξ ἧς ὠφελοῖτ' ἂν εἰκότως, ἢ τὴν ἀρετὴν ἐκείνων θαυμάζων, ἢ καταγινώσκων γοῦν ἑαυτοῦ τοῖς ἐκείνων τὰ οἰκεῖα παρεξετάζων· ἐν ᾧ γένοιτ' ἂν τις ἀποτροπὴ τῆς ἐπὶ τὰ χείρω ῥοπῆς, ὅταν αὐτὸς αὐτὸν ὑπεύθυνον εἰδῇ (1) καὶ πάσαις ψήφοις κατεγνωσμένον. Τῷ γὰρ αὐτόν τινα κατηγορεῖν ἑαυτοῦ ὡς ἀνοσίου καὶ πονηροῦ ἕπεταί τις συγγνώμη· ἀγαθὸν γὰρ καὶ τοῦτο. Ἔγωγ' οὖν φιλῶ μὲν τοὺς σπουδαίους, βιοῦν δὲ κατ' ἐκείνους ὑπὸ μαλακίας οὐχ ὑπομένω. Εἰσὶ τοίνυν οὓς θαυμάζω πολλοί, καὶ οἷς συνὼν μὲν χαίρω· ἀποδημοῦσι δέ, εἰς ὁμιλίαν ἄλλην, ὃν δή φασι δεύτερον πλοῦν (2), καθίσταμαι, τὴν διὰ τοῦ ἐπιστέλλειν. Σοῦ δὲ τὸν τρόπον ἐξαίρετον ποιοῦμαι· πάσαις γὰρ ψήφοις ὑπερ-

* E cod. regio 1424, p. 265, hanc ac sequentem epistolam descripsi. Ex eodem libro, tunc aliis notato cifris, utramque in indicem Gregoræ epistolarum retulit Boivinius.

(1) Sic esse scriptum videtur. Vocabulum est in fine versus et paululum mutilatum, ut plura in eodem loco alia. Mox de ἔγωγ' οὖν dubito : superest tantum ἔγωγο.

(2) De δευτέρῳ πλῷ t. II.

βάλλει (1) τοὺς ταῦτά σοι προελομένους. Οὐκοῦν συνεῖναί τέ σοι, εἰ οἷόν τ' ἦν, ἐβουλόμην ἄν, καὶ τῶν ἐκ τῆς συνηθείας ἀγαθῶν ἀπολαύειν· ἐπεὶ δὲ οὔτε νῦν ἔστι τοῦτο (2) λαβεῖν τοσοῦτον ἀφεστηκότι τῆς τιμιωτάτης σου κεφαλῆς, οὔτε πρότερον ἐξεγένετό μοι κατὰ τὴν μεγάλην πόλιν συμμίξαι σοι (οὐ γὰρ ἦσθα κύριος, ὡς ἐπυθόμην , ὡς (3) πᾶσιν ἐντυγχάνειν οἷς ἂν ἐθέλῃς), νῦν ὅτε τῆς ἀνάγκης ταύτης ἀπήλλαξαι τοῦ τοῖς ἑτέρων ἕπεσθαι δόγμασιν (εἰς γὰρ κρεῖττον σχῆμά σε μετέστησεν (4) ὁ Θεὸς τὸ κατ' ἀξίαν σοι νέμων), δέομαί σου τῆς διὰ γραμμάτων γοῦν ὁμιλίας ἀπορροῦντι τοῦ τιμιωτέρου καὶ πρώτου μεταδιδόναι μοι. Οὕτω γὰρ σύ τε ἐπιεικὴς δόξεις, τοῦτο ποιῶν, ὅπερ οὖν καὶ εἶ, καὶ πᾶσι δείξεις ὅπως δεῖ τοὺς φίλους εὐεργετεῖν, ἐμοί τε τὰ μέγιστα χαριῇ, δείξας (5) ὡς ἔστι τις λόγος ἐμοῦ παρὰ σοί. Καὶ μὴν ἴσως καὶ ὠφελήσεις τῶν σῶν ἀκούοντα λόγων, οἳ μεγέθει διανοίας τοῦτο πεφύκασι δρᾶν πρὸς τοὺς μὴ (6) παρέργως προσέχοντας· ἐγὼ δὲ, τούτων ὢν ἐραστὴς, γνησιώτερον σφίσι προσέξω, εἰ μή τι ἄλλο, τοῦτο γοῦν αἰσχυνόμενος, τοσοῦτον ἀπολειφθῆναι τῆς σῆς ἐπὶ τὰ κρείττω σπουδῆς, ἥ σε φῶς ἄντικρυς ἔθηκεν ἐν ἡμῖν τοῖς ἐν ἀχλύϊ διάγουσι καὶ τοῖς πονηροῖς καὶ ἀνηκέστοις ἐνησχημένοις (7) πάθεσιν.

(1) Fors. ὑπερβάλλεις. vel ὑπερβάλλῃ.

(2) Forsan τοῦτο ἐμοί. Est τοῦτο in ipso versus fine, et bibliopegus aliquid potuit resecare.

(3) Post ἐπυθόμην vocula fuit, nunc mutila, cujus supersunt primæ literæ συν, si bene legi.

(4) Initium verbi divinavi potius quam legi.

(5) Superest tantum δειξ.

(6) Nunc superest tantum litera μ.

(7) Finis participii deest.

ια'.—Τοῦ αὐτοῦ

τῷ πρωτονοταρίῳ Θεσσαλονίκης τῷ Σωτηριώτῃ.

Ἐξ ἡμισείας μοι φαίνῃ χρηστός· ὅτι μὲν γὰρ ἐπιθυμεῖς γραμμάτων ἐμῶν, παλαιᾶς ἐκείνης μεμνημένος διατριβῆς, ἀνδρὸς ἐπιεικοῦς δοκεῖς μοι πρᾶγμα ποιεῖν· τῷ δ', ἐξὸν τυχεῖν ὧν ἐρᾷς, μὴ πρῶτος αὐτὸς χρήσασθαι τοῖς ἐπὶ ταῦτα κινήσουσί με, κἂν βραδύς τις ὢ καὶ νωθὴς, ταύτῃ μοι τὸ δέον παραλείπειν δοκεῖς. Ἐπεὶ δὲ δεῖ τινα τῶν καλλίστων ἡγεμόνα (1) γενέσθαι, σὺ δὲ τοῦτο λαβεῖν οὐκ ἠνέσχου, ἐξόν σοι τοῖς τοιούτοις ἀμέμπτως πλεονεκτεῖν, ἐγώ σοι γίνομαι τούτων ὑφηγητὴς, ἵν' οὕτως γοῦν ἔποιό μοι, πρὸς παράδειγμα βλέπων τοὐμόν. Εἰ μὲν οὖν τοὐντεῦθεν, τὸ ῥαθυμεῖν ἀποθέμενος, ἐπὶ τὸ γράφειν ἥξεις, ἡμεῖς τέ σε ἐπαινεσόμεθα, καὶ σὺ τὸ δέον ἠνυκὼς ἔσῃ· ὁλόκληρον γὰρ ἂν οὕτω τὸν σαυτοῦ τρόπον ἡμῖν καὶ οὐκ ἀτελῆ γε, ὥσπερ νῦν, παραστήσαις. Κἂν πρὸς σὲ βλέπω, οὐκ ἀνήσω τοῖς ἴσοις ἀμείβεσθαί σε· δίκαιον γάρ με, τοῦ γιγνομένου παντὸς τυγχάνοντα παρὰ σοῦ, καὶ αὐτὸν τὸ δέον ἀντιδιδόναι· « δὸς γάρ τι καὶ λάβε τι », φησί τις τῶν παλαιῶν· « ἃ γὰρ χεὶρ τὰν χεῖρα νίζει (2). » Εἰ δ' ἐμμενεῖς τῇ σιγῇ, μηκέτ' ἐμὲ δίωκε σκαιότητος, ἢ τῶν φίλων (3) ὑπεροψίας· σαυτὸν δὲ αἰτιῶ τὸ δέον ἐκλελοιπότα,

(1) Addidi μόνα.

(2) Auctor Axiochi § 6 : διὰ παντὸς δὲ ἔθος ἐστὶν αὐτῷ φωνεῖν τὸ Ἐπιχάρμειον· « ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι καὶ λάβε τι. » Conf. t. II, p. 419.

(3) Puto bene me conjecisse. Superest tantum litera φ.

ᾧ μ' ἐκίνεις ἂν ἐπὶ τὸ γράφειν ἀεί. Σιγὴν γὰρ ἄξω κἀγὼ, τοῦ κινοῦντος οὐκ ὄντος· ἐπεὶ καὶ νῦν οὐκ ἂν ἐμνήσθην πρὸς σὲ γραμμάτων, οὐκ εἰωθὼς (1) πρότερον τοῦτο ποιεῖν, εἰ μή με ὁ χρηστὸς οὑτοσὶ νεανίας κατε***

(1) Codex, εἰωθός. Quæ vocalium ω et ο permutatio vix fuerat notanda nisi ad alia viam faceret. Lucianus Asin. § 39 : ἀλλὰ μήτε ἀπόθνησκε, εἶπεν, ὦ φίλτατε, μήτε ἀθυμίᾳ τοιαύτῃ δῷς σεαυτόν. Codex 1310, μήτε τῇ ῥαθυμίᾳ τ. δὸς σεαυτὸν : unde δὸς erit sumendum. Qui dixit δὸς σεαυτὸν, et § 4, τῷ ἔρωτι δοὺς ἐμαυτὸν, et § 46, τοῖς κέρδεσι ἐδίδουν ἐμαυτὸν, potuit et absque pronomine recte dicere § 3, τὴν ἑσπέραν ἐκείνην ποτῷ (imo πότῳ) δόντες. Vertunt, ut sit ἑσπέραν verbo δόντες jungendum, « vesperam compotationi dantes »; sed intelligere malim δόντες ἑαυτοὺς κατὰ τὴν ἑσπέραν, « vesperi se compotationi dantes. » Verbi δοῦναι ea cum ellipsi usum illustravit Jacobsius ad Philostr. Imagg. p. 362, ubi nec meæ notæ ad Nicet. p. 55 immemor fuit vir magnæ diligentiæ.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ
ΥΠΕΡΤΙΜΟΥ ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ
ΚΥΡΟΥ ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ
ΣΤΙΧΟΙ ΠΟΛΙΤΙΚΟΙ
ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ
ΚΥΡΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΜΟΝΟΜΑΧΟΝ
ΠΕΡΙ ΤΗΣ ΓΡΑΜΜΑΤΙΚΗΣ.*

Μελέτω σοι γραμματικῆς καὶ τῆς ὀρθογραφίας·
Πρῶτος (1) αὕτη θεμέλιος καὶ βάσις μαθημάτων.
Οὐκ ἔστι δὲ μονότροπος, οὐδὲ κοινὴ καὶ μία·
Ἀλλ' ἔχει γλώσσας καὶ φωνὰς, καὶ πέντε διαλέκτους,
Αἰολικὴν, ἰωνικὴν, ἀτθίδα καὶ δωρίδα,
Καὶ τὴν συνήθη καὶ κοινὴν καὶ κατημαξευμένην (2).
Ἑκάστη δὲ διάλεκτος ἔχει φωνὰς ἰδίας.

* Usus sum in recensendo eo opere codicibus regiis 2408, 2551, 2620, qui designabuntur, brevitatis causa, literis A, B, C. In Catalogo bibliothecæ Bernensis, t. I, p. 586, sex primi versus fuerunt a Sinnero in specimen producti, ut et finis. Adposuit etiam Bandinius, in Catalogo Florentino t. II, p. 373, e codice Mediceo primum versum et ultimum. Libri ejus Medicei valde differt lemma ab illo quod e Parisinis recepi : qua de re monuisse nunc erit satis. Et id et cetera tractabit olim diligenti cum eruditione Walzius, qui vastum grammaticorum ac rhetorum syntagma edendum suscepit.

(1) Bernensis codex, πρῶτον, si catalogo fidendum.

(2) Psellus in Cant. cant. v, 6 : Δηλοῦμεν τὴν ἐξήγησιν πᾶσαν τὴν τῶν ᾀσμάτων Ἐν ἁπλουστέραις λέξεσι καὶ κατημαξευμέναις.

Ἡ δὲ κοινή, κἂν πέφυκεν ἄθροισμα τῶν τεσσάρων,
Ἀλλ' ἔστι καὶ μονότροπος, ἄλλη παρὰ (1) τὰς ἄλλας.
Ὡς ἐπὶ παραδείγματι δεικτέον (2) σοι τὰς πέντε.
Τὸ μὲν γὰρ Πέρσης Πέρσεω (3) τυγχάνει τῆς ἰάδος·
Ἣν εἶπον γὰρ ἰωνικὴν καλῶ σοι (4) νῦν ἰάδα·
Ἰὰς γὰρ ἀπὸ Ἴωνος (5)· διώνυμος ἡ κλῆσις.
Ὡς δὲ τὸ Δημοσθένεος (6) γενικὴ τῆς ἰάδος,
Καὶ τὸ Περσέων γενικῶς, ὡς δὲ καὶ τὸ νυμφέων·
Εἰ δέ τις μεταλλάξειε καὶ λέξειε νυμφάων,
Αἰολικὴν διάλεκτον (7) εἶπεν, οὐ τὴν ἰάδα.
Εἰ δέ τις εἴποι θάλατταν καὶ τεῦτλον, ἀττικίζει (8).
Εἰ δέ τις ὀνομάσειε τὰς Μούσας Μώσας (9) πάλιν,
Ὑποδωρίσας εἴρηκε δωρίδι διαλέκτῳ.
Ἡ δ' αἰολὶς διάλεκτος τῷ ῥῶ βῆτα προσνέμει,
Βράκος τὸ ῥάκος λέγουσα, βρυτῆρα τὸν ῥυτῆρα (10)·
Εἰ δέ τις εἴποι (11) θάλασσαν καὶ ῥάκος καὶ ῥυτῆρα,
Κοινὴν εἶπε διάλεκτον ἤτοι συνηθεστάτην.
Ταύτην μοι μόνην δίωκε, τῶν δ' ἄλλων καταφρόνει.

(1) B, ἐστιν.....πεί.

(2) Codices, ἀλλ' ὡς: syllaba superflua. B, δικτίον. C, λεκταῖον, superscripto ε, ut sit λεκτέον.

(3) Eodem exemplo et aliis, usus est Gregorius Cor. D. Ion. § 6. Ibi Kœnius Pselli versum adtulit.

(4) B, καλῶσι.

(5) Gregorius Cor. p. 10: ἰὰς ἐκλήθη ἀπὸ τοῦ Ἴωνος κ. τ. λ. C, κλίσις.

(6) Cf. Gregor. Cor. D. Ion. § 11. Mox C, περσαίων et περσέων. B, τῶν ν. C, τὸν ν. Kœnius, versibus 14 et 15, ad Gregor. D. Ion. § 4, usus, bene habet τὸ ν.

(7) Cf. Gregor. Cor. D. Æol. § 2, ubi Kœnius adposuit Pselli verba, Εἰ δέ τις.... ἰάδα.

(8) C, εἴπῃ. Conf. Gregor. D. Att. § 4, ubi versus Pselli fuit a Kœnio prolatus.

(9) Cf. Gregor. D. Æol. § 8. Kœnius ad eumdem, D. Dor. § 58, hunc et proximum versum produxit, ac junxit πάλιν ὑποδωρίσας, quod displicet.

(10) C, ῥητῆρα. Cf. Greg. D. Æol. § 1, ubi Pselliana, Ἡ δ'...ῥυτῆρα, fuerunt a Kœnio adposita.

(11) C, εἴπῃ.

Ἡρώϊζε, ἰάμβιζε, ἐλεγεῖα μοι γράφε·
Μάθε τὴν Ἀνακρέοντος ἡδυεπῆ κιθάραν
Καὶ τὴν Θηβαίαν μάλιστα τοῦ μελῳδοῦ Πινδάρου,
Τὴν δὲ βουκόλου σύριγγα τοῦ Θεοκρίτου μάθε (1).
Τῶν ὀνομάτων μάθε μοι καὶ κλίσεις καὶ κανόνας
Ἀρρενικῶν (2) καὶ θηλυκῶν, πρὸς δὲ καὶ οὐδετέρων.
Τί μὲν ὀρθοτονούμενον ἐν μέρεσι (3) τοῦ λόγου,
Τί δ' ἐστὶν ἐγκλινόμενον, ἀκριβέστερον μάθε·
Τὸ μὲν γὰρ ἄνθρωποι τινὲς ὀρθότονον τυγχάνει·
Εἰ δ' εἴποις ἄνθρωποί τινες, τὸν τόνον ἀνασύρας (4),
Ἐγκλίνας οὕτως εἴρηκας, τὸν τόνον μεταστήσας.
Πρόθεσις οὐκ ἐγκλίνεται, οὐ μετοχὴ, οὐκ ἄρθρον.

Ἐγκλίσεις πέντε γίνωσκε τὰς διωνομασμένας,
Ὁριστικὴν, προστακτικὴν καὶ εὐκτικὴν, πρὸς ταύταις (5)
Τὴν ὑποτακτικὴν φωνὴν καὶ τὴν ἀπαρεμφάτων.
Τί δ' ἐστὶν ἀπαρέμφατον καὶ πόθεν ὠνομάσθη (6);
Τῶν πέντε γὰρ ἐγκλίσεων τρεῖς εἰσὶ διαθέσεις
Αἱ γνώριμοι, ἐνέργεια καὶ πάθος καὶ μεσότης.

(1) C, μάθης. A, μάθης, superscripto ι, ut fiat μάθεις. Vix puto consilium id dari potuisse regio discipulo, ut Theocritum negligeret. An propter Musæ bucolicæ in nonnullis petulantiam? sed quæ ediscenda commendantur Anacreontis carmina sunt parum casta. Adponam quem modo legebam de Theocriti dialecto locum in codice 2551, p. 156, 2: κέχρηται δὲ ἰάδι διαλέκτῳ καὶ δωρίδι τῇ νέᾳ· δύο γάρ εἰσι, παλαιὰ καὶ νέα· καὶ ἡ μὲν παλαιὰ τραχεῖά τι ἐστι καὶ ὑπέρογκος καὶ οὐκ εὐνόητος· ἡ δὲ νέα, ᾗ καὶ Θεόκριτος χρῆται, μαλθακωτέρα παρὰ τοῦ Ἐπιχάρμου καὶ Σώφρονος· οὐ μὴν ἀπολιμπάνεται καὶ αἰολίδος. Conf. editum primi idyllii argumentum: ubi τραχεῖά τις, quod malim. Malim etiam παρὰ τὴν Ἐπιχάρμου.

(2) C, ἀρσενικῶν.

(3) A, μέρει. Mox B, ἐστι.

(4) C, ἄνθρωποι τινὲς τὸν τ. μεταστήσας, πρόθεσις, versu omisso. AC, εἴπης. B, ἄνθρωποι τινές.

(5) B, πρὸς πάντας.

(6) Quæstioni non respondetur, et sequens γὰρ inconcinnum; videtur esse lacuna.

Τὸ τύπτω μὲν ἐνέργεια, τὸ τύπτομαι δὲ πάθος (1)·
Τούτοις δ' ἐπενεμήθησαν (2) οἱ μέσοι μέσον χρόνον.
Μέσος γὰρ καὶ τὸ τέτυπα, πρὸς δὲ τὸ ἐτυψάμην (3)·
Ἐκεῖνο ἐνεργητικὸν, παθητικὸν δὲ τοῦτο·
Τοῦτο μὲν παρακείμενος, ἀόριστος (4) δ' ἐκεῖνο.
Ὀνόματος καὶ ῥήματος ἡ μετοχὴ μεσότης
Ἀμφοῖν ἐστὶ μετέχουσα κοινῶς (5) ἰδιωμάτων.
Ἔχει πτῶσιν ὡς ὄνομα, πρὸς τούτοις δὲ καὶ γένη·
Ὁ τύπτων, τὸ τυπτόμενον, ἡ τύπτουσα, τὰ γένη (6)·
Τοῦ ῥήματος διάθεσιν, χρόνους καὶ συζυγίας·
Τὸ ῥῆμα γὰρ, ὡς ἄπτωτον, οὐ δύναται κλιθῆναι.
Γέγονεν οὖν ἡ μετοχὴ, ἵνα κλιθῇ (7) τὸ ῥῆμα.

Τύπτω καὶ πλέκω, πείθω τε καὶ φράζω, καὶ τὸ σπείρω,
Καὶ τὸ ἀκούω, δέσποτα, βαρύτονα τυγχάνει·
Τὸ δὲ ποιῶ (8) καὶ τὸ βοῶ καὶ τὸ χρυσῶ τὰ τρία
Γίνωσκε περισπώμενα· καὶ γὰρ καὶ περισπᾶται.
Τῶν δὲ εἰς μι τὸ τίθημι, ἵστημι, δίδωμί τε,
Καὶ πήγνυμι τὸ τέταρτον, ὡς ἀπὸ τοῦ πηγνύω.

Μάθε μοι καὶ τὴν δύναμιν τῶν λεγομένων χρόνων.
Ὁ ἐνεστὼς ὡς ἐνεστὼς, ὡς σήμερον τυγχάνων.
Ὁ δέ γε παρατατικὸς, ὡς παρατεταμένος·
Ἔτυπτον γὰρ ἀπέραντον ἔχει τὴν σημασίαν.
Ὁ δ' αὖ γε παρακείμενος οὐ κείμενος τελείως,

(1) Et re et verbis consentit Psellus cum Dionysio Thrace Gramm. § 15.

(2) B, ἐπινεμώθησαν. C, τύποις συνεπινεμήθησαν. Forsitan μέσων χρόνων.

(3) Post versum 46 sunt in C inserti versus Ὁ ἐνεστὼς...Ἀόριστος...: qui in AB, quos sequor, numero sunt 68, 69.

(4) C, ἀορίστου. B, ἐκεῖνος.

(5) B, κοινῶν.

(6) Forsitan deest versus de casibus.

(7) C, κληθῇ.

(8) C, βαρύτονον τ. τὸ ποιῶ.

Ἀλλ' ἔστι παρακείμενος, ὡς μὴ πεπληρωμένος.
Ὁ ἐνεστὼς συντελικός· οὕτως γὰρ ὠνομάσθη.
Ἀόριστος ὡς ἄδηλος, οὐχ ὡρισμένος χρόνος (1).
Ὁ μέλλων ὡς οὐκ (2) ἐνεστώς, ἀλλ' αὐτὸ τοῦτο μέλλων.
Καὶ τοῦτο δέ μοι γίνωσκε, καὶ μή σε λανθανέτω·
Χρόνοι πολλοὶ λελοίπασιν ἔν τισι τῶν ῥημάτων,
Καὶ πρόσωπα πληθυντικὰ τῆς κοινῆς διαλέκτου (3)·
Ἀλλ' ἀντανεπληρώθησαν ἐξ ἄλλων διαλέκτων.
Αὐτίκα γὰρ (4) τὸ τέτυμμαι, πρὸς δὲ τὸ ἐτετύμμην,
Παρακειμένου πάσχοντος καὶ ὑπερσυντελίκου,
Τὰ τρία τῶν πληθυντικῶν κοινὴν οὐκ ἔχει φράσιν·
Ἀλλ' ἀντανεπληρώθησαν τεχνικῶς ἐξ ἑτέρων.
Καθόλου πρῶτα πρόσωπα προστακτικῶν (5) οὐκ ἔστιν.
Εὐκτικὸς παρακείμενος ἐκλέλοιπε τελείως.
Χρόνος ὑπερσυντέλικος, σὺν τῷ παρακειμένῳ,
Οὐκ ἔστιν ὑποτακτικὸς παθητικὸς οὐδ' ὅλως.
Τὸν μέσον παρακείμενον τοῦ τίθημι μὴ ζήτει·
Καὶ δεύτερος παθητικὸς ἀόριστος οὐκ ἔνι.
Πρῶτος πάλιν ἀόριστος ἐν τοῖς ἀπαρεμφάτοις
Οὐχ εὕρηται τοῦ τίθημι· καὶ ζήτει τὴν αἰτίαν.
Ἐν μετοχαῖς ἀόριστον τοῦ τίθημι μὴ ζήτει,
Πλὴν ἐν τοῖς ἐνεργητικοῖς· παθητικὸς γὰρ ἔνι.

Μάθε τοὺς πόδας ἅπαντας, τοὺς ἁπλοῦς, τοὺς συνθέτους.
Μάθε μοι τοὺς δακτυλικούς, σπονδείους (6) καὶ τροχαίους·
Ἡρωϊκοῦ τυγχάνουσιν οὗτοι (7) μάλιστα μέτρου.

(1) Versus 68, 69, supra incommodo loco leguntur in C. Cf. p. 203, n. 3.

(2) B sine ὡς.

(3) B, τοῖς κοινοῖς δ.

(4) B, αὐτὶ γάρ. Malim τοῦ πρὸς δὲ τοῦ ἐπτ. Syntaxis ita fiet nitidior.

(5) B, προστακτικά.

(6) B, δακτύλους π. AC, σπονδιούς.

(7) B, οὗτος.

Χορεῖον καὶ πυῤῥίχιον ὡς ἀσθενεῖς ἐκτρέπου (1).
Ἀλλὰ μηδὲ τοὺς ἴωνας ἐκτόπως ἀγαπήσεις.
Ἀγάπησον, εἰ βούλοιο, καὶ ζήλωσον γενναίως
Τοὺς μολοσσοὺς, τοὺς παίονας, πρὸς δὲ τοὺς ἐπιτρίτους (2).
Ἄσπαζε καὶ τὸν ἴαμβον, ἀλλὰ καὶ σπόνδιζέ μοι·
Καὶ πρώτιστα ἰάμβιζε, ὕστερον δ' ἡρωΐσεις (3).

Ὁ τεχνικὸς (4) μὲν δείκνυσι ψιλά τε καὶ δασέα,
Καὶ μέσον (5) τούτων, δέσποτα, τὰ μέσα κεκλημένα·
Ψιλὰ μὲν, κάππα, πῖ καὶ ταῦ, δασέα, φῖ, χῖ, θῆτα (6)·
Μέσα δὲ τούτων ἐκφωνεῖ βῆτα, γάμμα καὶ δέλτα.
Καὶ τὸ μὲν βῆτα τίθησι (7) τοῦ φῖ καὶ πῖ πως μέσον·
Τὸ γάμμα μέσον τίθησι τοῦ χῖ τε καὶ τοῦ κάππα·
Τοῦ ταῦ δὲ μέσον τίθησι τὸ δέλτα καὶ τοῦ θῆτα.
Σὺ δέ μοι τούτων μάνθανε τοὺς λόγους τῆς αἰτίας.
Δασέα μὲν τυγχάνουσιν ὅσα μετὰ δασέος
Ἐκφέρεται τοῦ πνεύματος· ἐκ γὰρ ῥήματος σεύω (8)
Καὶ τοῦ δα ἐπιτατικοῦ τὴν σύνθεσιν λαμβάνει·
Ἤτοι τὰ ἄγαν τρέχοντα· σεύω γὰρ ἢ (9) τὸ τρέχω·
Ἡ προφορὰ γὰρ κάτωθεν (10) στοιχείων τῶν δασέων·
Τῶν δὲ ψιλῶν ἐκφώνησις ὡς ἀπεψιλωμένη·
Ἐξ ἄκρων γὰρ προφέρεται (11) τὰ τρία τῶν χειλέων.

(1) Codd. πυῤῥίχιον. B, ἀσθενὴς ἐκτρέπου. C, ἀσθενής.

(2) C, σοὺς ἐπιτρ.

(3) C, ἡρωήσεις.

(4) Dionysius Thrax, scilicet, quem vide Gramm. § 7.

(5) C, μέσων.

(6) Codices, κ, π, τ. Ante τ, in C altera manus opportune addidit καί. Ephræmius, Chron. v. 2754, narrat Romanum e Theophanone duos suscepisse filios, Τὸν Βασίλειον, πρὸς δὲ Κωνσταντῖνον: lego, ut fiat versus plenus, Τὸν Βασίλειον, πρὸς δὲ καὶ Κωνσταντῖνον.

(7) C, τίθησιν.

(8) C, σέβυς: mox σέβω.

(9) AB, ἤ.

(10) C, ἡ πρ. κατ. Inseruit altera manus ἤ.

(11) C, προσφέρεται.

Τὰ μέσα μέσον πνεύματος τὴν ὁρμὴν προσλαμβάνει.
Αὕτη κοινὴ ἐξήγησις καὶ καθωμιλημένη.
Μάνθανε δὲ τὴν κρείττονα καὶ πολλοῖς κεκρυμμένην·
Ἄτρεπτα μὲν τυγχάνουσιν ἐν λόγῳ τὰ δασέα·
Οὐ γὰρ τραπείη τὸ δασὺ δασείας συναφθείσης·
« Ὄρνυσθ' ἱππόδαμοι » φησὶν, « ἀμφ' ἅλα ἔλσαι »
νήων (1)·
Σὺ δ' « ἔχ' ἡνία » κράτιστε, ἐπιεικῶς ἡρμένα·
Ἄτρεπτα γὰρ μεμένηκε τὰ τρία σοι δασέα.
Τὰ δὲ ψιλὰ, οἷα ψιλὰ, τρέπεται τῇ δασείᾳ·
« Ὣς ἔφαθ', οἱ δ' ἄρ' ἅπαντες· αὐτίχ' ὁ μὲν χλαῖ-
» νάν τε·
» Σὺ δέ μοι εἶφ' ὅπη τὴν ναῦν (2) »· σκόπει πῶς
καὶ τὰ τρία (3)
Ψιλὰ σοι παρετράπησαν, δασείας συναφθείσης.
Βλέπε καὶ τὴν μεσότητα τῶν ἑτέρων στοιχείων,
Πῶς ἔχουσι δασύτητος, ψιλότητος ἐν μέσῳ·
Ἐπικρατέστερα καὶ γὰρ τῶν ψιλῶν πέφυκέ πως,
Μηδὲν περιτρεπόμενα (4), δασείας ἐπηγμένης·
Ὥσπερ « οὐδ' οἵ γ' ὡρμήθησαν », καὶ « λάβ' ἡνία »,
πάλιν

(1) Libri, ὄρνυθ': quod correxi ex Homero Il. Δ, 509. B, φησὶν ἐν λόγῳ τὰ δασέα, male repetitis quæ præcesserant. Est sumtum ἀμφ' ἅλα ἔλσαι ex Il. A, 409: quid sibi velit νήων non capio. Scripserat forsan νῆα vel νῆας. Mox ἔχ' ἡνία mutuatus est ex Il. E, 230.

(2) C, ἄρ' οὐ πάντες. AB, ἄρα παντες: et sic Il. Γ, 95. Sed scripsi ἄρ' ἅπαντες, ut observaretur accentus regula. In altero hemistichio, codices, χλαῖναν, versu breviore. Scripsi χλαῖνάν τε, Homerum sequutus Od. E, 229. Mox AB, σὺ δή μοι. Hom Od. I, 279, Ἀλλά μοι εἶφ' ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα.

(3) Inserui verbum σκόπει e conjectura, qui hemistichio breviori sua mensura restitueretur. B caret quoque adverbio πῶς.

(4) Forsan παρατρεπ.

« Ὁ δ' ὡς εἰπών (1). » Καὶ μένουσιν ἄτρεπτα τὰ στοιχεῖα (2).
Ἐντεῦθεν ἰσχυρότερα τῶν ψιλῶν σοι τὰ μέσα
Ὅρα πῶς ἀσθενέστερα τυγχάνει τῶν δασέων.
Τὰ μὲν δασέα, δέσποτα, τὰ (3) πρὸ αὐτῶν ψιλοῦσιν,
Ὡς εὐσθενῆ καὶ δυνατά, Ὄθρυς, ὀφρῦς καὶ ὦχος·
Τὰ μέσα δὲ οὐ δύναται (4), ὡς ἐλαττότερά πως.
Ἅδωνις, ἥβη, ἡγεμών, πάντα δασύνεταί πως (5).
Πῶς δ' ἕκαστον ἀφώρισται μέσον τούτων δεικτέον·
Τοῦ πῖ καὶ φῖ γάρ ἐστι τὸ βῆτα μέσον, ἄναξ·
Συγγένεια καὶ γάρ ἐστι τῷ βῆτα πρὸς ἐκεῖνα (6).
Ὅσα γὰρ ἔχουσι τὸ πῖ καὶ τὸ φῖ καὶ τὸ βῆτα
Ἐν ῥήμασι λεγόμενα, λείβω, τέρπω καὶ γράφω,
Εἰς ψῖ γράφει τὸν μέλλοντα, λείψω, τέρψω καὶ γράψω·
Τῶν ὀνομάτων δὲ εἰς ψῖ ὁπόσα λήγει πάλιν (7),
Τούτων ἑνὶ (8) τὴν γενικήν, δέσποτα, χρηματίζει·
Ὁ Πέλοψ γὰρ τοῦ Πέλοπος, τοῦ Κίννυφος ὁ Κίννυψ (9),
Καὶ τοῦ λιβὸς ὁ λίψ ἐστίν· εὔλογος ἡ μεσότης.
Οὕτως εἰσὶ καὶ τὰ λοιπὰ τῶν ἀπηριθμημένων·
Τοῦ γάμμα καὶ τοῦ κάππα γὰρ καὶ τοῦ χῖ ἓν τὸ γένος·
Τοῦ λέγω καὶ τοῦ πλέκω γὰρ τὸ ῥῆμα καὶ τοῦ τρέχω (10).

(1) Exempla ex Homero, primum Od. K, 214; secundum Il. Θ, 116; tertium forsan Il. A, 68, ubi quidem ὅγ' ὡς εἰπών : sed est δ, ut γ, media consonans.

(2) A sine τά. Absque articulo hemistichium est curtius. Ephræmius Chron. v. 9313 : Ὡς ἂν ὁσίαν θῶσι τεθνηκότι· legendum τῷ τεθν.

(3) A, τῶν. Mox codd. ὀθρῦς.

(4) B, τὰ μὲν δασέα οὐ δ. AB, δύνανται.

(5) Sed Ἄδωνις vulgo tenui spiritu effertur ac scribitur. Infra v. 160, AB id nomen asperant.

(6) AB, τὸ β πρὸς ἐκ. Et C, τό.

(7) C, ὅσα λήγει δὲ πάλιν.

(8) B, ἐνί. Significare voluit nomina in ψ unam e tribus literis, π, φ, β, in genitivo sumere.

(9) Grammaticus in Bekkeri Anecdotis p. 1200 : Κίνυψ, Κίνυφος· ἔστι δὲ ποταμὸς Λιβύης.

(10) Deest vers. de futuro per ξ.

Εἰς ξι δὲ λήγων ὄνομα τὴν γενικὴν ποιεῖται
Ὥσπερ καὶ πρὶν εἰρήκαμεν ἐνὶ τῶν εἰρημένων·
Ὁ τέττιξ γὰρ τοῦ τέττιγος (1), τοῦ πέρδικος ὁ πέρδιξ,
Ὁ ὄνυξ δὲ τοῦ ὄνυχος. Ὡς τοῖς τρισὶ ταυτότης,
Οὕτω τὸ δέλτα πέφυκε μέσον τοῦ ταῦ καὶ θῆτα·
Πᾶν γὰρ ῥῆμα λεγόμενον δι' ἑνὸς τούτων, ἄναξ,
Εἰς σίγμα δρᾷ τὸν μέλλοντα· ᾄδω, πλήθω, ἀνύτω (2)·
Ὁ μέλλων ᾄσω γάρ ἐστιν, ἀνύσω τε καὶ πλήσω·
Εἰς σίγμα δέ γε τελευτῶν ὄνομα κατ' εὐθεῖαν
Τὴν γενικὴν τούτων ἐνὶ δείκνυσι τελουμένην·
Ἄδωνις γὰρ Ἀδώνιδος, ὄρνις ὄρνιθος γράφοις (3).
Ἔρως δὲ πάλιν ἔρωτος· ἴδε τὴν συμφωνίαν.

Οὐ πάντων ἡ γραμματικὴ πέφυκεν ἐμπειρία (4)·
Τῶν πολιτευομένων γὰρ (5) λέξεων ἐπιστήμη,
Οὐ τῶν (6) ἐν παραβύστῳ δὲ τισὶ συμπεπλασμένων.
Τὰς γὰρ ἐν τῷ Λυκόφρονι εὐῶπας κόρας κώπας (7),
Καὶ τὸν παρὰ τῇ Σύριγγι (8) ἀντίπετρον οὐκ οἶδεν·
Ἀλλ' οὔτε τὸ βαλάντιον (9) ὡς ἀκόντιον ἔχει,

(1) C, ὁ τέτιξ γὰρ τοῦ τέτιγος.

(2) B, ἀνίτω. C, ἀνύτω.

(3) BC, γράφεις. Cf. p. 207, n. 5.

(4) Respicit verba Dionysii Thracis initio Grammaticæ: γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πλεῖστον λεγομένων.

(5) C, γε. Respicit verba commentatoris in Dionysium Thracem ap. Bast. Epist. pag. 267 = 225: τῶν πολιτευομένων λέξεων ἐπιστήμων ἔσται ὁ γραμματικός, οὐ μὴν τῶν καθάπαξ καὶ κατὰ μίαν χρῆσιν εἰρημένων· ὡς παρά τισι λέγεται σκέπαρνον τὸ ἔριον διὰ τὸ σκέπειν τὸν ἄρνα, καὶ ποτήριον τὸ ἐξ ἐρίων ἔνδυμα, ὅτι ποτὲ ἔριον ἦν.

(6) A, τοῦ τῶν.

(7) Lyc. 22: αἱ δὲ παρθενοκτόνον Θέτιν Ἰυλόπεζοι θεῖνον εὐῶπες.... κόραι. Lycophronis mentio mihi epigrammatis renovabat memoriam, quod olim legeram in codice 1310, p. 216: Φερωνύμως λέλογχε τὴν κλῆσιν μόνος, Σκοτεινὰ φράζων ἢ φρενῶν, ὁ Λυκόφρων.

(8) Scilicet in Syringe Theocritea.

(9) Sic ineptiuscule lusisse historicum quemdam discimus e scholiis in Dionysium Thracem

Οὔτ' ἔριον τὸ σκέπαρνον, ἐκ τοῦ τὸν ἄρνα σκέπειν (1)·
Οὔτε φησὶ ποτήριον ἔνδυμα ἐξ ἐρίων (2)·
Ἑλκύδριον οὐ τίθησιν οὐδέποτε τὸν κάδον (3).

Τὸν τόνον ὁ γραμματικὸς τίθεται προσῳδίαν·
Πρὸς τόνον γὰρ τὸ (4) μελῳδεῖν, πρὸς τόνον ἁρμονία.

Τέσσαρες πρὸς τοῖς εἴκοσι (5) τῶν ποιήσεων τρόποι·
Παραβολὴ, ὑπερβολὴ καὶ ἀντωνομασία,
Ἄλλοι τε προφανέστατοι καὶ γνώριμοι τοῖς πᾶσιν.
Τρόποι δ' ἐπωνομάσθησαν, ὡς τρέποντες τὴν φράσιν.

Τὸ τρίτον τῆς (6) γραμματικῆς τοῦτο τυγχάνει μέρος,
Ἱστοριῶν ἀπόδοσις καὶ γλωσσῶν πολυτρόπων·
Ἑκάστη γὰρ διάλεκτος ἔχει παμπόλλας γλώσσας.
Ἡ γὰρ δωρὶς διάλεκτος ἔχει τοιάσδε γλώσσας,
Ἀργείων, Κορινθίων τε καὶ τῶν Συρακουσίων·
Ἡ δ' αἰολὶς, τῶν Βοιωτῶν, πρὸς δὲ καὶ τῶν Λεσβίων.
Ὀφείλει δ' ὁ γραμματικὸς εἰδέναι καὶ τὰς γλώσσας.
Ἰάδος (7) γὰρ τὸ πίσυρες, ἀλλὰ Συρακουσίων

p. 734, huc omnino conferendis. Sed et *βαλάντιον* sic detorsisse Dionysium Tyrannum monuit Helladius Photii Bibl. p. 1588.

(1) Et in illo nomine luserat Dionysius Tyrannus : cf. Helladius l. c. Et adde Scholia in Dion. Thrac. p. 734, coll. Bastio l. c. Dixerat etiam poeta tyrannus nec musis amicus *μένανδρον τὴν παρθένον* : vide Proclum in Cratylum pag. 43.

(2) Vide p. 208, n. 9. Ad Proclum loc. cit. ludicrum *ποτηρίου* usum ad Dionysium referebam, conjectura probabili : ejus quippe fuerunt, Helladius ait, *πολλὰ τοιαῦτα καταγέλαστα*.

(3) Hoc ænigma in quadam Dionysii Tyranni tragœdia legebatur, teste Helladio. Derivabat *ἑλκύδριον* hoc sensu ab *ἕλκειν* et *ὕδωρ*.

(4) B, *τοῦ*.

(5) B, *τέσσαρας πρὸς τὰς εἴκ.* C, *τεσσάρσις*. Et infra B, *τᾶς πᾶσι*. Faciles sunt permutatu literæ *α* et *οι*. Infra v. 323, B, *φύλλας*.

(6) C, *τοῖς*.

(7) C, *ἰάδις*. Hesychius vocem *πίσυρες* tribuit Æolicæ dialecto.

Πέμπτον δὲ μέρος, δέσποτα, γραμματικῆς (1) τυγχάνει
Ἐκλογισμῶν ἀκρίβεια τῶν τῆς ἀναλογίας,
Τουτέστι παραθέσεως πρὸς ὅμοιον ὁμοίου (2).
Τὸ Δημοφῶν (3) γάρ, δέσποτα, καὶ Ξενοφῶν κατ' ἴσον,
Ὁμοίου τις παράθεσις κατὰ ἀναλογίαν.

Ἔστι καὶ κρίσις ἀκριβὴς αὕτη τῶν ποιημάτων·
Οὐ κρίνει δ' εἰ συγγέγραπται κρειττόνως ἢ χειρόνως (4),
Ἀλλὰ τίνα νενόθευται, τίνα γνησίως ἔχει·
Πολλὰ γὰρ ἀμφιβάλλεται τῶν προσυγγεγραμμένων·
Ὁμήρου μὲν τὰ Κύπρια, πρὸς δὲ καὶ ὁ Μαργίτης (5),
Ἀράτου δὲ τὰ Θυτικὰ καὶ τὰ περὶ ὀρνέων (6).
Κρίνεται δὲ ποιήματα χρόνῳ καὶ ἱστορίᾳ,
Οἰκονομίᾳ, λέξει τε, πλάσματι καὶ συνθέσει.

Βιωτικὴ (7) δ' ἀνάγνωσις ἔστιν ἡ κωμῳδία,
Οὐκ εὔτονος, οὐκ εὔφωνος, ἀλλ' ὥσπερ ὑφειμένη,
Συνήθους καὶ βιωτικῆς εἰκὼν τῆς ὁμιλίας.

(1) B, πέμπων.... γραμματικοῖς. Videtur periisse nonnulla. Apud Dionysium Thracem quem sequitur Psellus, sex esse traduntur grammaticæ partes : prima, lectio ad prosodiam instituta; secunda, expositio figurarum poeticarum; tertia, explicatio historiarum ac glossarum; quarta, etymologiæ indagatio; quinta, analogiæ disquisitio diligens; sexta, pœmatum crisis. Omisit vel Psellus, vel librarius, quartam partem. Potuit tamen sic auctor scribere, qui opusculum σποράδην composuit, Dionysium quandoque respiciens, ei non pressim adhærens.

(2) Cf. scholia in Dionysium Thr. p. 741.

(3) C, δηφῶν.

(4) Polyb. Fragmentis novis : μακρῶς καὶ ἀσαφῶς καὶ τῷ παντὶ χειρόνως ἐξηγούμενος. Sic nuper edidit vir d., quum esset, nec pejus, in editione Romana p. 403, χεῖρον.

(5) Codices, μαργαρείτης.

(6) A, τῶν ὀρνέων. C, θηλυκά. Putem τὰ θυτικὰ idem esse poema ac ἐπιθυτικὸν, cujus meminit Suidas. Ad librum περὶ ὀρνέων referendus esse videtur Arati locus apud Suidam in χειμὼν ὀρνιθίας, cujus sedem quærebat Buhlius.

(7) C, βοιωτικὴ : mox ὁμηλίας. B statim, βιωτικοῖς.

Τὰ γάρ τοι τραγικώτερα ἄλλου τυγχάνει τύπου·
Ἡρωϊκῶν γὰρ μέσωσις ἐστὶν ἡ τραγῳδία (1)·
Εὐτόνως (2) προσοιστέον δὲ τὸ ἔπος, στεφηφόρε·
Ἔπος δ᾽ ὁ τόνος πέφυκεν, ἡ τάσις τῶν ἡρώων.

Τὰ δίχρονα δὲ δίσημα οἱ ἀριθμοὶ καλοῦσιν (3).

Ἄνω δ᾽ ἀποφηνάμενοι (4) πολλοὺς τῶν χρόνων λείπειν,
Αἰτίας οὐ δεδώκαμεν· νῦν δὲ καὶ ταύτας δέχου.
Τέτυμμαι· καὶ τὸ εὐκτικὸν ἀποίητον (5) τυγχάνει,
Διότι παραλήγεται οὗτος ὁ χρόνος, ἄναξ,
Ἄλλῳ συμφώνῳ πρὸ τοῦ μῦ· οὐ πέφυκε δ᾽ ἐντεῦθεν
Γίνεσθαι παρακείμενος εὐκτικὸς πάθος ἔχων,
Ἀλλ᾽ οὐδὲ ὑποτακτικός· κοινὴ γὰρ ἡ αἰτία.
Τέθεικα παρακείμενος· ἀπέλιπε δ᾽ ὁ μέσος·
Καὶ γὰρ ὅταν ὁ δεύτερος ἀόριστος τῆς πρώτης (6)
Μιᾷ ἐνδῇ (7) τῇ συλλαβῇ, ὡς παραδείξομαί σοι,
Ὁ μέσος παρακείμενος καθ᾽ ὁμοιότητά πως
Μιᾷ τοῦ ἐνεργητικοῦ συλλαβῇ ἐλαττοῦται·
Ὁ πρῶτος γὰρ ἀόριστος ἐλήκησα τυγχάνων
Ἔλακον ἐκληρώσατο τὸν δεύτερον εἰκότως·
Λελήκηκα καὶ λέληκα ὁμοίως προσελέχθη (8).
Μέσος δὲ παρακείμενος, ἀρχὴν συμφώνων ἔχων (9),
Οὐδέποτε δισύλλαβος κανονικὸς τυγχάνει·

(1) Omissum ἐστὶν addidit in C ad marginem manus correctoris. Infra B, πέφυκε.

(2) Vide Dionys. Thr. Grammat. § 2, ubi ἐντόνως: sed εὐτόνως legerunt ejus scholiastæ p. 751.

(3) AB, οἱ ἀριθμητικοὶ καλ.

(4) A, ἀποφειnάμενοι. Cf. v. 72.

(5) C, ἀποιηχαί: mox, συμφάνως.

(6) B, τοῖς πρώτοις. Fors. τοῦ πρώτου.

(7) Codices, ἐνδεῖ.

(8) Codd. περιελέχθη.

(9) Id prudenter est additum. Theodosius Bekkeri Anecd. pag. 1047: πᾶς γὰρ παρακείμενος ὑπερβαίνειν θέλει τὴν δισυλλαβίαν, ἡμαρτημένου τοῦ οἶδα.

Ἐπεὶ δ᾽ ἔστι τρισύλλαβον τὸ τέθεικε, τῇ μέσῃ (1)
Πῶς ἂν ὁ μέσος γένοιτο; τοῦτο παρὰ κανόνα·
Ὀφείλει γὰρ δισύλλαβος παρὰ τὸν λόγον εἶναι.
Καὶ δεύτερος ἀόριστος ἐν τοῖς εἰς μι οὐκ ἔστι
(Φημὶ δ᾽ ἐν τοῖς παθητικοῖς· τοῦτο γὰρ προσθετέον),
Διότι προϋφήρπασαν τὴν κατάληξιν τούτου
Οἱ δεύτεροι ἀόριστοι τῆς ἐνεργείας, ἄναξ.
Τοῦ τίθημι ἀόριστος ἐν τοῖς ἀπαρεμφάτοις
Πρῶτος οὐκ ἔστι, δέσποτα· καὶ γὰρ οὐδέ τις κλίσις (2)
Ὑστέρα τῶν ὁριστικῶν· εἰ δέ τις λέγειν θέλει,
Ἡμάρτηται, τὸ ἔδωκα, ἔθηκα, καὶ τὸ ἧκα.
Ἄλλως τε οὐδὲ δέχονται μετοχὴν τὰ τοιαῦτα·
Μὴ ἔχοντα δὲ μετοχὴν, ἐστέρηνται τῶν ἄλλων,
Προστακτικῶν καὶ εὐκτικῶν καὶ τῶν ἀπαρεμφάτων.
Τὸ ἔστησα δὲ γράφομαι καὶ τὸ ἔφησα (3), ἄναξ·
Τούτων γὰρ ἀπαρέμφατον στῆσαι καὶ φῆσαι γράψαι.
Τοῦ τίθημι ἀόριστος προστακτικὸς καὶ μέλλων
Οὐκ ἔστιν ἐνεργητικός· καὶ σαφὴς ἡ αἰτία·
Τοῦ ἔθησα (4) καὶ γὰρ φημὶ ἐκλέλοιπεν ἡ κλίσις.
Τοῦ τίθημι ἀόριστος πρῶτος οὐκ ἔστιν, ἄναξ,
Ἐνεργῶν ἐν τῇ μετοχῇ· τοῦτο γὰρ προσθετέον·
Εἰ γὰρ, καὶ ἔδει γράφεσθαι θήκας, ἀλλ᾽ ἐσιγήθη (5).
Οὐδεὶς γὰρ πάντων ἑαυτῷ προστάσσει, στεφηφόρε.
Παθητικὸς δὲ πέφυκε· τεθεὶς γὰρ πᾶς τις γράφει.

(1) B, τέθηκε τῇ μέσει. C, τέθηκε: mox sine τόν.
(2) C, κλήσις.
(3) C, sine ἔφησα.
(4) Codices, ἔθηζα, quod non potui relinquere. Scripserat procul dubio ἔθησα, quæ forma est canonica, scilicet a futuro θήσω. Vide Theodosium Bekkeri pag. 1047.
(5) C, ἀλλ᾽ ἔστι δῆθη. Mox, ἑαυτῶν. Locus est vitiatus. Ordinem esse meliorem puto, 244, 246, 247, 245, 248.

Τὰ πρῶτα τῶν προστακτικῶν ἐκλέλοιπε τελείως·
Τὰ τρίτα τ' ἐκλελοίπασι πληθυντικά πως (1), ἄναξ,
Τοῦ τέτυμμαι παθητικοῦ καὶ ὑπερσυντελίκου·
Πᾶν τρίτον καὶ γὰρ ἑνικὸν συμφώνῳ παραλήγον,
Μὴ σθένον πρὸ τοῦ ταῦ τὸ νῦ δέξασθαι, στεφηφόρε,
Πληθυντικὸν οὐ πέφυκε πρόσωπον ποιεῖν τρίτον.

Ὡς πρός τι τὰ ἡμίφωνα τυγχάνει τῶν γραμμάτων·
Πρὸς γὰρ τὴν φύσιν λέγεται ημι (2) τῶν φωνηέντων·
Βραχὺ (3) γὰρ ἀπολέλοιπε τούτων τῆς εὐφωνίας.
Καὶ δῆλον ἐκ τοῦ συριγμὸν, μυγμὸν καὶ ῥοῖζον ἔχειν·
Τὸ μὲν γὰρ ζῆτα καὶ τὸ ξῖ, τὸ ψῖ τε καὶ τὸ σίγμα
Τὸν συριγμὸν ἐργάζονται, τὸ βῆμα (4) μόνον ῥοῖζον·
Μυγμοῖς δὲ πάλιν γίνεται τὸ μῦ τε καὶ τὸ νῦ, ἄναξ.
Ὁ τεχνικὸς (5) μὲν εἴρηκε τῶν ὑγρῶν τὴν αἰτίαν·
Εἰσὶ γὰρ δυσμαθέστατα καὶ δυσεξάλειπτά πως (6),
Ὑγροτάτης ποιότητος κολλητικῆς τὴν φύσιν.
Σὺ δὲ καὶ ταύτην μάνθανε τάχα μουσικωτέρως·
Ὑγρὰ γὰρ κατωνόμασται τῆς προφορᾶς τῷ λείῳ (7)·
Ὑγρὰ γὰρ ὡς εὐόλισθα, τῇ ἀκοῇ δὲ πλέον.

Μάθε καὶ χρῆσιν, δέσποτα, σπανίων (8) ὀνομάτων.

(1) B, πληθυντικόν. Forsan πληθυντικῶν. C, πῶς.

(2) Pro φημὶ codicum scripsi ημι, respectu ad nominis etymon. Conf. scholia in Dionys. Thr. pp. 805, 806.

(3) C, τραχύ.

(4) B ex correct. βῆτα. Sed β non est ἡμίφωνον, quum sit ἄφωνον. Sensus postulat τὸ ῥῶ δέ.

(5) Dionysius Thrax Grammat. § 7.

(6) Stephanus schol. ad Dionys. p. 817 : ὑγρὰ, τουτέστιν ὀλισθηρά. . ἢ ὅτι ἀμετάβολά ἐστιν, ἀπὸ μεταφορᾶς τῶν ὑγρῶν χρωμάτων ἃ δυσεξάλειπτα τυγχάνει.

(7) C, προσφορᾶς. A, προφορᾶς τὴν φύην, et ad marginem, τῷ λείῳ. B, προφ. πλείως.

(8) C, παντοίων. Etsi nomina quæ sequuntur sint παντοῖα, præstat tamen lectio σπανίων, quum sint plerumque rariora.

Ἄγγαρος γάρ, ὁ ἄγγελος. Ἀγῆλαι, τὸ σεμνῦναι (1).
Ἀγχέμαχος, ὁ πολεμῶν ἐγγύθεν, στεφηφόρε.
Ἀγχώμαλον, ἰσόπεδον. Ἀγωγεύς, τὸ σχοινίον.
Ἀγχεμαχῶν, ὁ πολεμῶν συστάδην καὶ πλησίον.
Ἀκκισμός, ἡ προσποίησις (2). Ἁλέντες, συγκλεισθέντες.
Ἁλίπεδον, τὸ ὁμαλόν. Ἀλίσας, τὸ κονίσας.
Ἁλίζειν, τὸ ἀλείφεσθαι, ἢ ἅλας ἐπιπάττειν.
Ἡ λαμπηδών, ἀμάρυγμα. Ἄμβων (3), ὀφρὺς τῆς πέτρας.
Ἄμοτόν τε, τὸ ἄπληστον. Ἀμόργη, ἡ τρυγία.
Ἀμφηρεπής (4), ὃ πέφυκεν ἐγκατεστεγασμένον.
Ἀνασοβεῖ, ἀνακινεῖ. Ἀνασειράζω, ἄγχω.
Ἀναζυγὴ (5), ἀνάλυσις τῶν στρατοπεδευμάτων.
Ἀναρριχᾶσθαι δέ ἐστι τὸ τῆς σκαλοβασίας (6).

(1) C, Ἀγῆλα τὸ σεμνῦναι. In aliis codicibus est hic versus initium opusculi Pselliani περὶ ἀντιστοίχων : vide Bibl. Græc. t. x, p. 70. — Nicolaus Damasc. p. 232 : καὶ ἅμα πέμπει τινὰ τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν Βαβυλώνιον· οὕτω γὰρ ἐκάλουν τοὺς βασιλέως ἀγγέλους. Hinc sua sumsit Suidas in Ἄγγαρος.

(2) De ἀκκισμῷ (quod et alii per προσποίησιν vertunt : cf. not. ad Nicet. Eugen. p. 318) et ἀκκίζεσθαι egi ad Herodianum Epim. p. 61. Julianus Epist. 5 : καὶ μόγις ἄγων σχολήν· ὡς ἴσασιν οἱ θεοί· οὐ κακιζομένην λόγῳ, ταῦτα ἀντέγραψα πρός σε. Versio latina : « Et » cum otii vix quicquam habe» rem (Dii sciunt nihil me ver» bis minuere), hæc ad te rescri» psi. » Quæ latinorum sententia bona est, sed græcis vix convenit leviter corruptis sicque reformandis : κ. μ. ἄ. σχολήν, ὡς ἴσασιν οἱ θεοί, οὐκ ἀκκιζομένην λόγῳ. Est σχολὴ οὐκ ἀκκιζομένη λόγῳ « otium » non simulatum et fictum ver» bis. » Sed Julianus fuerit paulo negligentior; nam ἀκκισμὸς non cadit in σχολήν, sed in μόλις ἄγων. Malim igitur : οὐκ ἀκκίζομαι λόγῳ.

(3) C, ἄμβρων.

(4) Forsan, ἀμφηρεφής.

(5) C alio ordine, 280, 278, 279.

(6) C, καλοβασίας. B, σκαλομασίας. Est σκαλοβασία ascensio per scalæ gradus. Versum hunc protulit Cangius in Glossario, sed ita ut σκαλοβασίαν videatur de arte funambulorum intellexisse; quod ab Pselli sententia est alienum, et lectioni καλοβασίας melius conveniret.

Ἄρσις ἐστὶ τὸ βάσταγμα. Ἀπρὶξ, ὅλῃ δυνάμει (1).
Αὐθέκαστος, ὁ αὐστηρός. Αἱ φάραγγες, αὐλῶνες.
Αὐτόπρεμνον, αὐτόῤῥιζον. Αὐτόχθων, ὁ πολίτης (2).
Ἡ δέ γε ἀφοσίωσις, ποίησις τῆς ὁσίας (3)·
Ὁσίαν δ' ὀνομάζουσι, δέσποτα, τὴν κηδείαν.
Ἄωρτο (4), τὸ ἐκρέματο. Καὶ ἄωτον, τὸ ἄνθος.
Ἁλίπεδα, τὰ νεύοντα (5) πρὸς θάλασσαν πεδία.
Ἀνάγωγος, ὁ ὑβριστής. Ἀστεμφῶς, ἀκινήτως.
Ἀποσκυθίσαι δέ ἐστι τὸ τεμεῖν δέρμα κάρας.
Ὁ δέ γε ἀνεψιαδὸς, υἱὸς ὁ ἀνεψίου (6).
Ἄγγονες (7), τὰ δοράτια. Ἀκρήβης, ὁ ἀκμάζων.
Ἀμαλλεῖον (8), δεσμὸς μαλλῶν. Αἰγίλωψ, κόρης πάθος.
Εἱληθερὲς (9), τὸ χλιαρόν. Ἀῦτον, τὸ πυῤῥῶδες.
Ἀναισιμῶσαι δέ ἐστιν, ἄναξ, τὸ ἀναλῶσαι.

(1) Sic et ab aliis ἀπρὶξ vertitur : cf. not. ad Eunap. p. 298.

(2) Scribere civem Atticum crederes.

(3) Codd. male οὐσίας. Mox, pro ὁσίαν, est οὐσίαν in BC.

(4) Respectu forsan ad Il. Γ, 272.—B, ἄορτον τὸ ἐκρέμματο. C, ἐκρέμματο.

(5) C, τὰ δ' ἔυοντα. Cf. v. 272.

(6) A, ἀνεψιοῦ. B, ανεψίου : sed deleto, ut videtur, qui fuerat in ȣ positus, accentu. Cangius in Ἀνεψιαδὸς sic versum allegavit mendose : ὁ δὲ καὶ ἀνεψιαδὸς, υἱὸς ὁ τοῦ ἀνεψίου. Qui vulgarem tonum ἀνεψιοῦ prætulerit, rhythmo nocebit. Ephræmius Chron. de Juliano v. 455 : Ἰȣλιανὸς χριστομάχος μαινόλης, Ὅστις ἀποστὰς δεσπότȣ σεσωκότος, Καὶ χριστιανῶν πιστέως σωτήριον, Τῇ δαιμόνων φεῦ! ἀπάτῃ προσεῤῥύη. Est σωτήριον mutandum in σωτηρίȣ, illudque pro mendo typorum haberem, ni latina obstarent. Idem v. 1259 : Καὶ πλῆθος ἐζώγρησεν ἄλλο μύριον. Rescribendum μυρίον. Joannes Diacon. Laudat. Joannis Palæologi 126 : Εἰς δένδρον εὐσκιόφυλλον, συνηρεφὲς τοῖς πρυμνοῖς. Rescrib. πρύμνοις, vel, quod melius, πρέμνοις. Ignatius Diac. p. 173 Æsopi Corayani : Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα· velim reponi ἐγκάτων.

(7) Aliis per ω, ἄγγωνες.

(8) C, ἀμμαλλεῖ. ABC, αἰγίλοψ: cf. t. II, p. 395, n. 2 ; et ad rem t. I, p. 235. C, κορισπάθος.

(9) A, ἀληθερὲς, scripto ει super α. BC, ἀειληθερές. Mox C, αὖτον τὸ πυρῶδες. Quod ultimum est forsan altero melius.

Τὸ δέ γε ἀπεμύλιζε (1), τὸ κατηυτέλιζέ πως.
Αὔθαιμοι, οἱ αὐτάδελφοι. Ἀχαίνειν δὲ, τὸ παίζειν.
Ἀνδράχνη, χοιροβότανον (2). Ἀναιρεῖν, τὸ μαντεύειν (3).
Ἀχὼρ, ἀποπιτύρισμα (4). Ἄγρις δὲ, ἡ ὀδύνη.
Ἄγγουρος, τὸ μελίπηκτον (5). Ἀλδαίνειν, μεμηνέναι.
Ἀλυσθαίνειν, ἀδημονεῖν (6). Τὸ κλαίειν, ἀλεκταίνειν·
Βάκηλος, ὁ ἀνόητος. Βαλβὶς (7), ἀφετηρία.
Λιμὸς (8) ὁ μέγας, βύλιμος. Βούπαις, νέος, ἀφῆλιξ.
Βοσὸρ, ἐσθής (9) τις κόκκινος. Βριμάζω, τὸ βρυχῶμαι.
Βέτων, ὁ πάνυ εὐτελής. Βλίτον, εἶδος λαχάνου.
Ὁ προβαλτώδης, βέκηλος (10). Τὸ δὲ στριγᾶν, βλιμαίνειν.
Βριμαίνειν, τὸ ὀργίζεσθαι (11). Βουκάπη, βοῶν φάτνη.
Γνωσιμαχεῖν, ἐπίστασθαι τὴν πρὸς κρείττονα (12)
μάχην.
Γαισσὸς δὲ, τὸ δοράτιον (13). Γρυνὸς, τραχεῖα ῥάβδος.
Γνώρας, ὁ ἀλλότριος. Γέρδιος, ὁ ὑφάντης (14).

(1) C, ἀπμύλιζε. An ἀπεμύκπζε? Piersonus ad Mœrid. pag. 396 adfert hunc versum cum vocula πω in fine, et conjicit, satis audacter, ἀπφαύλιζε.

(2) Hunc Pselli locum memoravit Cangius Gloss. in Χοιροβ.

(3) Hoc hemistichio usus est Kœnius ad Gregor. D. Ion. § 82.

(4) B, ἀποπτύρις. Cf. Arcadius Barkeri p. 20; Bernard. ad Nonn. t. I, p. 38.

(5) Videtur esse placenta mellita cui forma est cucurbitacea. Versum qui recitat Cangius, Gloss. in Ἄγγουρος, male exhibet αἰδαίνειν.

(6) B, ἀδηνεῖν. Consentiunt libri in ἀλυσθαίνειν per θ.

(7) C, βαλβής.

(8) C, βιλιμός.

(9) BC, ἐσθής. Herodian. Epim. p. 8. Βοσὸρ, ὁ τόπος. Id quidem puto melius; sed est dubitationi locus.

(10) C, βέβηλος. Habet Suidas βέκυλος.

(11) B, ὀρχίζεσθαι.

(12) B, κρειττόνως.

(13) BC, γαισσὸς μέν. Et habet μὲν, qui adtulit versum, Cangius in Glossario. Vide not. ad Herod. Epim. p. 12; Clericum Bibl. sel. t. XVII, p. 54; Biblioth. *raisonnée* t. XXII, p. 100.

(14) Versum adtulit Suidas in Γνώρας, Psello laudato, cum varietate, καὶ γέρδης ὁ ὑφ.

Γλάσσων, μωρὸς ἀνούσιατος. Γλακκάζειν (1) δὲ, τὸ κράζειν.
Δάπιδες, ὑποστρώματα. Δέλιθες, τὰ σφηκία (2).
Δαίσιμον, τὸ ἐδώδιμον. Δρύφακτοι δ', αἱ κιγκλίδες (3).
Δυσβάρκωνος, ὁ δύσληπτος. Οἱ δασεῖς, δασυλίδες (4).
Δικτάτωρ (5), ὁ δισύπατος. Διπλοῖς, διπλῆ χλαῖνα (6).
Διχόμηνος σελήνη δὲ, πεντεκαιδεκαταία (7).
Ἐγκρὶς, ἐλαίου γλύκασμα. Εὔτυχον, ὑδαρῶδες.
Ὁ δ' ἐγκρυφίας ἄρτος τις, σποδιασθεὶς ἐν μέρει (8).
Ἐγκίσσωσις, ἡ ὄχευσις, ἡ σύλληψις δὲ πλέον.
Ἐξήνιοι (9), ἀλλότριοι καὶ πόρρω τῶν ἡνίων.
Ἐπαρυστὴς, τρυβλίον δὲ τυγχάνει τοῦ λυχνάπτου (10).
Ἐπιφυλλὶς, βραχύτατον βοτρύδιον ἀμπέλου.
Ἐχῖνος, πολυώνυμον (11)· ζῶον καὶ εἶδος χύτρας,
Ὁ τε μὴν ἀκανθόχοιρος, καὶ ἡ γαστὴρ καὶ πόλις.
Κορύμβοις ἐνδιάζεσθαι, τὸ σκιάζεσθαι φύλλοις.
Εὐναῖος δὲ, ὁ λαγωός (12). Ἔνναον ὕδωρ, βλύζον.

(1) B, κλακκάζειν.

(2) A, σφικία. B, δάπηδις ὑποστρ. δέλιθις τὰ φισκια. Hunc locum respicere videtur Kœn. ad Gregor. Cor. D. Dor. § 56.

(3) B, ἐδέδομον δρύφαπτοι δαικιγκλίδες. C, δικιγκίδες, scripto αἱ super ε.

(4) B, ὁ δυσβ....δασυλίδης.

(5) C, δικάτωρ. Quum esset in Glossis juris Labbæanis δικτάτωρ... δισυσίπατος, correxit Schulting. δισύπατος, quod firmat Psellus.

(6) B, διπλὸ δ. C, διπτὴ χλ.

(7) BC, πεντεκαιδεκαπία. A, αι superscripto ε.

(8) B, ὀκρυφίας...σποδιασθῆς. C, ἐν μέσω.

(9) B, αἰξηνίοι. C sine 317, 318.

(10) C, τελβλίον (et τρυ.) τ. τ. λυχνάπου. B, τριβλίον.

(11) B, πολυώνυμος. Cangius, qui utrumque versum adtulit Glossario Græcitatis in Ἀκανθόχοιρος, habet πολυώνυμος ὁ γαστήρ. Sunt et hi versus inter Critopuli Meursianas emendationes p. 6, cum pravis lectionibus ὅπ et ὁ γ. Conf. v. 351.

(12) A, ἐναῖος δέ. C, ἐναῖος γάρ. B, ἐναῖος δὲ ὁ λαμός. Mox C, ἔνναιον ὕ. βλύζων.

Ἐπαύκλια, τρεγήματα. Ἐλεὸν, τράπεζά τις.
Εἰρεσιώνη, πλέγμα τι ἐρίων προβατείων.
Ἐπώμαιος, ὁ τράχηλος. Ἕρσεον, τὸ δροσῶδες.
Ἐγκιλικίζειν δέ ἐστι τὸ πονηρεύεσθαί τι (1).
Ἐννεός τε ὁ ἄφωνος (2). Εὐέδρως, τὸ βεβαίως.
Ἑδώλια, αἱ ναυτικαὶ τυγχάνουσι (3) καθέδραι.
Τὸ δὲ θυμιατήριον ἐσχάριόν μοι κάλει.
Καὶ πάλιν τὸ ἀσύμφωνον ἑτερόστοιχον λέγε.
Ἐντρειώνη, τὸ εὐθές. Ἐνώπια, εὐθέα.
Ἐξεστακέναι δέ ἐστι (4) θαυμάσαι, καταπλῆξαι.
Ἔπαυλις, μάνδρα τῶν βοῶν, πρὸς δὲ καὶ τῶν προβάτων (5).
Ἐρίπνη, μέρος ὑψηλόν (6). Ἐρσήεντα, δροσώδη.
Εὔιος, ὁ Διόνυσος. Ἔφεδρος, ὁ κυβεύων (7).
Ἐχέγγυος, ὁ ἀσφαλής. Ἡ λόγχη δὲ, ζιβύνη (8).
Ἔτνος δὲ ῥόφημα ἐστὶ (9) ἐξ ἀλεύρων παντοίων.
Ἐπίσιον, τὸ αἰδοῖον. Θαλάμας δὲ, τὰ κοῖλα (10).

(1) B, ἐστιν. C, πονηρέβεσθαί.

(2) B, ἄφθωνος.

(3) B, ἀναυτικαί. C, τυγχάνουσιν.

(4) B, ἐξαστακέναι δέ ἐστιν. C, ἐστιν.

(5) C sine μάνδρα. Codex B sine καί.

(6) B, ὑψιλόν.

(7) AB, ἔφυδρος. C, ἔφυδρος ὁ κοβέβων. In codice B, pag. 136, cum lemmate τοῦ Ψελλοῦ, repetiti occurrunt ejus opusculi versus 337, 340, 381, 420, 434, 440, 441, 443, 444, 453, 455; et ibi legitur ἔφεδρος. Reperi eosdem versus cum lemmate στίχοι τοῦ Ψελλοῦ πολιτικοὶ ἑρμηνεύοντες λέξεις, in codice 2599, p. 194, 2; atque ibi est ἔφεδρος. Vide Addenda.

(8) B, λόγχι. C, ζιβήνη.

(9) B sine ἐστι.

(10) C, θαλαμὰς δὲ ἀκοῖλα. Prius hemistichium, ob pravam accentus sedem, videtur sic reformandum, τὸ αἰδοῖον, ἐπίσιον. Sed infra v. 455 eodem modo legitur; nec aliter in B iterum p. 136, 2, et in codice 2599, p. 194, 2. Unde id intactum reliqui. — De utraque voce vide t. I, p. 240. Ibi in nota ἐπισιόν pro ἐπίσιον legendum est: sic enim citatus Piersonus sui locum Pselli exhibuit.

Ἐκχύμωμα, παρέκχυσιν (1). Τὴν ἐφελκίδα, μύκην.
Ἔκφυμα, τὸ ἐξάνθημα (2). Τὸ βλάπτεσθαι, γυιοῦσθαι.
Ζάκλον ἐστὶ τὸ δρέπανον. Ζάκορος, νεωκόρος.
Ζατρεύειν, τὸ ἐν μύλωνι κυρίως βασανίζειν·
Τὸ δὲ βασανιστήριον ὀνόμαζε ζητρεῖον.
Ζευγήσιον τὸ τέλεσμα τυγχάνει τοῦ ζευγίτου (3).
Κουρεῖς οἱ τῶν προβάτων δὲ νακοτιλταὶ (4) καλοῦνται.
Ἡ σίδη, τὸ ῥοΐδιον. Συκάμινα δὲ, μόρα (5).
Ἡμίοτος (6), μικρὸς αὐλός. Ἦτρον, ὀμφαλοῦ μέρος.
Ἠρδανωμένος, ὁ λεπρός (7). Ἤνυστρον δὲ, τὸ κῶλον·
Ἐχῖνος γὰρ καὶ ἤνυστρον καὶ κεκρύφαλος, μέρη (8)
Ὁμοῦ γαστρὸς πεφύκασι ταῦτα δὴ τρία μόνα.
Ἡγητορία πέφυκε τῶν σύκων ἡ παλάθη (9).
Καὶ ἦια, τὰ βρώματα. Ἠίθεος, ὁ νέος.
Ἥκιστος, ὁ μικρότατος. Ἠλαίνω, τὸ μωραίνω.
Ἠλέματος (10), ὁ μάταιος. Ἠλέκτραι, Θηβῶν πύλαι,
Τὴν (11) ἐκ πολλῶν συναγωγὴν καλοῦσιν ἡλιαίαν.
Ἠλίβατον, τὸ ὑψηλόν. Ἠλυγὴ, ἡ σκοτία.
Τὸ καθεκάστην ἀριθμεῖν ἡμερόλεκτον κάλει.

(1) A, ἐκχύμωνα. Idem mendum in eodem Psello t. 1, p. 240. Infra post v. 472 codices hunc versum iterum exhibent. Ad rem vide t. 1, p. 233.

(2) Psellus t. 1, p. 241 : ὀκθύματα, τὰ ἐξανθήματα. Rescr. ἐκφύματα. Est et hic versus infra 475[us].

(3) B, ζευγήτου. C, ζευγίου.

(4) A, νακουπιλταί. B, ναυκυπιλταί. Cangius Gloss. in Νακοτίλτης non valde diligenter scripsit : Κ. οἱ τοῦ πρ. δὲ νακοτίλται κ.

(5) Conf. t. 1, p. 241, 1, 2. Ordo literarum neglectus fuit, et ita passim.

(6) Corrigendum ἡμίοπος. — Ad ἦτρον conf. v. 365, 464.

(7) B, ἠρδάνωμενος.

(8) C, καὶ κρύφαλος καὶ μέρη. Habuit in suo codice καὶ κρύφαλος μέρη, et correxit, hoc loco usus Piersonus ad Mœr. p. 179. Conf. v. 321.

(9) Versum Suidas, laudato Pselli nomine, recitavit in Ἡγήτορες.

(10) BC, ἠλαίματος.

(11) B, τῶν.

Τὸ δὲ ἡμιδιπλοΐδιον (1), ἔσθημα γυναικεῖον.
Τὸ δίκροσσον ἐξύφασμα ἡμιτύβιον λέγε (2).
Ἡμιδαής, ἡμίφλεκτος. Ἡνία δὲ, τὰ λῶρα.
Ἦνις, ὁ ἐνιαύσιος. Ἀνδρεία (3), ἠνορέα.
Ἤπυτον (4), ὄρος Θρακικόν. Ἠπύτης, ὁ κεκράκτης.
Ἦτρον, τὸ ὑπομφάλιον (5). Ἤτριον, ἔνδυμά τι.
Ἡ μίνθη, τὸ ἡδύοσμον. Ἄρινον (6) δὲ, τὸ νάπυ.
Θῶμιξ, σπάρτος καννάβινος. Θηβάνις (7), ἄνεμός τις.
Θαμάλωπες, οἱ ἄνθρακες. Θίβη, κιβώτιόν τι (8).
Θριὰ, τὰ φύλλα τῆς συκῆς. Ἱμάντωσις, ἡ δέσις.
Θαιροὺς δὲ κατονόμαζε τῶν θυρῶν τοὺς στρεφέας.
Θαμάλωπες, ἡμίφλεκτοι. Θεόφιν, θεοῖς, ἴσος.
Τὸ ὑπὸ σκώληκος βρωθὲν θριπηδέστατον λέγε.
Θωμοὶ (9) σπερμάτων οἱ σωροί. Θωμίζω, τὸ κεντρίζω.
Ἴακχος (10), ὁ Διόνυσος. Ἰάλεμος, ὁ θρῆνος.
Ἴθματα (11), τὰ βαδίσματα. Ἶθρις, ὁ ἐκτομίας.
Ἰλλήμενος (12), δεσμούμενος. Ἰλλίζειν, διανεύειν.
Ἰμαῖος, ἐπιμύλιος ᾠδή πως καλουμένη (13).
Ἴξαλος ὁ ὁρμητικός. Ἶντις, υἱὸς ὁ νέος (14).
Ἵππος, ἡ τῶν μυῶν παγίς. Ἴσμαρος (15), Θράκης πόλις.
Ἰωκὴ μὲν ἡ δίωξις, ἰωχμὸς δὲ, ὁ κλόνος.
Καρβὰν ἐστὶν ὁ βάρβαρος. Ἡ μάκτρα δὲ, καρδόπη (16).

(1) B, ἡμιδιπλίδιον. C, ἡμιλιπλίδιον.

(2) C, ἡμιτύμβλιον. Cf. t. 1, p. m. 240.

(3) AB, ἀνδρεῖον.

(4) C, ἤπιτον. Mox B, ἠπύπς.

(5) C, ὑποφάλιον. Cf. v. 349.

(6) AB, ἄρνιον. Psellus t. 1, p. 240, ἄρρινον, τὸ νάπυ. Ibidem et μίνθη illustratur.

(7) C, θήβανις.

(8) B, κυβώπόν τι.

(9) C, θωμήν.

(10) Codices, ἴαγχος.

(11) C, ἴσθμα τοὺς πὰ β.

(12) Forsan ἰλλόμενος.

(13) C, ᾠδ' ὅπως κ. AB, ᾠδί πως. Erat ᾠδή restituendum.

(14) Puto eum scripsisse ἶνις.

(15) B, ἴμαρος.

(16) B, μάτρα. C, μακτρα sine accentu. B rursus pag. 136,

Κεγχρίνης, εἶδος ὄφεως. Κέραιρε δὲ, τὸ κίρνα (1).
Κοάλεμος μὲν, ὁ μωρός· κόβαλος δ', ὁ λῃστεύων.
Κεραία δὲ, τὸ πλάγιον πρὸς τὸ ἱστίον ξύλον.
Ἴκταρ ἐστὶν τὸ σύντομον. Ἵππερος, ἵππων ἔρως (2).
Κάμασον, τὸ πικούτζουλον. Κέμφος (3), εἶδος ὀρνέου.
Κηλὰς ἀλώπηξ πέφυκε, καὶ κυφὼν ἡ κυνάγχη.
Κίμβιξ, ὁ φιλοχρήματος. Κνησμὸς, ὁ τραχὺς τόπος.
Καλχαίνειν, τὸ ταράσσεσθαι. Κωμαίνειν, τὸ νυστάζειν.
Κυρίβια, ἐρείσματα (4) τὰ ἀπὸ τῶν κυάμων.
Κενοῦχος, τὸ βαλάντιον. Κύρβεις (5), ἄξονες νόμων.
Κορκορυγὴ, ὁ θόρυβος. Ὁ δόλιος δὲ, κέρκωψ (6).
Κλάρια δὲ, τὰ ψέλλια. Κιχλισμὸς, μικρὸς γέλως (7).
Κρηπίζειν μὲν, τὸ ψεύδεσθαι· κόβαλος δ', ὁ πανοῦργος (8).
Κορδακισμὸς, ἡ ὄρχησις. Κωμάζει, κῶμον (9) ᾄδει.
Κνώδαλα τὰ θαλάσσια ὀνομάζονται ζῶα.
Κολλούριον, ἄρτος μικρός (10). Κομψὸς δὲ, ὁ πανοῦργος.
Κυρηβάσει, μαχήσεται. Κύρητα, ἡ Δημήτηρ.

μακτρά. Scholiastes Nub. 672: *μάκτρα δὲ ἡ μικρὰ θυεία, ἡ δὲ κάρδοπος, μεγάλη.*

(1) C, *κεραίρε δὲ τὸ κύρνα.*

(2) A, *ἵππερως*. C, *ἵππηρ ὡς ἵ. ἔρος.*

(3) C, *κένφος*. Versum citavit Cangius Gloss. in *Κάμασος*.

(4) C, *ἱερίσματα.*

(5) B, *κύρβης.*

(6) C, *κέκροψ.*

(7) Est versus in Cangii Glossario sub *Κλάρια*, cum mala scriptura, *κικλισμός.*

(8) B, *κριπίζειν*. C, *κόλαβος*. Cf. v. 383.

(9) C, *κῶλλον*. Choricius in Procop. § 15: *καθάπερ τὸν Πολέμωνα λόγος, ἐπειδὴ τὸν Ξενοκράτην προσέβλεψε, τὴν πρότερον ἀποβαλεῖν ἀταξίαν, ὀψοφαγίαν τε καὶ αὐλοὺς καὶ τὸ κωμάζειν αἰσχρῶς*. Codex 3087: *αὐλοὺς καὶ μέθην καὶ τὸ κωμ.* Habet et *Ξενοκράτη*. Illud autem est optima lectio, quum sæpissime jungantur *κῶμος* et *μέθη*: vide not. ad Herod. Epim. p. 71.

(10) Adduxit versum Cangius Gloss. in *Κολλυρίς*. Ibi etiam adduxit verba Pselli a me edita t. I, p. 237, *κολλούριον καὶ ἀνακόλλημα, ὀφθαλμικὰ φάρμακα*, scripto *ὀφθαλμικὸν φάρμακον*, quod non exhibet codex.

Κογχύλια, τὰ ὄστρεα. Ὦχρος, εἶδος ὀστρείου·
Ὡσαύτως δὲ καὶ βέλεκος, ἐοικὼς τοῖς λαθύροις.
Καλλύντρω, τὸ φιλοκαλῶ. Ὁ πάσσαλος δὲ, κάμαξ.
Ἀτέραμνα, ἀνέψητα, οἷα τὰ κερασβόλα (1).
Λάγανον (2), τὸ καπύριον. Λοργὸν, συγκεκαυμένον.
Λυκάβας, ὁ ἐνιαυτός. Ἡ δ' ἄμαξα (3), ἀπήνη.
Λευρὸν, τὸ λεῖον καὶ πλατύ. Λήδιον (4), ἔσθημά τι.
Λειρόφθαλμος, εἰ δίφθογγον, τὸν προσηνῆ σημαίνει (5)·
Εἰ δὲ ἰῶτα γράφουσι, τὸν ἀναίσχυντον κάλει.
Λέπεδνα, ἱμαντόδετα (6). Τὰ χέρνιβα δὲ, λέβης.
Μαγὰς, σανὶς τετράγωνος. Μαιμάσσειν δὲ (7), τὸ σφύζειν.
Μύρτα, μυῤῥίνης ὁ καρπὸς. Ὁ δὲ ποιμὴν, μηλάτης.
Μήρυμα, νῆμα, κάταγμα. Φωλεὸς, μυωξία.
Μονόζωνος, ὁ μάχιμος. Μαμωνᾶς δὲ, ὁ πλοῦτος.
Μαζονομεῖον, ἄγγος τι (8) ἐν ᾧ φυρᾶται μάζα.
Μαργίτης, ὁ ἀνόητος (9). Μακοᾶν, τὸ μωραίνειν (10).

(1) B, ἀνέψιτα. Quid sint τὰ κερασβόλα abunde docet nota Ruhnkenii ad Timæi Κερασβόλον.

(2) B, λάγνον: quod et invenerat Cangius et correxit, hunc versum afferens in Gloss. sub Καπύριον.

(3) B, ἁμάξα. Pro λοργὸν συγκεκαυμένον, legi velim λορδὸν, συγκεκαμμένον. Suidas: λορδὸς..... συγκεκαμμένος τὸ σῶμα.

(4) A, λήδεον.

(5) B, λιρόφθ...προσυνῆ. C, λιρ. εἶ δίφθογγος. Mox C, γράφω σοι.

(6) C, λέπεδρα. ABC, ἱμαντώδετα. Puto eum scripsisse λέπαδνα. Mox C, λέβεις.

(7) B, μεμάσπν, duplici mendo. Abest integer is versus a cod. C.

(8) AB, π. Alciphron III, 49: ἢν μή π δεξιὸν ἡ τύχη βουλεύσηται. Codex 2720, ἢν μή π, recte omnino; ac puto π esse mendum typographicum Wagnerianæ, qua utor una eaque mendosissima. Aliud notabo notabilius. Mox Alciphron: οὐκ εἰς μακρὰν δὲ ὁ περίβλεπτος οὗτος καὶ ἀοίδιμος γάμος Χαρίπου καὶ Λεωκράτους. Idem codex non incommode ἔσται insertum habet ante γάμος: habet et εἰς μακράν.

(9) Conf. t. II, p. 256; et quæ sunt collecta in Classico Diario t. XII, p. 164.

(10) Conf. not. ad Planud. Me-

Τὸ μεταξὺ δὲ τῶν μαζῶν μεταμάζιον κάλει.
Νάκος, δέρμα τὸ αἴγειον (1). Νασμὸς, ὁ μέγας ὄμβρος.
Ξυρὸς ἐστὶν ὁ κίνδυνος (2). Ἐρεικτὰ (3), τὰ σχιστὰ δέ.
Ξυστὶς, τὸ περιβόλαιον. Ὁ λῃστὴς δ', ὁδοιδόκος (4).
Οἰσυπηρὸς, ὁ ῥυπαρὸς· οἰσύπη γὰρ, ὁ ῥύπος (5).
Οἴδακες, τὰ μὴ πέπειρα ἀκρόδρυα (6) τῶν δένδρων.
Γύναικα δὲ τὴν φίλοινον οἰνοκάγχλαιναν (7) λέγε.
Οἶνος δὲ Βίβλινος ἐστὶν ὁ βλύζων (8) ἐκ τῆς Θράκης.
Πλούμματον (9), τὸ μολίβδιον. Τὸ σήπομαι, πλαδδῶ.

tam. p. 371; Class. Diar. ib. pag. 166.—Plerumque per duplex κ scribunt μακκοᾷν: sed librarii literas pro libitu repetunt, aut non. Nescio an hinc fuerit juvandus Pindarus Olymp. VI, 106, ubi μεταλλασέν τέ νιν viros doctos impedit. Propono μετάλλασεν, pro μετήλλασεν, ab μεταλλάσσω, eritque sensus «respondebat», μετημείβετο, μετημείψατο, synonymus præcedentis verbi ἀντεφθέγξατο.

(1) Conf. Class. Diar. t. XIV, pag. 360, et Notit. Mss. tom. IX, part. II, p. 238.

(2) B, ἐστί. De proverbio, quod respicitur, ἐπὶ ξυροῦ ἀκμῆς, vide t. II, p. 199, 262. Niceph. Callistus Laud. Mariæ Magd. p. 42: κἂν ἐπὶ ξυροῦ ἀκμῆς τὰ τῆς σκιᾶς ἀνειστήκει· loquitur de lege judaica, quæ quasi umbra erat christianæ legis, et tunc in eo fere erat periculi ut deleretur. Synesius De regno p. 21: νῦν γὰρ πάντες ἐπὶ ξυροῦ ἵστανται ἀκμῆς, καὶ δεῖ Θεοῦ καὶ βασιλέως ἐπὶ τὰ πράγματα, τὴν ὠδινομένην χρόνον ἤδη συχνὸν τῆς Ῥωμαίων ἀρχῆς τὴν εἱμαρμένην περιαναιρήσοντες. Non male delebitur alterum τὴν, a duobus codicibus absens. Georgius Acr. Hist. c. 65.

(3) C, ἐρυκτά. Photius Bibl. § 261, p. 1460, 3: ὑποσχόμενος ἐν πολλοῖς αὐτὸν λυσιτελέσι γενέσθαι τῇ πόλει. Codex 2967, λυσιτελῆ φανῦσθε: bene, modo permutationibus solitis juvetur lectio, reponaturque λυσιτελῆ φανεῖσθαι.

(4) B, ὁδοινόκος.

(5) Conf. t. II, p. 403. Versum habet Kœnius ad Greg. Cor. D. Ion. § 150.

(6) B, ἀκρόδρυ, et altero loco, scilicet, p. 136, ἀκρόδια.

(7) Vocem unde habuerit nescio. Vicinum est, idque rarum, nomen οἰνοκάχλη.

(8) B, βίζων. Vinum Biblinum, scilicet ab urbe Thraciæ Biblina vel Biblia: vide tom. II, p. 241, n. 5.

(9) B, πλούματον. C, πλούμμετον. Cangius versum adfert Gloss. in Πλουμάτον, et πλουμάτον contra libros scribit. Est et πλουμμάτον in Zonaræ lexico, accentu latino.

Τὰ τῶν ποδῶν εἰλήματα ὀνόμαζε ποδεῖα (1).
Πρυτανεῖον, τὸ νόμισμα, ὁ τόπος (2) δὲ πολλάκις.
Ποταίνιον, τὸ πρόσφατον. Πυρὴν, ὀστοῦν ἐλαίας (3).
Προύνικος, ὁ εὐκίνητος. Πέριλος, τὸ αἰδοῖον (4).
Ὁ κύριος τοῦ ἅρματος καλεῖται παραιβάτης (5).
Περίστιαινος, ὁ περιττῶς αἰνούμενος εἰς κάλλος.
Ῥαικὸς (6), ὁ Ἕλλην λέγεται. Ῥῶπος, ποικίλος φόρτος.
Ῥάδαμνος, κλάδος καὶ βλαστός. Σκυτόμος, λωροτόμος (7).
Διὸς βαλάνους λέγουσι τὰ κάρυα οἱ πλείους (8)·
Καὶ πιτύϊνα (9) πέφυκεν ὁ καρπὸς τῆς πιτύας.
Κόκαλον δὲ, ὁ στρόβιλος (10). Καὶ τὸ κρόμυον, γῆθυ.
Αἱ τῶν σκορόδων κεφαλαὶ, μώλυζαι, γέλγιθές τε (11).

(1) C, εἰλήμμετα ὀ. ποδία. B, ποδία. Versum protulit Cangius Gloss. in Ποδεῖα.

(2) C, τόπος, sine articulo. B, ὄπος.

(3) Prius hemistichium adtulit Kœnius ad Gregor. Cor. D. Ion. § 170. De altero vide supra t. II, p. 404.

(4) C, αἰδεῖον. Nuper scriptum fuit e Suida πείλος: sed in Suida, saltem Kusteriano quo utor, est πέιλος.

(5) C, παραβάτης.

(6) In B e correctione fuit additum ʃ ante ῥαικός. Sed nihil mutandum. Hesychius: Ῥαῖκος, Ἕλλην. Vide notas interpretum, inter quos Albertius Pselli loco est usus.

(7) Piersonus, ad Mœrid. p. 354, versu Pselli allegato, errorem in σκυτόμος, pro σκυτοτόμος, notat, et ait homini esse relinquendum, quum non aliter scripsisse e versus politici dimensione liqueat. Cangius Gloss. in Λωροτόμος, versum recitans, scribit σκυτοτόμος, λοροτόμος, additque sic in cod. regio esse. Equidem σκυτοτόμος in nullo reperi, sed in B, idque omnino malum, λοροτόμος.

(8) C, πλοίους.

(9) C, πυτύϊνα, superscripto πι. Bene πιτύϊνα, scilicet κάρυα. B, πέφυκε.

(10) Codices, στρόβηλος: quod non mutavit, hoc versu usus, Casaubonus ad Athen. II, 78, pag. 461. B, altero loco, p. 136: στρόβηλος, τὸ δὲ κρόμυον γῆθι. Emendatior est scriptura codicis 2599, p. 194, 2. Conf. et t. I, pag. 241.

(11) B, μώλιζαι. C, μόλιζαι σέλγηθές. AB, γέγλιθές. Codex quo

Ὁ πέπων δέ γε, σικυός (1). Ὁ δὲ βρυῖος, πῶμά τι.
Ἡ φύσῖη εἶδος πέφυκε μάζης ὑδατουμένης (2).
Ὑπότεῤμμα βαρβαρικὸν κάλει τὴν ἀβυρτάκην (3),
Καὶ σίραιον (4), τὸ ἕψημα· πικραίρον, τὴν ῥίζαν.
Τὸ δὲ μαλάξαι λέγουσι πολλάκις ἀνοργάσαι (5).
Σκύταν καλεῖ τὴν κεφαλὴν πολλάκις Ἱπποκράτης (6).
Στροφέα δέ γε σπόνδυλον φησί που (7) τὸν ὀδόντα,
Καὶ ἀετοὺς ὠνόμασε (8) τὰς φλέβας τῶν κροτάφων·
Τὰς δ' ἀρτηρίας εἴρηκεν αὐτὸς οὗτος ἀόρτας (9),
Καὶ κέβλην μὲν τὴν κεφαλὴν (10), κύβιῖον τὸν ἀγκῶνα,
Τὸν θώρακα δὲ κίθαρον, κραντῆρας τοὺς ὀδόντας (11),
Τὸ κῶλον δὲ τὸ ἔντερον ἐσχάτην που γασῖέρα (12).
Ἔσῖι δ' ὅπου τὸν τράχηλον σῖόμαχον τῆς ὑσῖέρας,
Τοῦ δὲ ἐνῖέρου τὸ λεπῖὸν κατονομάζει δέρῖρον (13).

Kœnius est usus ad Gregor. Cor. D. Dor. § 56, habuit μολίζαι (correxit Kœnius μώλυζαι) γέλγιθές π. Cf. Psellus Lexico supra t. I, p. 241.

(1) B, σικελός. Mox AB, πόμά π. C, πομά π. Malui πῶμά π. Cf. t. I, p. 239, 3.

(2) A, ὑδατουμένη. Et ita in B esse videtur.

(3) AB, τὸν ἀβυρτίκην. Cf. t. II, p. 484, Add. ad p. 317.

(4) A, σύραιον. Conf. tom. I, p. 239, 4; t. II, p. 405.

(5) C, λέγουσιν π. ἀνοργάσον.

(6) C, σκύτα...ὑποκράτης. B, altero loco, scilicet p. 136, ἱπῖοκράτης. Vide t. I, p. 239, et Foesii Œconomiam.

(7) Hippocrates scilicet. Vide Foesium in Σπόνδυλος.

(8) Hippocrates. B, altero loco, βλέφας. Cod. 2599, κροτάπων. Vide t. I, p. 239.

(9) Codd. ἀόρτρας. Et sic AB loco altero. Codex 2599, ἀόρτας. Vide t. I, p. 239.

(10) Vid. t. I, p. 239. Versum habet Cangius Gloss. in Κύβιτος. Cf. t. I, p. 239.

(11) Ad utrumque nomen cf. t. I, p. 239.

(12) Conf. Pselli Lexicon supra t. I, p. 239.

(13) A, κατονόμαζε. B, ἐπωνομάζει. Est δέρτρον apud Hippocratem, unde rejeci imperativum. Et κατονομάζει habet Suidas Pselli versum recitans in Δέρτρον. De δέρτρῳ nonnihil fuit dictum ad Manassem, post Nicetam Eugenianum, p. 409. Adde Schellenbergium ad Antimachi fragmenta pag. 107.

Τίτιδας (1) φλέβας λέγουσι τὰς περὶ τὴν καρδίαν·
Πολυπτερνίδας δέ φασι τὰς οὔσας ἐν ταῖς πτέρναις (2).
Τὸ δὲ ἀνδρεῖον μόριον πιελνά που καλοῦσι (3).
Κορώνην δὲ τὸ κόρωνον λέγουσι τοῦ ἀγκῶνος.
Ἦτρον τὸν ὑπομφάλιον ὀνομάζουσι τόπον (4)·
Ἐπίσιον τὸ αἰδοῖον· θαλάμας δὲ, τὰ κοῖλα (5).
Στόρθη (6), ἡ ἐπιδορατίς. Σχάδονες, τὰ κηρία.
Σκυλάλη, τὸ φραγγέλλιον. Στίβη, ψῦχος καὶ πάχνη (7).
Στραγγαλίδες, τὰ δυσληπτα (8). Τορεύειν δὲ, τὸ γλύφειν.
Τηλαύγημα, λέπρας ἀρχή. Τευτάζειν, τὸ πλανᾶσθαι.
Τυπὰς ἡ σφύρα πέφυκε, τυμβὰς, ἡ φαρμακίς τε.
Τετύφωται, τὸ μέμηνε (9). Θριγκὸς δὲ, τὸ τειχίον.
Ὑπερμαζᾶν δὲ, τὸ πλουτεῖν. Ὑδατίδες (10), σιαγόνες.
Ὕπαφρον μὲν, τὸ κρύφιον. Πέζας, τὰ (11) πρὸς τοὺς πόδας.
Τὰς ἀρτηρίας, ἴειγγας (12). Τὰ δὲ ὀστᾶ ῥοιώδη.
Ὑπόξυρον, τὸ ἄποξυ. Σφάκελος (13), τὸ φλεγμαίνειν,
Καὶ τὴν φθορὰν καὶ νέκρωσιν, καὶ κάκωσιν παντοίαν (14).

(1) BC, ἴπδας.
(2) B, πτέρνες.
(3) C, πιελνά που καλοῦσιν.
(4) Conf. supra v. 349; et t. I, pag. 239.
(5) Fuit jam lectus hic versus post v. 339. Vide ibi notam. — C, ἐπίσιον μὲν τ. B, κοῖλυ.
(6) C, στόρθηξ: forsan, στόρθυγξ. A, στόρθηρ. B, ἐπιδαρατίς.
(7) Habet Cangius versum Gloss. in Φραγγέλλιον, cum mala scriptura στίβη.
(8) C, σραγκαλίδες. Forsan δύσλυτα. Suidas: στραγγαλίδες, τὰ δύσλυτα ἅμματα. Sed et bene δύσληπτα, translato nomine ad ænigmata et verba obscuriora.
(9) C, μέμονε.
(10) B, ὑδάπιδες.
(11) C, πίς.
(12) C, ἴρηγγας. Mox forsan ῥομβώδη: vid. t. I, p. 240, 4.
(13) C, ἀποξυσφάκελος: cf. t. I, p. 240, 5.
(14) Conf. t. I, p. 236, 8.

Φωΐδας (1), τὰ φλογίσματα. Καταφορὰν δὲ, κῶμα (2),
Φάτνωμα, τὸ σανίδωμα. Φόδερα (3), αἱ συνθῆκαι.
Φλογμὸς ἐστὶν ἡ φλεγμονή (4). Χελύσσειν δὲ, τὸ
βήσσειν (5).
Τινὲς δὲ καὶ τὴν πύρωσιν ὀνομάζουσι φλέγμα (6).
Χρόνια δὲ ἀλγήματα τὰ κέδματα τυγχάνει (7).
Σπάδωνα δὲ, τὰ σπάσματα (8). Πάθος δέ τι, χυόνην.
Ἐκχύμωμα, παρέκχυσιν. Τὴν ἐφελκίδα, μύκην (9).
Ὑπέρινος, κατάξηρος (10). Βλοστρισμὸν (11), ἀπορίαν.
Ἔκφυμα, τὸ ἐξάνθημα. Τὸ βλάπτεσθαι, γυιοῦσθαι (12).
Ἄλλα τε πλεῖστα πέφυκεν ὀνόματα σκοταῖα (13)·
Ἀλλ' ἀποχρῶντα πέφυκε καὶ ταῦτα, στεφηφόρε (14).
Χελιδωνὶς, τὸ πάτημα τὸ κάτω τῆς εἰσόδου (15).

(1) Conf. notula mea ad Plutum v. 535.

(2) Conf. t. I, p. m. 240.

(3) Latinum est *fœdera*. Hunc versum habet Cangius Glossar. in Φόδερα. Ait et esse φύδερα in alio codice; quod non inveni, mutandumque fuerit in φοίδερα. In Glossis juris Labbæanis est φοιδεράτοι : latine, *fœderati*.

(4) B, ἐστ. — Cf. t. I, p. 240.

(5) Codd., χελύσειν δὲ τὸ βήσειν. Et ita codex Bernensis, unde versus abhinc postremos recitavit Sinnerus Catal. Bern. tom. I, pag. 587; nec aliter codex quo usus est Piersonus ad Mœr. pag. 102. Correxit Piersonus eo quo scripsi modo. Ipse Psellus correctius a librario habitus tom. I, p. 240 : χελύσσειν, βήσσειν.

(6) A, φέγμα.

(7) B, χρόνοι. Cf. t. I, p. 241.

(8) Bern. σπάδωνη. Forsan σπαδόνες. Vide t. I, pag. 240.

(9) Hic versus jam exstat post v. 340. Videtur abesse a codice Bernensi, ut et sequentes duo.

(10) Vide t. I, p. 240.

(11) Psellus t. I, p. 241 : ὀβλιτρησμὸς, ἡ ἀπορία. Ex utroque loco veram scripturam eliciat alius.

(12) Exstat supra post v. 341.

(13) Est σκωπαῖα in codd. et libro Bernensi.

(14) Hic versus ultimus est in codice Mediceo, teste Bandinio Catal. t. II, p. 373, qui invenit, vel, quod solet facere, male scripsit, ἀποχρῶνται. Qui sequuntur versus in Parisinis et in Bernensi, suo loco sunt moti.

(15) C, χελιδωὶς, ut et Bern. Cangius versum habet Gloss. in Χελιδωνὶς, cum ea scriptura quam exhibui. Est aliorum χελωνίς.

Ψαίρειν, τὸ ψαύειν καὶ κινεῖν (1). Ψεφαῖον, τὸ σκοτῶδες.
Ὁ δὲ ἀγκὼν, ὠλέκρανον (2). Ὡραῖος, ὁ ἀκμαῖος.
Ἄλφιτα δὲ προκώνια, τὰ ἐκ κριθῶν ἀφρύκτων (3).
Ἄλφιτα δὲ προταίνια, τὰ πρόσφατα τὴν φύσιν (4).
Καταῖτυξ, περικεφαλαία δὲ μὴ ἔχουσα τὸν λόφον (5).

(1) Bern. ψιύειν, si Catalogo fidendum. AB, ψ. τὸ κιν. C et Bern. καί.

(2) C, ἀγκών. Bernensis liber, ὁ λέκρανος.

(3) Non est hic versus in A nec B. Est in Bernensi. Exstat in A, p. 213; in B, p. 136. C et Bern., προκόνια. Bern. ἀφρίκτων. Cf. t. I, p. 238. Est ἀφρύκτων in cod. 2599, p. 194, 2, qui hunc versum cum pauculis aliis tenet.

(4) Abest a libris et a Bernensi. Addidi eum ex cod. 2599, l. c., et ex codd. A, p. 213, B, p. 136. Primus male, προπαίνια: vide v. 426.

(5) Accedit et hic versus ex iisdem fontibus quibus præcedens. B, κατίτυξ, περικεφαλέα δέ. Est καταῖτυξ in Il. K, 258. Prius hemistichium longius est, nec facile corrigetur, ni dematur δὲ, scripto περικεφαλαιά.

ΠΟΛΥΒΙΟΥ

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

ΚΑΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.

Τῶν (1) περὶ τὰς λέξεις ἁμαρτημάτων ἃ μὲν περὶ μίαν λέξιν γίνεται, ὡς ὁ βαρβαρισμός· ἃ δὲ περὶ λόγον, ὡς ὁ σολοικισμός· ἃ δὲ περὶ ἐναλλαγὴν λέξεων ἐν συντάξει, ὡς ἡ ἀκυρολογία (2).

Βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν μιᾷ λέξει παρὰ

(1) E codice 2552. Quo fuit tempore scriptus nos docuit librarius : σὺν Θεῷ ἐγὼ Ἱλαρίων μοναχὸς ἔγραψα τοῦτο τὸ λεξικὸν, καὶ ἐπλέσθη τοῦ ὀκτωβρίω (voluit ὀκτωβρίου scribere) ἕκτη ἡμέρα ϛχυςς (anno scilicet 1496). Δόξα τῷ Θεῷ. Intelligendum τοῦτο τὸ λεξικὸν de Harpocrationis compendio. Sed plus fecit quam significavit bonus Hilarion. Descripsit enim et alios libellos complures qui Harpocrationem præcedunt, in quibus est Polybianus. Auctores Catalogi, qui in codicis ætate non fuerunt satis accurati, nec fuerunt de Polybio prudentes satis : « Polybius » aiunt « vel » potius Herodianus. » Ignorabilis quidem valde est Polybius ille, sed non ideo cum Herodiano confundendus. Sunt enim et alii codices (vide Bibl. Græc. t. VI, p. 349) in quibus illud de solœcismo opusculum et alia nonnulla Polybii nomen præferunt, in his Matritenses duo, apud Yriartem pp. 148, 373, in quibus Πολυβίου Σαρδιανοῦ. Inde majus etiam fit inter Polybium et Herodianum discrimen, quum Herodianus fuerit Alexandrinus. Yriartes quidem Polybiani libri particulam de solœcismo Matritensi Catalogo pag. 148 inseruit, sed corruptam adeo et maculatam, ut nemo velit aut queat legere. Idcirco eam secure pro inedita habui, et infra suo loco reddidi. Cangius in indice Glossarii libelli lemma longius fecit, prima ipsius operis verba lemmati contribuens, hocce modo : Πολ. π. β. κ. σ. τῶν περὶ τὰς λέξεις ἁμαρτημάτων.

(2) Polybii ipsius exstat observatio de acyrologia in Yriartis Catalogo pag. 148, nonnullis scripturæ vitiis fœdata, quæ obiter emendabo : ἀνάμφατος pro ἀνέμφατος, πτάχθε pro πτάχθαι, ἤ τις pro εἴ τις.

τὴν παρ' Ἕλλησι (1) συνήθειαν. Γίνεται δὲ κατὰ τρόπους τέσσαρας· ἔνδειαν, πλεονασμὸν, μετάθεσιν, ἐναλλαγὴν ἥτις καὶ ἀντίθεσις καλεῖται. Κατὰ μὲν οὖν ἔνδειαν, εἴ τις λέγοι Δημοσθένου χωρὶς τοῦ σ, καὶ γέγραφαν καὶ πεποίηκαν, ἀντὶ τοῦ γεγράφασι καὶ πεποιήκασι. Περὶ δὲ πλεονασμὸν, εἴ τις λέγοι Αἰσχύνους σὺν τῷ σ, καὶ ἐλέγοσαν καὶ ἐφέροσαν, ἀντὶ τοῦ ἔλεγον καὶ ἔφερον, καὶ κοιμᾶσαι καὶ στεφανοῦσαι, τὸ δεύτερον παθητικὸν, δέον κοιμᾷ καὶ στεφανοῖ, ἢ εἴ τις διαιροίη μὴ καλῶς, ὡς τὸ κοῖλον, κοΐλον. Περὶ δὲ μετάθεσιν, εἴ τις φαίη κότραφον τὸν κρόταφον, καὶ δρίφον τὸν δίφρον (2). Περὶ δ' ἐναλλαγὴν γίνεται βαρβαρισμὸς, καὶ (3) περὶ τὰς προσῳδίας, καὶ ὅταν ἕτερα ἀνθ' ἑτέρων λαμβάνηται (4) γράμματα, οἷον εἴ τις λέγοι φιέλην φιάλην, καὶ ὕελον τὴν ὕαλον, Κλεινία τε καὶ Λυσία τὴν γενικὴν, δέον Κλεινίου καὶ (5) Λυσίου,

(1) Cod. παρ' ἐλθοῦσα. Auctor de barbarismo ap. Valck. p. 194: βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. Alius pag. 197: σολοικία ἐστὶν ἀκατάλληλος πλοκὴ τῶν τοῦ λόγου μερῶν παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. Conf. et infra p. 238. Hinc Ἕλλησι restitui.

(2) Hoc metatheseos exemplo grammatici uti solent. Sic vulgo tamen loquuti sunt Dorienses. Hesychius: δρίφον, τὸν δίφρον· Δωριεῖς. Sed grammatici linguam vulgarem vel atticismum sequuntur. Conf. p. 238.

(3) Inserui καί. Debuit auctor ipse scribere, καὶ περὶ τ. πρ. καὶ περὶ τοὺς χρόνους.

(4) Codex, λαμβάνεται. Sed infra recte ὅταν subjunctivo jungetur, et est hic loci indicativus librarii sphalma. Anonymus vel Proclus de epistolico charactere sic epistolam petitoriam conclusit: δίκαιον γάρ ἐστι τοὺς γνησίους φίλους τυγχάνειν τῶν αἰτήσεων, ὅταν αὐταὶ μὴ πονηραὶ πεφύκασι μάλιστα. Prætulerim lectionem codicis 1630: ὅταν... τυγχάνωσι μάλ.

(5) Codex: φιέ φιάλην καὶ ὕελον τὴν ὕα ἀπ καὶ λυσία τὴν γενικὴν δέον νείου καί. Ceterum φιέλη et ὕελος barbarismi sunt, sed respectu tantum dialecti Atticæ; et, Phrynicho judice, homine severissimo, ὕελος est ἀδόκιμον, quod a barbarismo longissime abest.

καὶ πετάμενος (1), δέον πετόμενος, καὶ εἰλάμην (2), ἀλλὰ οὐχ εἱλόμην. Περὶ δὲ τὰς προσῳδίας (3), εἴ τις λέγοι ὀξυτόνως μὲν φιλὸς, βαρέως δὲ σόφος, καὶ περισπωμένως σανιδῶν, βαρέως δὲ Θράκων. Περὶ δὲ τοὺς χρόνους, εἴ τις τὸν μὴ (4) ἐργαζόμενον συνεσταλμένως ἀργὸν λέγοι, τὴν δὲ πόλιν ἐκτεταμένως Ἄργος. Γίνεται δὲ καὶ ἐν γραφῇ μόνῃ βαρβαρισμὸς, ὅταν τις μὴ κατὰ τὸν τῆς ὀρθογραφίας λόγον γράφῃ, διὰ μὲν τῆς ει διφθόγγου τὴν νείκην, διὰ δὲ μόνου τοῦ ι τὸ νίκος, καὶ τὸ ἐνκέφαλος διὰ τοῦ ν, ἀλλ' οὐ διὰ τοῦ Γ. Βαρβαρίζουσι δὲ καὶ οἱ ὅλως ἐκφύλοις (5) ταῖς λέξεσιν ἢ καθόλου ὑπηλλαγμέναις χρώμενοι, καὶ λέγοντες στίλλον μὲν τὸ γραφεῖον, καὶ κράβατον (6) τὸν σκίμποδα, ἔνι (7) δὲ τὸ ἐστίν.

ΠΕΡΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.

Σολοικισμός ἐστιν ἡμαρτημένη λέξεων σύνθεσις παρὰ (8) τὴν παρ' ἑκάστοις συνήθειαν. Ὥσπερεὶ δὲ ὁ

(1) Et πετάμενος non fuit quidem atticum, sed hellenicum. Puto Mœridem non pro barbaris habuisse voces quibus suum ἑλληνικῶς adfixit.

(2) Nec caret εἰλάμην auctoritatibus quibus vindicetur. Nonnulla notavi ad Theognidem p. 255.

(3) Codex: περὶ δὲ τοὺς τόνους τὰς προσῳδίας περὶ δὲ τοὺς τόνους. Forsan legendum, περὶ δὲ τοὺς τόνους ἢ τὰς προσῳδίας.

(4) Codex, τὸν μὲν... ἀργός.

(5) Codex, ἐκφύλως. Cangius, eo loco usus, Gloss. in Κράββατος, non offendit ad ἐκφύλως, et ὑπαλλαγμέναις scripsit de more negligentior. Pro στίλλον malit στίλον: est latinum *stilus*.

(6) Cangius scripsit κράββατον. Scholiastes Nubium 629 nomen ἀσκάντην vertit σκίμποδα, δίφρου εἶδος, ἢ κράβατον. Ceterum non omnino displicuit id nomen veteribus scriptoribus; sed non erat atticum.

(7) Quis id exspectaret?

(8) Codex, περὶ, et sic statim bis. Yriartes, παρά: et id quidem recte inter quamplurima sphalmata.

βαρβαρισμὸς παρὰ τοὺς βαρβάρους εἴρηται, οὕτως καὶ ὁ σολοικισμὸς παρὰ τοὺς σολοίκους· καὶ γὰρ οὕτως τινὲς προσηγόρευσαν τοὺς βαρβάρους (1)· ἢ κατὰ τὸ ἔτυμον σολοικισμός ἐστι σώου λόγου αἰκισμός (2). Γίνεται δὲ κατὰ τρόπους δύο (3)· κατὰ ἔνδειαν, ὡς ἐν τῷ,

Ἔρχονται πεδίοιο (4)·

ἐνδεῖ γὰρ ἡ διὰ πρόθεσις· κατὰ πλεονασμόν·

Σειρὴν (5) χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες·

πλεονάζει γὰρ ἡ ἐξ.

Κατὰ δὲ ἐναλλαγὴν γίνεται σολοικισμὸς, ἤτοι ὅταν μέρος λόγου ἀνθ' ἑτέρου τεθῇ, οἷον, εἰ οὕτω τύχοι, ὄνομα ἀντὶ ῥήματος·

Ὃν (6) τις οϊστεύσας ἔβαλε τόξων εὖ εἰδὼς,

ἀντὶ τοῦ τοξεύειν· ἢ ὄνομα ἀντὶ ἐπιῤῥήματος·

.....νέον (7) δ' ἐσαγείρατο θυμὸν,

ἀντὶ τοῦ νεωστί· ἢ μετοχὴ ἀντὶ ῥήματος·

Αἰνῶς (8) ἀκτίνεσσιν ἐοικότες,

ἀντὶ τοῦ ἐοίκασιν· ἢ ἄρθρον ἀντὶ ἀντωνυμίας·

Τῷ γὰρ (9) ἐπὶ φρεσὶ θῆκεν·

(1) Eustath. ad Il. B, p. 368: τοὺς βαρβάρους σολοίκους ἔλεγον. Cf. Welckeriana Hipponactis editio pag. 59.

(2) Coactam etymologiam adhibuit et scholiastes quidam Dionysii Thracis p. 659. Cf. Grammaticus Valckenarii pag. 203, cum nota; et Anonymus de solœcismo infra p. 239.

(3) Codex, δύο. Forsan τρεῖς. Nam, si libellus est integer, tres indicantur solœcissandi modi: defectus, pleonasmus, enallage.

(4) Il. B, 801.

(5) Il. Θ, 19.

(6) Il. Δ, 176.

(7) Il. O, 240.

(8) Il. K, 547.

(9) Il. A, 55.

ἔδει γὰρ τούτῳ· ἢ ἄρθρον ἀντὶ ἐπιῤῥήματος·

Τῷ τοι (1) προφρονέως ἐρέω,

ἀντὶ τοῦ διό· ἢ ἐπίῤῥημα ἀντὶ προθέσεως·

.... ἀλλὰ Σκάμανδρος (2)
Οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον,

ἀντὶ τοῦ εἰς ἁλὸς κόλπον· ἢ ὅταν τὰ συμβεβηκότα τοῖς τοῦ λόγου (3) μέρεσιν εἰς ἄλληλα ἐναλλάσσηται, εἶδος, γένος, ἀριθμός· ἢ ὅταν αἱ διαφοραὶ τῶν ἐπιῤῥημάτων, ἢ αἱ προθέσεις, ἢ οἱ σύνδεσμοι ἢ αἱ τάξεις τῶν συνδέσμων, ἐναλλάσσωνται. Εἶδος ἐν μὲν ὀνόμασι·

.... δῖα γυναικῶν (4),

ἀντὶ ὑπερθετικοῦ, διωτάτη· καὶ,

.........μελάντερον (5) ἠΰτε πίσσα,

ἀντὶ ἀπολύτου, μέλαν ὡς πίσσα· ἐν δὲ ἀντωνυμίαις εἶδος, ὡς Ζηνόδοτος γράφει,

Μνῆσαι (6) πατρὸς σεῖο,

ἀντὶ τῆς σοῖο κτητικῆς (7)· ἐν δὲ ἄρθροις εἶδος·

Καὶ (8) θώρηχ', ὁ γὰρ ἦν οἱ,

ἀντὶ τοῦ ὃς γὰρ ἦν οἱ· καὶ,

Μῦθος (9) δ', ὃς μὲν νῦν ὑγιής, εἰρημένος ἔστω,

ἀντὶ τοῦ ὁ μὲν νῦν. Γένος δὲ ἐν μὲν ὀνόμασιν·

Αἴθη (10) θῆλυς ἐοῦσα,

(1) Il. E, 816. Est σοι pro τοι in codice Matritensi, et συνδέσμου pro ἐπιῤῥ. Illud hoc melius.
(2) Il. Φ, 123.
(3) Codex, λόλου.
(4) Il. B, 714.
(5) Il. Δ, 277.
(6) Il. Ω, 486.
(7) Codex, σεῖο κλητικῆς.
(8) Il. Σ, 460.
(9) Il. Θ, 524.
(10) Il. Ψ, 409.

ἀντὶ τοῦ θήλεια· καὶ,

.... ἡδὺς (1) ἀϋτμή,

ἀντὶ τοῦ ἡδεῖα· ἐν δὲ μετοχαῖς γένος·

Οὐκ (2) ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,

ἀντὶ τοῦ πληγεῖσαι, δυϊκῶς. Ἀριθμὸς δὲ ἐν μὲν ὀνόμασι·

Θεσπείαν (3) Γραῖάν τε.

ἀντὶ τοῦ Θεσπείας· καὶ,

Μειδιόων (4) βλοσυροῖσι προσώπασιν,

ἀντὶ τοῦ προσώπῳ· καὶ,

Ἀμφότερα (5), κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ·

τὸ γὰρ ἀμφότεροι ἐπὶ δύο καὶ οὐκ ἐπὶ πλειόνων τάσσεται. Ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις τοῦ λόγου μέρεσιν ἐναλλάσσονται (6) οἱ ἀριθμοί.

Περὶ δὲ σχῆμα, ὡς ἐν ἀντωνυμίαις·

Ζωγρεῖτ' (7)· αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι,

ἀντὶ τοῦ ἐμαυτὸν συνθέτου.

Πτῶσις δὲ ἐν μὲν ὀνόμασιν·

Νεστορίδα (8) δ', ὁ μὲν οὔτασεν,

ἀντὶ τοῦ Νεστοριδῶν· καὶ

Τρωσὶν (9) μὲν προμάχιζεν,

(1) Od. M, 369.

(2) Il. Θ, 455. Addidi κεραυνῷ ex Yriarte. Mox pro πληγεῖσαι, Matr. codex πληγεῖσα habet, unde fecerim πληγεῖσα. Conf. pag. 239.

(3) Il. B, 498. In Θεσπίαν accentum codicis retinui.

(4) Il. H, 212.

(5) Odyss. O, 78. — Codex, ἀγλαγίη.

(6) Codex, εἰ ἐναλλάσσοντο.

(7) Il. K, 378.

(8) Il. Π, 317. Notandum duale Νεστορίδα. Editi Νεστορίδαι, quod est et in codice Matritensi.

(9) Il. Γ, 16. Codex, τρωσί.

ἀντὶ τοῦ Τρώων· καὶ,

.... μητίετα Ζεύς (1),

ἀντὶ τοῦ μητιέτης. Ἐν δὲ μετοχαῖς πτῶσις·

Ἀστράπτων (2) ἐπιδέξια, ἐναίσιμα σήματα φαίνων,

ἀντὶ τοῦ ἀστράπτοντα καὶ φαίνοντα. Ἐν δὲ ἀντωνυμίαις πτῶσις·

....Ἡμῖν (3) δ' αὖτε κατεκλάσθη φίλον ἦτορ,

ἀντὶ τοῦ ἡμῶν. Ἐν δὲ ἄρθροις πτῶσις·

........Δοιοὺς (4) δ' ἄρ' ὑπήλυθε θάμνους
Ἐξ ὁμόθεν πεφυῶτας, ὁ μὲν φυλίης, ὁ δ' ἐλαίης,

ἀντὶ τοῦ, τὸν μὲν φυλίας, τὸν δὲ ἐλαίας.

Περὶ δὲ τὰς ἐγκλίσεις·

.... ἵνα (5) εἴδομεν ἄμφω,

ἀντὶ τοῦ εἴδωμεν· καὶ

Μὴ (6) ἴομεν Δαναοῖσι μαχησάμενοι,

ἀντὶ τοῦ μὴ ἴωμεν.

Διαθέσεις ἐν ῥήμασιν·

.... ὀφθαλμοῖσιν (7) ὁρῶμαι,

ἀντὶ τοῦ ὁρῶ. Διαθέσεις ἐν μετοχῇ·

.... πόλεις (8) εὖ ναιεταώσας,

ἀντὶ τοῦ εὖ ναιομένας· καὶ,

(1) Il. Α, 175, et multis Homericorum operum locis.

(2) Il. Β, 353. Addidi ἐν. σήμ. φαίνων, propter sequens participium φαίνοντα.

(3) Od. Ι, 256. Inserui δ', ex Matrit. Ut bene intelligeretur cur sit ἡμῖν pro ἡμῶν, addendus fuit, quem forsan addiderat Polybius, versus sequens: Δεισάντων φθόγγον...

(4) Od. Ε, 476.

(5) Il. Α, 363.

(6) Il. Μ, 216. Scr. μαχησόμενοι.

(7) Il. Ν, 99.

(8) Il. Β, 648.

.... χρέα (1) πολλὰ
Δαιόμενος,

ἀντὶ τοῦ δαίων καὶ μερίζων.

Πρόσωπα ἐν ῥήμασιν·

Ἄλλοι (2) μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται καὶ δεδμήμεθα ἕκαστος,

ἀντὶ τοῦ ἐπιπειθόμεθα καὶ δεδμήμεθα. Πρόσωπα ἐν ἀντωνυμίαις·

Δεῦτε (3) Δί' ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι,

ἀντὶ τοῦ ὑμέτερον.

Χρόνοι ἐν ῥήμασιν·

..... ἐγὼ δέ κ' ἄγω (4) Χρυσηΐδα,

ἀντὶ τοῦ ἄξω. Ἐν δὲ μετοχαῖς χρόνοι·

Τοῖσι (5) δ' ἀνιστάμενος μετέφη,

ἀντὶ τοῦ ἀναστάς.

Ἐν δὲ ἐπιρρήμασι γίνεται σολοικισμὸς, οὕτως·

.... καὶ εἴσω (6) δόρπον ἐκόσμει,

ἀντὶ τοῦ ἔνδον· καὶ,

Ἐγγύθεν (7) ἱσταμένη,

ἀντὶ τοῦ ἐγγύς. Ἐν δὲ προθέσεσιν·

Εἰς (8) Ἀγαμέμνονα δῖον,

(1) Od. P, 331. Codex, δεόμενος.

(2) Il. E, 877. Codex, δεδμήμεθα...ἀντὶ ἐπιπ.

(3) Hes. Opp. 2. Codex, σφέτερον δεῦτε δί' ἐννέπετε. Matrit. δή, melius.

(4) Il. A, 184. Oportuit Βρισηΐδα. Cf. p. 239, n. 5.

(5) Il. A, 58.

(6) Od. H, 13. Cf. Apollonius De adverb. pag. 609, inter Bekkeri Anecdota.

(7) Il. K, 508. De versu Iliadis A, 485, similis est observatio Apollonii De adverb. pag. 608, quem et vide p. 624.

(8) Il. H, 312.

ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα· καὶ,

.... ὑπὸ (1) Ἴλιον ἦλθον,

ἀντὶ τοῦ ἐπὶ Ἴλιον. Ἐν δὲ συνδέσμοις·

Αὐτὸς (2) μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
Ἀλλ' ἕταρον πέμπω,

ἀντὶ τοῦ ἕταρον δέ· καὶ,

Ἀλλὰ (3) κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν,

ἀντὶ τοῦ κρατερὸν γάρ.

Περὶ δὲ τὴν ἐναλλαγὴν τῆς συντάξεως τῶν συνδέσμων (4) γίνεται σολοικισμὸς, οὕτως ὡς παρὰ Μενάνδρῳ·

Θυγάτριον ἡ νῦν ἡμέρα δίδωσί μοι,
Ἢ δόξαν ἤτοι διαβολήν.

Ἐχρῆν γὰρ, ἤτοι δόξαν ἢ διαβολήν (5).

Ταῦτα δὲ πάντα παρὰ τοῖς μὲν ποιηταῖς σχήματα, καθ' ὑπόθεσιν δὲ ἐν χώρᾳ σολοικισμῶν παρειλήπται.

(1) Il. B, 249.

(2) Il. Π, 239. Codex, νεῶν.

(3) Il. A, 25.

(4) Inserui συνδέσμων ex Matritensi.

(5) Est enim ἤτοι conjunctio προστακτική, quum sit ἢ conjunctio προστακτικὴ καὶ ὑποτακτική: vide Apollonium De conjunct. p. 486. Peccavit Pindarus eodem quo Menander modo, teste Antiatticista Bekkeri p. 99: ἤτοι, οὐκ ἄρχον, ἀλλ' ὑποτασσόμενον· Πίνδαρος Θρήνοις. Superest disertum exemplum Nem. VII, initio: ἀλλά τι προσφέρομεν ἔμπαν, ἢ μέγαν νόον, ἤτοι φύσιν ἀθανάτοις. Cf. Grammaticus ap. Valckenar. post Ammonium pag. 202; Bœckhii nota ad Pindari fragmentum 103.

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

ΚΑΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.

Βαρβαρισμός (1) ἐστι ἁμάρτημα ἐν λέξει, γινόμενον παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. Εἴρηται δὲ οὕτως βαρυαυδατισμός τις ὤν (2). Γίνεται δὲ τρόποις ε΄, προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει, καὶ περὶ (3) προσῳδίαν. Προσθέσει γράμματος, ὡς ἐάν τις λέγῃ Αἰσχίνους, δέον Αἰσχίνου. Ἀφαιρέσει, ἐάν τις λέγῃ Δημοσθένου, δέον Δημοσθένους. Ἐναλλαγῇ γράμματος, οἷον ἐάν τις λέγῃ (4) δρίφος, ἀντὶ τοῦ δίφρος. Μεταθέσει (5) γράμματος, ὡς κίσσηλις, δέον κίσσηρις. Γίνονται δὲ καὶ βαρβαρισμοὶ περὶ προσῳδίαν.

Σολοικισμός ἐστι ἀκατάλληλος πλοκὴ (6) τῶν τοῦ λόγου μερῶν. Εἴρηται δὲ σολοικισμὸς, ἤτοι ἀπὸ τῶν εἰς Σόλους μετοικησάντων, οἳ, πειρώμενοι (7) τῇ Σόλωνος χρῆσθαι διαλέκτῳ, ἡμάρτανον, ἢ ἀπὸ τοῦ τὸν σῶον λόγον λυμαίνεσθαι (8), ἢ ἀπὸ τοῦ θολισμὸν

(1) Quæ sequuntur a præcedentibus librarius relicto tenui intervallo distinxit. Lemma addidi. Infra pag. 260, fere similia sub nomine Herodiani repetam.

(2) Etymologia est prorsus absurda. Legetur infra βαρυαυδησμός. Codex hic, βαρβαυδαπσμός.

(3) Codex, παρά.

(4) Cod., ἐὰν λέγει. Cf. p. 230.

(5) Male sedem permutarunt nomina ἐναλλαγῇ et μεταθέσει: est enim μετάθεσις in δίφρος, ἐναλλαγὴ in κίσσηλις. Cod. κίσηλις et κίσηρις.

(6) Addidi πλοκή. Grammaticus ap. Valckenar. pag. 197: σολοικία ἐστὶν ἀκατάλληλος πλοκὴ τῶν τοῦ λόγου μέρων παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν.

(7) Nota hæc est etymologia, de qua vide Valckenar. p. 203; Sallier. Hist. Academ. Inscript. t. v, p. 210.

(8) Cod. λυμαίνεσθαι. Cf. p. 232.

εἶναι τοῦ λόγου, τοῦτ' ἔστι σκοτισμόν. Γίνεται δὲ περὶ τὰ μέρη τοῦ λόγου καὶ περὶ τὰ παρεπόμενα (1)· περὶ τὰ γένη, ὡς παρ' Εὐριπίδῃ·

Ὦ Κύπρις (2), ὡς ἡδεῖα καὶ μοχθηρός!

περὶ τὰς πτώσεις, ὡς, ὦ φίλος· περὶ τοὺς ἀριθμούς.

Τὸ μέν τι χαίρω, τὸ δέ τι καὶ λυπούμεθα.

Περὶ δὲ τὰ σχήματα σολοικίζουσιν οἱ λέγοντες ὄναγρον· τὰ γὰρ σύνθετα ἐκ διαιρέσεως προφέρονται Ἀττικοί (3). Περὶ τὰ εἴδη, ὡς,

Οἰδίπουν ἀπώλεσ' (4), Οἰδίπους δ' ἐμέ.

Περὶ δὲ τοὺς χρόνους·

... ἐγὼ (5) δέ κ' ἄγω Χρυσηίδα καλλιπάρηον.

Περὶ τὰς διαθέσεις, ὡς παρὰ Πινδάρῳ·

Καλεῖτ' ἐς χορὸν Ὀλύμπια,

ἀντὶ τοῦ καλεῖσθε (6). Περὶ τὰς ἐγκλίσεις, ὡς παρὰ Καλλιμάχῳ·

Ἴσχε, πίκος, μὴ πῖθι·

προστακτικὴ ἀνθ' ὑποτακτικῆς τῆς μὴ πίῃς (7). Περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίαις·

.... σφέτερον (8) πατέρ' ὑμνείουσαι,

ἀντὶ τοῦ ὑμέτερον. Περὶ τὰς μετοχάς·

Οὐκ (9) ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,

(1) Codex, περιπόμενα.

(2) Non reperitur versiculus in indice Beckiano.

(3) Inde Phrynichus Epit. p. 381 : ὄναγρος οὐ ῥητέον· σὺν ἄγριον οἱ ἀρχαῖοι λέγουσι.

(4) Codex, ἀπώλεσεν. Versus corruptus ex Euripidis Alcmæone Fragmento ιε' mihi, alias 17.

(5) Il. A, 184. Cf. p. 236, n. 4.

(6) Codex, καλεῖσθαι. Respicit forsan fragmentum 45 in Bœckhiana : Δεῦτ' ἐν χορὸν, Ὀλύμπιοι.

(7) Codex, πῖθης. Cf. p. 256.

(8) Hes. Opp. 2. Cf. p. 236.

(9) Il. Θ, 455. Cf. pag. 234.

ἀντὶ τοῦ πληγεῖσαι. Περὶ τὰ ἄρθρα·

Μακροῖσι (1) ξυστοῖσι τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο.

Περὶ τὰς προθέσεις, ὡς,

Κάππεσον (2) ἐν Λήμνῳ·

καὶ παρὰ Θουκυδίδῃ (3)· « εἰς τὸ Ἡραῖον ἐκαθέ- » ζοντο. » καὶ παρὰ Μενάνδρῳ·

Καθιζάνει (4) μὲν ἐνίοτ' εἰς τὰ σήσαμα·

καὶ ἐν Ψοφοδεεῖ (5)·

Ἐπίσημον οὖν τὴν ἀσπίδ' ἐς τὴν τοῦ Διὸς
Στοὰν ἀνέθηκαν.

Περὶ τὰ ἐπιῤῥήματα, ὡς παρὰ Εὐριπίδῃ (6)·

Πολλὴ μὲν ἐν βροτοῖσι, κοὐκ ἀνώνυμος,
Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω.

Περὶ τοὺς συνδέσμους, ἐάν τις τῷ μὲν τὸν δὲ μὴ ἐπενέγκῃ, οἷον·

Τρωσὶν (7) μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδὴς,
Παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.

(1) Il. O, 388. Omisit, puto, librarius grammatici observationem, scilicet articulum τὰ esse ἀντὶ τοῦ ἅ.

(2) Il. A, 593. Codex, κάππεσιν. Cf. p. 256.

(3) Ex Thucyd. I, 24, sed memoriter nec accurate. Conf. pag. 257.

(4) Codex, ἐνίοτε. Mœris pag. 351 : σήσαμα, καὶ ὁ καρπὸς καὶ ὁ τόπος οὗ ἐπωλεῖτο. Quæ observatio ad hunc Menandri versum referenda videtur. De usu loca vocandi a rerum nominibus ibi vendendarum notavi ad Medeam 68, ubi inter alios allegavi Valckenarium Schol. in N. T. t. I, p. 306, male pro p. 316.

(5) Notum est fabulæ nomen, fragmentum novum. Cf. p. 257.

(6) Euripid. Hipp. 1.—Codex, περὶ Εὐριπ. Ac sic infra; et supra non semel permutatæ sunt præpositiones περὶ et παρά. Eumathius Hysm. X, p. 385 : καί γε παρὰ τὴν παῖδά μοι χρησμοδοτεῖ· cod. 2897 correctius, περί. Idem VIII, p. 286 : εἰ γάρ τις παρὰ παρθένον διψυχεῖ· bene codex, περί.

(7) Il. Γ, 16. Codex, τρωσί. Ceterum grammatico ausim contradicere; nam conjunctioni μὲν opponetur recte v. 21, τὸν δ'.

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΣΟΛΟΙΚΙΣΜΟΥ.*

Πᾶς λόγος, οὐκ ἀκριβῆ (1) τὴν ὁμιλίαν ἔχων, ἀπαιδευσίας ἱκανὰ φέρει τεκμήρια (2)· ὅθεν τοὺς πειρωμένους τὴν γραμματικὴν μεταδιώκειν ἀναγκαῖόν ἐστιν ἀσολοίκιστον καὶ ἀβαρβάριστον τὴν προφορὰν τοῦ λόγου (3) ποιεῖσθαι, εἰδότας τὴν ἐν αὐτῇ γινομένην (4) ἁμαρτίαν. Μήτηρ γὰρ φιλοσοφίας καὶ ῥητορικῆς γέγονε γραμματική, καὶ πάσης καλῶς λεγομένης ἐπιστήμης τε καὶ (5) τέχνης ῥίζα (6) καὶ γένεσις πέφυκεν αὕτη, θρέψαι δυναμένη παιδὸς ἀρετὴν, ἀκριβουμένη διὰ τεχνικῆς ἐμπειρίας, εἰς τὴν ἀναμάρτητον τῆς λέξεως ἐμπειρίαν, ἐξ ἧς (7) πᾶς ἔπαινος ὑφοῦται. Ἐπὶ τὴν εὐθύνην (8) οὖν τῶν σολοικισμῶν καὶ βαρβαρισμῶν (9) τὸν λόγον ἡμῶν ἀναγκαῖόν ἐστιν ἐσπεῦσθαι (10). Πειράσομαι δὴ κατὰ πάντα προνοεῖσθαι τοῦ διδασκαλικώτατα καὶ σαφέστατα λέγειν (11)· μία

* Recensui id opusculum ad codices 1270, 2551, 2720, 2929, quos literis signabo A, B, C, D. — D, περὶ σολοικισμῶν καὶ βαρβαρισμῶν.

(1) AC, μὴ ἀκριβῆ.

(2) C, φέρει ἱκανά. BD sine ἱκανά.

(3) B, ἐστι...προσφοράν. AC, τῶν λόγων.

(4) BD, τὴν ἑαυτοῖς. C, γιγνομ.

(5) C sine γέγονε. D, γραμμ. πασ. λεγομ. B sine καλῶς. A, τ' ἐπιστ. καί: deleto τ' punctis.

(6) B, καλῶς ῥίζα.

(7) BD, εἰς τὸ ἀναμάρτητον τ. λ. ἐμπειρία καὶ ὁμολογία ἐξ ἧς. In D, e correctione ὁμολία, quasi voluisset corrector fieri ὁμιλία. In B videtur fuisse prius ὁμιλία. Forsan ὁμιλίαν legendum pro ἐμπειρίαν.

(8) A, εὐθύναν. C, εὐθεῖαν.

(9) B, τῶν βαρβαρ. καὶ σολ. καὶ βαρβαρ. C, τῶν βαρ. D, τῶν βαρβ. καὶ σολ.

(10) BD, ἕπεσθαι.

(11) C, τοῦ λέγειν διδ. καὶ σαφ. BD, διδασκαλικοῦ ταῦτα.

γὰρ αὕτη πρὸς νέον λόγων ὁδὸς, εὐκόλως καὶ λευκῶς ἐπὶ (1) τὴν μάθησιν ἐλθεῖν.

Τρεῖς οὖν γίνονται κακίαι περὶ λόγον· σολοικισμὸς, βαρβαρισμὸς, καὶ ἀκυρολογία.

Πρῶτον δὲ τὰ τοῦ σολοικισμοῦ καταμάθωμεν (2).

Γίνεται οὖν σολοικισμὸς (3) ἐν συμπλοκῇ λέξεων ἀλλήλαις ἀναρμοσίων εὔκολος (4), ὅταν ἡ διαίρεσις πρὸς τὴν συμπλοκὴν τῶν λόγων μὴ ἄγαν ᾖ εὐάρμοστος (5). Ὧν γὰρ καλοῦμεν ἢ προφερόμεθα (6) πάντως ἕκαστον ἐστὶν ἢ ὄνομα, ἢ προσηγορία, ἢ ῥῆμα, ἢ μετοχὴ, ἢ ἄρθρον, ἢ ἀντωνυμία, ἢ πρόθεσις, ἢ ἐπίρρημα, ἢ σύνδεσμος· ἐννέα γὰρ ταῦτα ἐστὶ (7) μέρη τοῦ λόγου, ὧν ἔξωθεν οὐδεμία πως ὁμιλίαις ἐμπολιτεύεται λέξις (8). Ἡ δὲ παραλλαγὴ τούτων εἰς τὸν τῶν ἁμαρτημάτων ὄλισθον (9) ἁλίσκεται.

Προσηγορία μὲν οὖν (10) ἐστὶ λέξις γενικήν τινα ἐμφαίνουσα διάνοιαν, οἷον ἄνθρωπος, ἵππος, βοῦς· ἔθνος γὰρ τούτων ἕκαστον καὶ γένος (11).

Ὄνομα δέ ἐστιν, ὃ ἀπὸ τοῦ γένους (12) τὸ εἶδος

(1) BD, ὁμοία pro μία—BCD, λόγον. C, ὁδὸς ῥαδίως ἐπί. D, ὁδὸς εὔκολος ἐπί.

(2) C, καταμάθωμεν δὴ πρῶτον τὰ τοῦ σολοικισμοῦ. BD, πρῶτον μὲν οὖν περὶ τοῦ σολοικισμοῦ.

(3) BD, ὁ σολοικισμός.

(4) C, εὔκολος ἐν συμπλ. λέξ. ἀλλ. ἀναρμ. B, ἐν συμπλοκαῖς λέξ. ἀλλ. ἐναρμουσῶν εὔλογος : id e correctione ; prius fuit εὔκολος. D, ἐν συμπλοκαῖς λ. ἀλλ. ἁρμουσῶν εὔλογος. Scripsi ὅταν pro ὅτι.

(5) A, περὶ τὸ τὴν σ. τ. λ. μὴ ἀγανακτεῖν. In B post ἄγαν est lacunula. C, περὶ τὴν σ. τ. λ. μὴ ἀγανακτεῖ.

(6) BD, ὧν καλ. καὶ προφ.

(7) A, ὄνομα ἢ σύνδ. BD, ἐστι ταῦτα. Mox B sine τοῦ.

(8) A, ταῖς pro πως. D, ὁμιλία. C, οὐδ. λέξις ταῖς ὁμ. ἐμπολ.

(9) C, τὸν ὄλ. τῶν ἁμαρτ.

(10) BD sine μέν : mox sine τινα.

(11) AB sine βοῦς. D, ἄνθρωποι, ἵπποι, ἔθν. C, τούτων γὰρ ἕκ. ἔθνος τι καὶ γένος.

(12) BD sine τοῦ.

χαρακτηρίζει· ἄνθρωποι γὰρ πολλοί· ὅταν δὲ εἴπωμεν Δημοσθένης ἢ Αἰσχίνης (1), τῷ ὀνόματι τὸ εἶδος ὑποπίπτει.

Ῥῆμα δέ ἐστιν, ὃ τῶν πραγμάτων τὰ πάθη δηλοῖ ἢ τὰς ἐνεργείας, οἷον, ὁ μὲν ἄνθρωπός ἐστι προσηγορία· εἶτα ἠρωτήσαμεν, τίς; ὑπήντησε τὸ ὄνομα, Δημοσθένης· ἀνάγκη τοῦτον τί ποιεῖ κατηγορεῖσθαι (2). Τὸ γὰρ ῥῆμα οὐκ ἐν σώματι νοεῖται (3), ἀλλ' ἐνεργείᾳ ἢ πάθει· δηλοῦται (4) γὰρ ὑπὸ μὲν τῶν προσηγοριῶν τὰ γένη, ὑπὸ δὲ τῶν ῥημάτων αἱ πράξεις.

Ἴδωμεν οὖν πῶς πρῶτον (5) ὁ σολοικισμὸς περὶ ταῦτα συμβαίνων τὴν (6) ὀρθοέπειαν ἀδικεῖ.

Ἀρξόμεθα δὲ ἀπὸ τῶν προσηγοριῶν (7) καὶ τῶν ὀνομάτων.

Παρέπονται δὲ ταῖς προσηγορίαις καὶ τοις ὀνόμασιν (8) ἀριθμοὶ μὲν τρεῖς, πτώσεις δὲ πέντε, καὶ γένη (9) πέντε, ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον (10), κοινὸν καὶ ἐπίκοινον.

(1) C, εἴπομεν. AC sine ἤ.

(2) D, εἰ ἐρωτήσωμεν τίς ὑπ. τὸ ὄν. δόκησις ἀνάγκη τ. τι ποιεῖν κατ. In B compendium nominis Δημοσθένης valde est contortum et obscurum viciniusque voci δόκησις. A, ἀνάγκη τοῦτο κατηγ.

(3) AC, κεῖται.

(4) BD, δηλοῦνται: mox προσηγορικῶν.

(5) B, ἴδωμεν....πρώτως: qui jam p. 242, 5, πρῶτον. D, πρώτως.

(6) AC, παρά. Mox BD sine τήν.

(7) ABC, ἠρξάμεθα. BD, προσηγορικῶν.

(8) BD sine καὶ τοῖς ὀν. et mox sine μέν. Tantam jejunitatem qui corrigat, accedat Choricius in vocula μὲν corruptus. Πλὴν τοῦ σχήματος μόνου, Choricius ait in Procop. § 17, πάντα ἦν ἱερεύς· τὰ μὲν δόγματα τῆς εὐσεβείας, τά τε τούτοις ἀντιλέγειν ἐπιχειροῦντα, τὰ μὲν ὅπως ἐπιτηδεύσῃ μαθὼν, τὰ δὲ πρὸς ἔλεγχον ἐπιστάμενος, ἄμφω καλῶς ἐπαιδεύθη. Bene cod. 1087, τά τε γὰρ δόγματα: velim etiam ἐπιτηδεύσει.

(9) AB, γένη δέ.

(10) BD, ἀρσενικὰ, θηλυκὰ, οὐδέτερα.

Ἐν τάξει δὲ ἀπὸ τῶν ἀριθμῶν εὐθύνωμεν (1) τὸ σφάλμα τοῦ σολοικισμοῦ.

Ἀριθμός ἐστιν ἑνικὸς, ὁ Αἴας, δυϊκὸς δὲ, τὼ Αἴαντε, πληθυντικὸς δὲ (2), οἱ Αἴαντες. Δεῖ τοίνυν ἑνικὸν ἑνικῷ (3) ἐπιφέρειν, καὶ δυϊκῷ δυϊκὸν, καὶ πληθυντικῷ πληθυντικόν (4)· ἐὰν δέ τις ἑνικῷ πληθυντικὸν, ἢ πληθυντικῷ ἑνικὸν, ἢ πάλιν δυϊκῷ πληθυντικὸν ἐπενέγκῃ, περὶ τοὺς ἀριθμοὺς (5) ὁ σολοικισμός. Οἷον ἐπὶ ἑνικοῦ (6)·

Ὅστις γὰρ ἀνδρῶν οἴεται (7) μεῖζον φρονεῖν,
Οὗτοι διαπτυχέντες ὤφθησαν κενοί·

τῷ γὰρ ἑνικῷ τὸ πληθυντικὸν ἐπενεχθὲν ἀναρμοστίως (8) τὸν λόγον ἔβλαψεν. Ἐπὶ δυϊκοῦ·

Αἴαντε δ' ὁρμήσαντες ἐκ ξυνωρίδος (9)·

ἔδει γὰρ ἐπενεχθῆναι δυϊκῷ δυϊκόν (10). Τὸ δὲ πληθυντικὸν τῷ ἑνικῷ (11) συναφθὲν ἀσχημονεῖ·

Ἦλθεν δὲ λαοὶ μυρίοι πρὸς ἠόνα (12)·

(1) BCD, εὐθύνομεν. Ignatius Diaconus, qui sub Gabriæ vel Babriæ nomine circumfertur, Fabula de ovo aureo p. 71 Corayi: Ἔκτεινε ταύτην χρυσὸν ὡς λαβεῖν θέλων· Ἐλπὶς δὲ μεῖζον δῶρον ὠλέκει τύχης. Longe melior legitur versus in codice 2991 A: Ἐλπὶς δὲ μείζων δ. ὤλεσε τύχης. Possit et ὤλεσεν scribi; sed in tali metro non tam anxia quæritur diligentia.

(2) AC sine utraque conjunctione δέ.

(3) BD, ἑνικῷ ἑνικόν. AC, ἑνικὸν τῷ ἑν.

(4) CD, πληθυντικὸν πληθυντικῷ.

(5) BD, ἐὰν δέ τις ἑν. πληθ. ἐπεν. περὶ ἀρ. C, ἐὰν δέ τις πληθ. ἑν. ἐπεν. περὶ ἀρ. A, ἐπενέγκοι.

(6) AC sine ἐπὶ ἑν.

(7) BD, οἴεται ἀνδρῶν. — Vide Soph. Antig. 699.

(8) BD, ἁρμοδίως.

(9) BD, αἴ. διορμήσαντες. A, συνωρίδος.

(10) BD, δυϊκὸν δυϊκῷ.

(11) A, τῷ δὲ πληθυντικῷ τὸ ἑνικόν.

(12) ABCD, ἦλθ. D, ἠϊόνα. B, εἰϊόνα.

πληθυντικῷ γὰρ ἐπιφερομένῳ τῷ λαοὶ (1) μυρίοι ἔδει συνῆφθαι πληθυντικὸν τὸ ἦλθον, οὐχὶ ἦλθεν (2).

Οὕτω δεῖ καὶ ἐπὶ τῶν πτώσεων ὀνομαστικῇ μὲν ἐπιφέρειν ὀνομαστικὴν, γενικῇ δὲ γενικὴν (3), καὶ πάσαις τὸ ἀκόλουθον. Εἰ δέ τις παραλλάξει τὰς πτώσεις, σολοικισμὸν ἀκούει· « Νέστωρ » γὰρ εἰπὼν, « οὐδὲν » αὐτοῦ γλυκύτερον », εἰ ἐπενέγκοι παρὰ τὴν πτῶσιν, ἁμαρτήσεται (4). Ὁμοίως δὲ, κἂν δοτικήν τις ἀντὶ γενικῆς ἐπενέγκῃ, τῶν ἐπιφερομένων οἰκείων τῇ γενικῇ τυγχανόντων, ἁμαρτήσεται (5), οἷον·

Τρωσὶ μὲν ἡγεμόνευεν (6),

ἀντὶ τοῦ Τρώων· ἢ πάλιν, αἰτιατικὴν ἀντὶ δοτικῆς (7)·

Χεῖρας δὲ Τρώων ὅπλ' ἔδωκαν Ἑλλάδος,

ἀντὶ τοῦ δοτικῇ χρήσασθαι·

Χερσὶν δὲ Τρώων ὅπλ' ἔδωκαν·

(1) BD, λαῷ. Mox C, συναφθῆναι. Pari solœcismo Niceph. Gregoras Epist. 5, p. 10 Mustox.: φάνηθι πῦρ τῶν ἐναντιουμένων, ᾧ τε φοβεῖται γλῶσσαι πονηραὶ καὶ παράνομοι. Non potuit Gregoras jungere φοβεῖται γλῶσσαι. Egregie restituit vitiosam sententiam codex 2991 A: φάνηθι πῦρ κατὰ τῶν ἐναντιουμένων, ᾧ πφρρῦνται γλῶσσαι...

(2) BD sine οὐχὶ ἦλθεν. Mox BCD, δὲ pro δεῖ. Et BD sine ἐπιφέρειν.

(3) C, ὀνομαστικὴν μὲν ἐπιφέρειν ὀνομαστικῇ γενικὴν δὲ γενικῇ.

(4) B, πτώσεις οὐ μὲν αὐτοῦ γλυκ. ἁμαρτ. Et sic D, cum μὴν, si bene memini. Forsan ἐπενέγκοι, περὶ τὴν πτῶσιν ἁμαρτήσεται. Sæpissime permutatas vidimus περὶ et παρά.

(5) A, κἂν δοτικῇ τις ἀντὶ γεν. τυγχαν. ἁμαρτ. C, ἐπεν. ἁμαρτ. B, ὁμοίως δὲ δοτικὴ τὶς ἀντὶ γενικῆς χρήσηται, τῶν ἐπιφ.: sic D cum δοτικῇ et χρήσηται, probabiliter, modo εἰ post δὲ inseratur.

(6) Sic est in AC. BD, ἡγεμόνευον. Voluisse puto grammaticum versum citare Homeri Il. Γ, 16, Τρωσὶν μὲν προμάχιζεν, in quo scholiastes Venetus πτωτικὸν σχῆμα inesse ait; Τρωσὶν scilicet pro Τρώων. Conf. pag. 234.

(7) C, γενικὴν ἀντὶ δοτικῆς.

καὶ πάλιν (1) ἀντὶ αἰτιατικῆς γενικήν (2)·

Τιμᾶν Μακεδόνων εἵνεκ' εὐανδρησίας (3),

ἀντὶ τοῦ αἰτιατικῇ χρήσασθαι, Μακεδόνας τιμᾶν (4)· καὶ πάλιν εὐθεῖαν ἀντὶ κλητικῆς, οἷον,

Χαῖρε, φίλος (5),

ἀντὶ τοῦ κλητικῇ χρήσασθαι, χαῖρε, ὦ φίλε (6).

Γενῶν δὲ, ἀῤῥενικὸν (7) μέν ἐστιν ὁ Αἴας, θηλυκὸν δὲ ἡ Ἑλένη (8), οὐδέτερον δὲ ἀπὸ τοῦ μηδετέρου τὴν ἔμφασιν ἔχειν, οἷον τὸ βῆμα, τὸ παιδίον· κοινὸν δὲ ὃ ἴδιόν ἐστι τῶν δύο γενῶν ἀρσενικοῦ καὶ θηλυκοῦ (9), οἷον ὁ ἄνθρωπος· ἐπίκοινον δὲ, ὃ τῇ μὲν δυνάμει τάσσεται κατὰ τῶν (10) δύο γενῶν, οὐκ ἐπιδέχεται δὲ τὸ ἀῤῥενικὸν ἄρθρον, οἷον, γαλῆ (11), περιστερά· καὶ γὰρ ἡ θήλεια καὶ ὁ ἄρσην ἐπικοινωνεῖ (12) ταῖς προσηγορίαις· τὸ δὲ ἄρθρον ἀναιρεῖται· οὐδεὶς γὰρ λέγει, ὁ

(1) A, ἢ πάλιν χεῖρας Τρ. ὅπλα... ὅπλα...πάλιν. AC, χερσὶ δέ. BD, ἢ πάλιν δὲ χεῖρας Τρ....ἑκάστος ἀντὶ τῆς δοτικῆς ἐχρήσατο τῇ αἰτιατικῇ, καὶ πάλιν. Addam levandi minutiarum id genus congerendarum tædii causa syntaxin verbi δωροῦμαι cum accusativo esse animadversam et illustratam a grammatico in Bekkeri Anecdotis p. 133. Sic Pindarus Ol. VII, 131: ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις. Cf. Bachmanni Anecd. t. II, p. 304, 4. Hic et in similibus exemplis δωροῦμαι est proprie τιμῶ δώρῳ.

(2) C, ἀντὶ γενικῆς αἰτιατικήν.

(3) A, καὶ πάλιν τιμᾶν. BD, καὶ πάλιν τιμὴν Μακ. εἵνεκ' ἀνδρησίας.

(4) C, ἀντὶ τοῦ τιμᾶν Μακεδόνας.

(5) B sine οἷον. A, καὶ πάλιν χαῖρε. Pind. N. III, 132: χαῖρε, φίλος. Hom. Od. Θ, 413: Καὶ σὺ, φίλος, μάλα χαῖρε. De quo nominativo cf. pag. 239, 5.

(6) A sine ὦ. C, ἀντὶ τοῦ χαῖρε ὦ φίλε. BD, ἀνδρησίας· ἀντὶ τῆς κλητικῆς χρήσασθαι τῇ εὐθείᾳ, οἷον χαῖρε φίλος, ἀντὶ τοῦ χ. φίλε. B bis φίλος.

(7) BD, ἀρσενικὸν, et sic infra sæpius.

(8) BD, θηλ. δὲ ἡ μοῦσα. Mox AC sine τὸ βῆμα.

(9) BD, ἐστὶν ἀρσενικοῦ καὶ θηλυκοῦ ἤγουν τῶν δύο γενῶν.

(10) BD, καὶ τῶν.

(11) Codices, γαλὴ, hic et infra.

(12) BD, ἐπικοινωνεῖται: mox γὰρ pro δέ.

περιστερὰ, ὁ γαλῆ (1). Ὥσπερ οὖν καὶ ἐπὶ τῶν προαγόντων (2) εἴρηται, δεῖ καὶ ἐπὶ τῶν γενῶν ἀῤῥενικὸν μὲν ἀῤῥενικῷ ἀκολουθεῖν (3), θηλυκῷ δὲ θηλυκὸν, οὐδετέρῳ δὲ οὐδέτερον (4). Ἡ δέ γε ἀντεμβολὴ καὶ τούτων σολοικισμὸν ἐνόσησεν (5), οἷον,

.... πρὸς κίονα μακρήν (6)·

ἀῤῥενικῷ γὰρ ὄντι τῷ κίονα ἐπήνεγκε θηλυκὸν μακρὰν, ἔδει δὲ ἀῤῥενικῷ ὄντι τῷ κίονα ἀῤῥενικὸν ἐπενεγκεῖν (7) τὸ μακρόν. Πάλιν τὸ ἐναντίον ἐν τῷ (8),

.... κλυτὸς Ἱπποδάμεια·

ἔδει γὰρ τῷ Ἱπποδάμεια ὄντι θηλυκῷ (9) συμφώνως

(1) C, ὁ γ. καὶ ὁ πρ. D, οὔτε ὁ πρ. οὔτε ὁ γ. B sic, cum ἡ γ.

(2) BD, ὥσπερ οὖν ἐπὶ τῶν προσαγόντων.

(3) C, ἀρρενικῷ μὲν ἀρρενικὸν ἀκολουθεῖ.

(4) C, θηλυκὸν δὲ θηλυκῷ, οὐδέτερον δὲ οὐδετέρῳ. BD, καὶ θηλ. θηλυκῷ καὶ οὐδέτ. οὐδετέρῳ.

(5) BD, καὶ τὸν σολοικισμὸν ἐνόησεν.

(6) Odyss. A, 127.—BD, μακρά.

(7) A, κ. μακρήν· ἔδει δὲ ἀρρενικῷ τῷ κίονα... C, μακρήν· ἀρρενικῷ γὰρ ὄντι τῷ κίονα ἐπενεγκεῖν ἀρρενικόν. BD, ἀρσεν. γ. ὄντι τῷ κίονι ἐπήν. θηλ. τὸ μακρά· ἔδει δὲ ἀρσ. τῷ κίονι ἐπ. ἀρσ.

(8) BD, ὡς τό. Exemplum sequens est ex Il. B, 742. Ceterum legitimus est ille solœcismus verborum κλυτὸς Ἱπποδάμεια. Gravius peccavit Niceph. Gregoras Epist. 4, p. 9 Mustoxydianæ, si sic scripsit: τοσαύτην ἐν τοῖς τοιούτοις ὠφέλειαν ἀκούομεν ἔσθ᾽ ὅτε προξενοῦντα τὸν ἔπαινον, ὅσην οὐκ ἄν ποτε οὐδ᾽ ὅπλων οὐδ᾽ ἑτέρου τινὸς ἐπισκευῆς παρενθήκη. Non potest ἑτέρου ἐπισκευῆς stare; et ἑτέρας, quod vel contra codicem scribendum fuit, inveni in codice 2991 A. Obiter eidem epistolæ prodero, sic editæ: μέγιστόν τι βοήθημα πρὸς κατόρθωσιν ἐπιστήμης ἁπάσης ἔγωγε τὴν φιλοτιμίαν πάλαι ἔχω κατειληφὼς, ἧς ἄνευ εἴ τις οἰακηποτοῦν ἐργασίᾳ ἐπιχειροίη, οὐδέν τι, οἶμαι, τῶν ἀρκούντων ἀποίσοι ἄν. Proponerem pro ἀρκούντων legi ἀργούντων, ni esset in eodem codice τῶν ναρκώντων. Ibidem, ὥστε σκεπτέον: codex commode, ὥστε σε σκεπτέον. Nec omittendum eam epistolam, quæ in Mustoxydiana inscripta est τῷ, sic, pleniore in codice eodem instructam esse lemmate, τῷ μεγάλῳ λογαριαστῇ.

(9) C sine ὄντι. BD, θηλυκόν.

καὶ τὸ κλυτὴ συμπλέξαι. Καὶ ἐπὶ τοῦ οὐδετέρου·

Δῶρόν τοι καὶ ἐγώ, τέκνον φίλε (1)·

οὐδετέρῳ γὰρ οὐδέτερον ἔδει συνεζεῦχθαι, καὶ εἰπεῖν ὡς τέκνον οὕτω καὶ φίλον (2). Τὸ δὲ κοινωνεῖν τοῖς γένεσι τὸν τοῦ σολοικισμοῦ κίνδυνον ἐκφεύγει.

Τῷ δὲ (3) ἐπικοίνῳ ἔστιν ἰσχυρὸν ποτὲ εἰς ὄλισθον σολοικισμοῦ ἐμπεσεῖν, ἐὰν προτάξῃ τις τὸ μὴ ὀφειλόμενον ἄρθρον, ὁ περιστερά, ὁ γαλῆ (4).

Συγκρίσεις δὲ ταῖς προσηγορίαις παρακολουθοῦσιν, ὅθεν καὶ περὶ (5) σύγκρισιν γίνονται σολοικισμοί. Ἀπολελυμένον μὲν γὰρ ἐστὶ ταχύς, βραδύς, συγκριτικὸν δὲ ταχύτερος, βραδύτερος, ὑπερθετικὸν δὲ ταχύτατος, βραδύτατος. Ὅταν μὲν οὖν μηδὲν μηδενὶ συγκρίνων ἐπαινῇς, λέγε, ταχύς, παχύς, βραδύς, κυρτός· ὅταν (6) δὲ πρὸς ἕνα τὴν παράθεσιν προσάγῃς, λέγε, ταχύτερος ὅδε τοῦδε· ὅταν δὲ ὑπερβάλλῃς (7) τὸν ἔπαινον, λέγε, ταχύτατος. Ὅταν οὖν, ἢ μηδενὶ συγκρίνων, ἀντὶ ἀπολελυμένου (8) τοῦ ταχύς, τῷ συγκριτικῷ προσέλθῃς, ἢ ἑνὶ συγκρίνων, ἀντὶ τοῦ ταχύτερος, τὸ ὑπερβολικὸν (9) εἴπῃς, ὅδε τοῦδε ταχύτατος, ἁμάρτημα μετὰ (10) σολοικισμοῦ συναντήσει. Γίνεται δὲ οὕτω τὸ ἁμαρτανόμενον, οἷον, Πηλείδης

(1) Od. O, 125.—BD, τι κἀγώ. C, φίλε τέκνον.

(2) C, συμπλέξαι ἔδει. A sine εἰπεῖν. BD, ἔδει γὰρ εἰπεῖν ὡς τέκνον οὕτω καὶ φίλον.

(3) BD sine δέ. Mox ἐμπεσεῖν ex BD; alias πεσεῖν.

(4) D, ἐὰν δὲ περιστ... ἡ γαλῆ. Sic B, sine δέ. A sine ἄρθρον.

(5) BD, σύγκρισις δὲ ἐν ταῖς πρ. παρακολουθεῖ. AC, παρά. Mox BD sine μέν.

(6) C, παχύς· ὅταν.

(7) C, ὑπερβάλλῃ.

(8) A, βραδύτατος· ὅταν μ. ο. μ. μηδ. συγκρ. ἀντὶ ἀπολελυμένου. D, ὅταν οὖν ἐστὶν μηδὲν συγκρίνον ἀντὶ ἀπολελυμένου.

(9) D, τὸ ὑπερθετικόν.

(10) BD, μετὰ τοῦ.

ἐστὶν Ὀϊλιάδου (1) ὀξύτατος, ἀντὶ τοῦ ὀξύτερος· πρὸς ἕνα γὰρ ἡ παράθεσις (2). Καὶ πάλιν, ὠκύτερος πάντων εἰπεῖν ἁμάρτημα· δεῖ γὰρ τοῦ πάντων κειμένου, προτετάχθαι τὸ ὑπερβολικὸν (3) ὠκύτατος.

Τῷ δὲ ὀνόματι καὶ ταῖς προσηγορίαις ἐν τάξει τῶν λόγων ἐπιζεύγνυται (4) τὸ ῥῆμα· ἐπιδείκνυμεν γὰρ ὅτι τὸ ῥῆμα ἐστὶν ὃ ἐνέργειαν ἢ πάθος δηλοῖ· ἐνέργειαν μὲν, ὅταν εἴπω γράφω, πάθος δὲ, ὅταν εἴπω γράφομαι.

Περὶ δὴ πρῶτον αὐτὸ (5) γίνεται σολοικισμὸς, ὅταν τις τῷ (6) πάσχοντι ἐνεργητικὸν ῥῆμα περιάψῃ, οἷον,

Ἐγάμησεν (7) Ἑλένη τὸν θεοῖς συγρύμενον·

ἔδει γὰρ τὸ παθητικὸν τῇ γυναικὶ περιάψαι, ἐγαμήθη Ἑλένη· νῦν δὲ ἀντεισῆλθε τὸ ἐνεργοῦν, ἐγάμησεν Ἑλένη. Πάλιν, ἂν τις τάξῃ τὸ παθητικὸν ἀντὶ

(1) AC, ὁ ἰλιάδου. B, οἰλύδου. D, οἰλυάδου.

(2) BD, ὑπέρθεσις: mox πάντως.

(3) B, προστ. D, προστ. τὸ ὑπερθετικόν.

(4) AC, ἐπιζευγνύναι. Mox BD, ἐπιδείκνυται. Et statim τὸ ex BD. Articulum ex aliis codicibus non notavi.

(5) AC, παρά. Et A, πρώτου. BD sine αὐτό.

(6) AC, τις ἢ τῷ.

(7) C, ἐγήματο. Scripto ἐγήματ', versus erit bene græcus. Est enim ἐγάμησεν de muliere solœcum, et quod infra reponi jubet grammaticus, ἐγαμήθη, pessimum est, ut vix putem id esse ab Herodiano scriptum. Pro ἐγάμησεν, quod poeta scripsit, vel quod grammaticus pro re nata finxit, proponi debuit παθητικὸν ἐγήματο: proposuitque Herodianus. Unde putem varietatem ἐγήματο, in C superiore loco eoque incommodo lectam, mox esse pro ἐγαμήθη reponendam. Nota sunt de verbo γαμεῖν præcepta grammaticorum. Moschopulus Π. σχ. p. 205: γῆμαι, ἐπὶ ἀνδρός· γήμασθαι δὲ, ἐπὶ γυναικός. Codex 2599, ἐπὶ τοῦ ἀνδρός: bene, et velim addi τῆς ante γυναικός. Lexicon de adfinium differentia in cod. 2552: γαμεῖ μὲν ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. Conf. p. 263, 4.

ἐνεργητικοῦ, τὴν ὁμιλίαν ἀδικεῖ (1), οἷον, ἀπόλωλα δὲ παρθενίαν· τὸ γὰρ ἀπόλωλα παθητικόν ἐστιν· ἔδει δὲ τῷ ἐνεργητικῷ χρήσασθαι (2), ἀπολώλεκα παρθενίαν.

Ὥσπερ δὲ ἐπὶ τῶν προσηγοριῶν (3), οὕτω πάλιν καὶ ἐπὶ τῶν ῥημάτων ἐκ τῶν παρεπομένων γίνεται σολοικισμός. Παρέπεται δὲ τοῖς ῥήμασι πρόσωπα, εἴδη, χρόνοι.

Πρόσωπα μὲν τρία, ἐγώ, σύ, ἐκεῖνος· οἷον, τρέχω ἐγώ, τρέχεις σύ, τρέχει ἐκεῖνος (4). Γίνεται τοίνυν περὶ τὰ πρόσωπα (5) σφάλματα, ὅταν μὴ τῷ πρώτῳ προσώπῳ (6) τις τὸ πρῶτον ἐπενέγκῃ, ἢ τῷ δευτέρῳ τὸ δεύτερον, ἢ τῷ τρίτῳ τὸ τρίτον (7), ἀλλ' ἢ τὸ τρίτον (8) τῷ πρώτῳ, ἢ ἕν τι τῶν ἄλλων ἀνακολούθως ἑτέρῳ· οἷον (9), « ὡς δὴ ἐγὼ γελᾷ (10) », παρὰ τῷ λυρικῷ Σιμωνίδῃ· τὸ γὰρ ἐγὼ πρώτου ἐστὶ προσώπου (11), τὸ δὲ γελᾷ τρίτου. Διότι (12) τοίνυν ἐπήνεγκε τῷ πρώτῳ τὸ ἀνακόλουθον (13), τὴν ὀρθοέπειαν ἔβλαψεν· ἔδει γὰρ εἰπεῖν ἐγὼ γελῶ, ἢ ἐκεῖνος γελᾷ. Καὶ τὸ Ὁμηρικὸν (14)·

Ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν ὀλύμπῳ,
Σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεσθα ἕκαστοι·

(1) BD, ἀδικήσει.

(2) BD, οἷον ἀπόλωλα ληρεῖς· παθητικὸν γάρ ἐστι· ἔδει τῷ ἐνεργ. χρῆσθαι. Mox C, τὴν παρθ.

(3) BD, προσηγορικῶν : mox ἐκ pro ἐπί.

(4) A, ἐκεῖνος· τρέχω, τρέχεις, τρέχει. BD, τρία τρέχω.

(5) AC, παρὰ πρόσ.

(6) AC sine προσώπῳ. Mox A, ἐπενέγκοι.

(7) A, τὸ τρίτον τῷ τρίτῳ.

(8) AC, ἀλλ' ἤτοι τρίτον.

(9) AC, ἀκολούθως. BD, ἕν τι ἄλλων οἷον. C sine οἷον.

(10) BD, γελῶ.

(11) C, προσώπου ἐστί.

(12) BD, Σιμωνίδῃ· διότι.

(13) C, ἀκόλουθον.

(14) Il. E, 877. — A, εἰσίν. BCD, δεδμήμεθα : et sic infra. Confer pag. 236, 5.

τὸ μὲν γὰρ ἐπιπείθονται τρίτου προσώπου, τὸ δὲ δεδμήμεσθα πρώτου· ἔδει τοίνυν συνάψαι τὸ ἀκόλουθον, ἢ πειθόμεθα καὶ δεδμήμεσθα, ἢ πείθονται καὶ δέδμηνται.

Εἴδη δὲ τοῖς ῥήμασι ταῦτα παρέπεται, ὁριστικὸν, εὐκτικὸν, ἐπιζευκτικὸν ὃ καὶ ὑποτακτικὸν (1) καλεῖται, προστακτικὸν, ἐρωτηματικὸν (2), ἀπαρέμφατον. Ὁριστικὸν μὲν, ὃ καὶ καταφατικὸν (3) καλοῦσιν, οἷον, γράφω, παιδεύω. Ταῦτα γὰρ προτασσόμενα (4) ποιεῖ τὴν ἐπίζευξιν. Ἐρωτηματικὸν δὲ ὁριστικοῦ (5) τῷ τόνῳ τῆς προφορᾶς παραλλάσσει· γράφω; παιδεύω; Τὸ δὲ προστακτικὸν πρώτου προσώπου κατὰ τὴν πρόσταξιν ἐρημοῦται· οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει· γίνεται γὰρ ὁριστικὸν (6), εἴ τις ἐθελήσει (7) λέγειν προστακτικῶς, εὖ γράφω (8)· ἀλλὰ δευτέρῳ καὶ τρίτῳ προσώπῳ, γράφε, γραφέτω. Ἐπὶ μέντοι τῶν πληθυντικῶν (9) τοῖς τρισὶ προσώποις ὁλόκληρον τὴν πρόσταξιν (10) ἐκσώζει, γράφωμεν, γράφετε, γραφέτωσαν. Ἀπαρέμφατον δὲ λέγεται, τὴν ἐτυμολογίαν ἔχον ἀπὸ τοῦ μήτε πρόσωπα μήτε ἀριθμοὺς ἐμφαίνειν· γράφειν γὰρ ἐμὲ, καὶ γράφειν σὲ, καὶ γράφειν ἐκεῖνον, τὸ ῥῆμα τὸ αὐτὸ ἐπὶ τῶν τριῶν προσώπων νοεῖται· γράφειν γὰρ (11) ἕνα καὶ γράφειν πολλοὺς, οὐδέν τι

(1) A, ὑποζευκτικόν, quod mutavi. BD sine ὑποζευκτικόν. CD sine καί.

(2) AC, ἐρωματικόν.

(3) A, καὶ φατικόν. BD, καὶ φατικόν.

(4) BD, προστ. Hic nonnulla periisse manifestum est.

(5) BD, ὁριστικῷ.

(6) BD, γ. δὲ ὁρ. Hic deficit C.

(7) BD, ὅταν ἐθελήσῃ τις.

(8) BD, προστακτικῷ σοὶ γρ. Mox BD, ἀλλ' οὐδετέρῳ.

(9) BD, τῶν θηλυκῶν.

(10) BD, πρᾶξιν.

(11) A sine γάρ. Fors. δέ. Mox scripsi τι pro τοι librariorum. Statim BD sine ὁ.

μᾶλλον εἰς ἀλλοίωσιν ἐπὶ τοῦ πλήθους μεταβαίνει τὸ ῥῆμα. Ἐν δὲ τοῖς εἴδεσι τούτοις σπανίως ὁρᾶται ὁ σολοικισμός· ἀφέστηκε γὰρ ἀλλήλων. Σολοικισμὸς δὲ γίνεται (1) ἐπ' ἐνίων ἀντὶ τοῦ προστακτικοῦ τῷ ὁριστικῷ χρωμένων κατὰ συνήθειαν· οἷον, ἐντέλλομαί σοι, εἶπον τῷ δεῖνι ἐλθεῖν· τὸ γὰρ εἶπον ὁριστικόν ἐστι πρώτου προσώπου· δεῖ δὲ προστακτικῷ χρῆσθαι, εἰπὲ ἐλθεῖν· Πλεῖστοι (2) δὲ ἐν τοῖς εἴδεσι περὶ (3) τὰ ἐπιζευκτικὰ γίνονται σολοικισμοὶ, ἐνίων ὁμοίως, καθάπερ ἐπὶ τῶν ὁριστικῶν λέγομεν τὸ γράφω γράφεις γράφει, καὶ κατὰ (4) τὸ ἐπιζευκτικὸν τὸ αὐτὸ νοούντων, ἐὰν γράφω, ἐὰν γράφεις, ἐὰν γράφει· δεῖ (5) δὲ ὅσα τῶν ὁριστικῶν διὰ τοῦ εις ει, ἢ εῖς εῖ, τὴν (6) ἔξοδον ἔχει, ἐπὶ δευτέρου καὶ τρίτου προσώπου ἐν τοῖς ἐπιζευκτικοῖς διὰ τοῦ η (7) ἐκφέρεσθαι, ποιεῖς, ποιεῖ, ἐὰν ποιῇς, ἐὰν ποιῇ· ἐὰν δὲ διὰ τοῦ α καὶ ι (8), ὁμοίαν τοῖς ὁριστικοῖς προφορὰν ἔχει τὸ ἐπιζευκτικὸν, οἷον, γελῶ, γελᾷς, γελᾷ, ἐὰν γελῶ, ἐὰν γελᾷς, ἐὰν γελᾷ.

Παρέπονται δὲ καὶ (9) χρόνοι τοῖς ῥήμασιν, ἐνεστὼς,

(1) BD sine γίνεται: mox sine τοῦ.

(2) B, εἶπον τῷ δεῖνι ἐλθεῖν πλεῖστον. Et sic D, cum πλεῖστοι. Ceterum severior esse videtur grammaticus. Nam εἶπον potest esse imperativus, et præsertim, si pronuntietur εἰπὸν, nemo legens vel audiens impedietur. Vide de imperativo εἶπον, εἰπὸν, Buttmann. Excurs. ad Menon.; Bœckh. not. crit. ad Pind. p. 381.

(3) A, παρά.

(4) A, γράφω καὶ γράφεις κατά.

(5) A, ἐὰν γράφω, ἐὰν γράφης· δεῖ. B, κἂν γράφω, ἐὰν γράφης, ἐὰν γράφη· δεῖ. Et sic D, cum ἐὰν γράφω.

(6) BD, διὰ τοῦ εἰς τήν. A, διὰ τοῦ εις ἢ εῖς εῖ τήν. Mox BD, ἢ pro καί.

(7) A sine διὰ τοῦ η.

(8) A, τοῦ ο καὶ ι. Forsan τῶν ο α καὶ ει. A sine τὸ ἐπιζευκτικόν.

(9) BD sine καί. Et A sine καὶ ante μέλλων, ut B mox ante ἐνεστώς. Maximus Planudes Dialogo grammatico p. 5: εἰς τρία καὶ αὐτὸς διῃρημένον οἶδα τὸν χρόνον... εἰς ἐνεστῶτα, φημὶ, παρεληλυθότα καὶ μέλλοντα. Miror editorem, qui notulam marginalem descripsit, ὅτι

παρεληλυθὼς καὶ μέλλων. Καὶ ἐνεστὼς μέν ἐστι τὸ γράφω, παρεληλυθὼς δὲ τὸ (1) ἔγραψα, μέλλων γράψω. Ἔτι δὲ ὁ παρεληλυθὼς (2) ἐν τέσσαρσι διαφοραῖς βλέπεται, μίαν μὲν ἔχων τοῦ παρακειμένου καὶ παρῳχημένου, οἷον (3) γέγραφα, δευτέραν δὲ τοῦ (4) παρατατικοῦ, οἷον ἔγραφον, τρίτην δὲ τοῦ ἀορίστου συντελικοῦ (5), οἷον ἔγραψα, τετάρτην δὲ τοῦ ὑπερσυντελίκου, οἷον ἐγεγράφειν. Πολὺ τοίνυν ἀραίωμα περὶ τοὺς χρόνους (6)· αὐτὴ γὰρ ἡ φύσις τῇ προφορᾷ (7) τοὺς λόγους ἐφαρμόζει· καὶ ὃ λέγει τις ὅτι οὐ πεποίηκεν (8), οὐ λέγει ἐποίησα, ἀλλὰ ποιήσω, καὶ ὃ πεποίηκεν, ὅτι ποιήσω οὐ λέγει, ἀλλὰ πεποίηκα (9). Ἔσθ' ὅτε δέ τινες, ἀντὶ τοῦ παρῳχημένῳ χρῆσθαι, τῷ ἐνεστῶτι χρῶνται, οἷον (10),

> Γαμεῖ δ' ὁ μὲν δὴ Τυνδάρεω κόρην μίαν (11),

ἀντὶ τοῦ ἐγάμησε· καὶ,

> Θύρσον δέ τις λαβοῦσ' ἔπαισεν εἰς πέδον,
> Ὅθεν δροσώδης ὕδατος ἐκπηδᾷ νοτὶς (12),

ὁ χρόνος εἰς τρία διαιρεῖται, non correxisse διῃρημένον: quod ipse in codicibus a me adhibitis reperi. Apographum enim Planudis meum nitide διῃρημένον tenet.

(1) BD sine τό.

(2) A, ἐστιν ὅτι ὁ παρ.

(3) BD, ἔχων τοῦ παρῳχ. οἷον.

(4) BD, τὴν pro τοῦ.

(5) BD, ἀοριστοσυντελίκου.

(6) A, περὶ τοὺς χρόνους. BD, ἀρέωμα.

(7) A, αὕτη. BD, τῆς προφορᾶς.

(8) A, ὅτι πεποίηκα.

(9) BD, ἐφαρμόζει· καὶ ὁ μέλλεται τις ποιήσειν οὐ λέγει ὅτι πεποίηκα, ἀλλὰ ποιήσω, καὶ ὃ πεποίηκεν ὅτι ποιήσω, ἀλλὰ πεποίηκα.

(10) A, ἀντὶ παρῳχημένου τῷ ἐνεστῶτι χρῶνται.

(11) BD sine δή.

(12) Eurip. Bacch. 695.—A, ἔπεσεν. BD, θύρσου δ. τ. λ. ἔπεσεν εἰς π. ἡ μὲν δροσ. — Sæpissime ἔπεσεν et ἔπαισεν librarii confundunt, quod αι et ε sono non distent. Bition, Bionis Borysthenitæ discipulus, isque, ut magister, homo impudentissimus, Menedemo aliquando dixisse a Diogene Laertio refertur IV, 54:

ἀντὶ τοῦ ἐξεπήδησεν (1). Ἐκεῖνον δὲ μᾶλλον ἄξιον τὸν σολοικισμὸν ἐπακριβῶσαι (2), ἀναιδέστερον δ' ἐπιτολμῶντα τῷ περὶ τοὺς χρόνους ἁμαρτήματι (3). Λέγουσι γάρ τινες (4) γέγραφα πέρυσιν (5), καὶ χρῶνται τῷ παρῳχημένῳ παρακειμένῳ ἀντὶ τοῦ ἀοριστώδους συντελικοῦ (6) ἔγραψα· ὁ μὲν γὰρ ἀοριστώδης συντάσσεσθαι (7) δύναται καὶ ἐπὶ τοῦ πάλαι, ἔγραψα ἄρτι καὶ ἔγραψα πάλαι (8), διὰ τὸ τῆς συντελείας ἀόριστον· τὸ δὲ γέγραφα συντετέλεσται (9) μὲν καὶ παρῴχηκεν· ἐπεὶ δὲ τὸν χρόνον παρακείμενον ἔχει (10) τὸ γέγραφα, ἄρτι, οὐ πέρυσιν, ὤφειλε λέγειν.

Τοιούτους (11) καὶ ἐν τοῖς ῥήμασι σολοικισμοὺς ἐννοοῦμεν (12).

Μετοχὴ δέ ἐστι ῥῆμα εἰς πτῶσιν κεκλιμένον (13), οἷον ῥῆμα ἐστὶ γράφω, μετοχὴ δὲ γράφων γράφοντος. Μετοχὴ δὲ εἴρηται ἀπὸ τοῦ μετέχειν καὶ τῶν τοῖς ῥήμασι παρεπομένων (14) καὶ τῶν τοῖς ὀνόμασι· μετέχει γὰρ ἁπάντων, ἄρθρων, γενῶν, πτώσεων, ἀριθμῶν, χρόνων, παθῶν καὶ ἐνεργειῶν. Περὶ ταῦτα πάντα γίνονται σολοικισμοὶ, ὡς ὑπεδείξαμεν. Δεδή-

ἐγώ τοι νύκτωρ συνδέομαι Βίωνι, καὶ οὐδὲν ἄτοπον δοκῶ γε πεπονθέναι. Legerim συνδαίομαι, dividor. Verbum est prætextatum.

(1) A, διεπήδησεν. D, ἐπήδησεν.

(2) A, ἀπακρ. BD, τὸν σολοικισμὸν ἄξιον.

(3) A, παρά. BD, τοῖς περὶ τ. χρ. ἁμαρτήμασι.

(4) A, λέγουσιν δέ τ.

(5) BD, πέρυσι.

(6) B, ἀντὶ ἀοριστώδους συντακτικοῦ. D, ἀορίστου συντακτικοῦ.

(7) A sine συντάσσεσθαι.

(8) A, ἔγραψα καὶ ἄρτι ἔγραψα π. Forsan ἐπὶ τοῦ ἄρτι καὶ ἐπὶ τοῦ πάλαι.

(9) B, συμπέπλεκται. D, συμπέπλεκται.

(10) BD, ἐπὶ δὲ τὸν χρ. παρακείμενος ἔχειν. A, ἐπ δὲ....ἔχει.

(11) A, ἔχει· γέγρ. ἄ. οὐ π. τοιούτους. BD, πέρυσι.

(12) BD, τοιούτους σολ. ἐν τ. ῥ. νοοῦμεν.

(13) Hic deficit codex A.

(14) BD, παρεποχημένων.

λωται γὰρ ὡς (1) περὶ τὰ γένη, περὶ τοὺς ἀριθμοὺς, περὶ τὰς πτώσεις, περὶ τοὺς χρόνους, περὶ τὰ πάθη, περὶ τὰς ἐνεργείας, γίνονται σολοικισμοί.

Ἄρθρον δέ ἐστι λέξις ἐν συλλαβικῇ δυνάμει προτακτικὴ καὶ ὑποτακτικὴ τῶν ἐμφαινόντων γένη καὶ πτώσεις. Προτακτικὰ μὲν ἀρσενικὰ, ὁ, τοῦ, τῷ, τόν· ὑποτακτικὰ δὲ, ὅς, οὗ, ᾧ, ὅν· πληθυντικὰ δὲ ἀρσενικὰ προτακτικὰ, οἱ, τῶν, τοῖς, τούς· ὑποτακτικὰ δὲ, οἵ, ὧν, οἷς, οὕς. Κατὰ μέντοι Ὅμηρον πληθυντικὰ ὑποτακτικὰ οὐκ ἔστιν, ἀλλὰ τὸ αὐτὸ τῷ προτακτικῷ (2), καθά φησι·

....τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον (3).

Γίγνεται τοίνυν σολοικισμὸς περὶ τὰ ἄρθρα, ἀρσενικοῖς ἀκολούθως (4)· αὐλῶνά τε ἣν ἄρδουσι, δέον λέγειν ὃν ἄρδουσιν· ἢ ὅταν ἀντὶ πτώσεως ἑτέρα πτῶσις παραληφθῇ· « ὁ μὲν πτελέης (5) ὁ δ' ἐλαίης »· ἢ ὅταν ἀντὶ προτακτικοῦ χρήσηταί τις τῷ ὑποτακτικῷ·

Τοίων γὰρ ἀνδρῶν σπέρμ' ἔδωσεν Ἑλλάδος

τῆς κατὰ Τροίαν (6). Τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων προτακτικῶν ἄρθρων καὶ ὑποτακτικῶν.

Εὐπαρατήρητος δὲ ὁ περὶ τὰς προθέσεις σολοικισμός. Γίνεται δὲ ἄλλως εἰ ἄλλης μετατεθείσης (7). Ἐλέγχεται δὲ περὶ τὴν διάνοιαν τῶν πραγμάτων καὶ συνεργίαν· οἷον,

(1) Addidi γὰρ ὡς.
(2) B, τὸ προτακτικόν.
(3) Od. Γ, 5.
(4) Locus est lacunosus, sine codice non restituendus.
(5) Cf. Od. E, 477.
(6) BD, σπέρμα ἔδωσεν. Correctionem non reperio, nec multum quæro. Est lacuna.
(7) Et hic lacuna est.

Εἰς ἐλάτην (1) ἀναβὰς περιμήκετον,

ἀντὶ τοῦ ἐν ἐλάτῃ. Καὶ ὡς (2) ἁμαρτάνουσι περὶ τὴν κοινὴν ὁμιλίαν πολλοί· ποῦ ἐστιν ὁ πατήρ; εἰς Βαίταν· ἀντὶ τοῦ, ἐν Βαίτῃ. Ὅμοιον γάρ ἐστι τοῦτο, ἐάν τις πυθομένῳ τινὶ, ποῦ πορεύηται (3), ἀπεκρίθη, ἐν Βαίτῃ.

Ἀντωνυμία δέ ἐστι λέξις ἀντὶ ὀνόματος τιθεμένη, ἣ ἐνέργεια καλεῖται. Ἐπιδέχεται δὲ πρόσωπα μὲν ὁμοίως τοῖς ῥήμασι, πτώσεις δὲ ὁμοίως τοῖς ὀνόμασιν, οἷον, ἐγὼ, σὺ, οὗτος, ἐκεῖνος, ἡμέτερος, ὑμέτερος, νωΐτερος, σφωΐτερος. Εἰσὶ δὲ καὶ ἁπλαῖ τινὲς τῶν ἀντωνυμιῶν καὶ σύνθετοι· ἁπλαῖ μὲν, ἐμὲ, σὲ, ἕ· σύνθετοι δὲ, ἐμαυτὸν, σαυτὸν, ἑαυτόν (4).

Ὑποτακτικὸν, μὴ πίης.

Περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίᾳ (5)· « σφέτερον » πατέρ' ὑμνείουσαι (6) », ἀντὶ τοῦ ὑμέτερον. Περὶ τὰς μετοχὰς, ὡς

Οὐκ ἂν (7) ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,

ἀντὶ τοῦ, πληγεῖσαι. Περὶ τὰ ἄρθρα·

Μακροῖσι ξυστοῖσι τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο (8).

Περὶ τὰς προθέσεις·

Κάππεσον (9) ἐν Λήμνῳ·

(1) Il. Ξ, 287. — BD, περιμήκεστον.

(2) Codices, ὡς.

(3) Legerim πορεύεται.

(4) B, pro σαυτὸν ἑαυτὸν, lacunulam exhibet. Debuit lacuna esse multo major; nam quod sequitur mancum est. Refero observationem de μὴ πίης ad Callimachi fragmentum supra p. 239. Plura, inquam, perierunt.

(5) Non est ἐν in D. Ceterum locus est confusus ac mutilus. Conf. supra pag. 239.

(6) Hes. Opp. 2.

(7) Il. Θ, 455.

(8) Il. Ο, 388. BD, σφιν.

(9) Il. Α, 593. — B, λίμνῳ.

καὶ παρὰ Θουκυδίδῃ κεῖται· « εἰς (1) τὸ ἡραῖον ἐκαθέζοντο »· καὶ παρὰ Μενάνδρῳ·

Καθίζάνει μὲν ἔνιοτ' εἰς τὰ σήσαμα·

καὶ ἐν ψεύδει, ἐπίσημον (2)· παρ' Εὐριπίδῃ·

Πολλὴ μὲν ἐν βροτοῖσι (3), κοὐκ ἀνώνυμος
Θεὰ κέκλημαι Κύπρις, οὐρανοῦ τ' ἔσω,

ἀντὶ τοῦ ἔνδον. Περὶ τοὺς συνδέσμους, ἐάν τις τῷ μὲν τὸ δὲ μὴ ἐπενέγκῃ· οἷον,

Τρωσὶν (4) μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδὴς,
Παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα.

Τοῦ λόγου (5) ἀρεταὶ μὲν ἕξ, ἑλληνισμὸς, σαφήνεια, συντομία, κυριολογία, εὐσυνθεσία, εὐπρέπεια· κακίαι δὲ ταύταις ἀντικείμεναι, ἀσάφεια, μακρολογία, ἀκυρολογία, κακοσυνθεσία, ἀπρέπεια, βαρβαρισμός.

Ἑλληνισμὸς μὲν οὖν ἐστὶ λέξις ὑγιὴς καὶ ἀδιάστροφος (6), ἡ λόγου μερῶν πλοκὴ κατάλληλος· βαρβαρισμὸς δέ ἐστι λέξις ἡμαρτημένη παρὰ (7) τὴν συνήθειαν. Διαφέρει δὲ βαρβαρισμὸς σολοικισμοῦ, ὅτι ὁ μὲν σολοικισμὸς τὴν τάξιν βλάπτει τοῦ λόγου, ὁ δὲ βαρβαρισμὸς τῆς λέξεως (8).

(1) Thuc. I, 24. — B, περὶ Θουκυδίδῃ. BD, ὅραιον. Cf. p. 240.

(2) Legendum ἐν ψοφοδεεῖ. Cf. p. 240, ubi locus est integrior.

(3) Eurip. Hipp. I. — Inserui ἐν βροτοῖσι. B, οὐρανῶν. Cf. p. 240.

(4) Il. Γ, 16. Sustuli δὲ ante ὤμ. et mox addidi καί. Cf. p. 240.

(5) Quæ inde sequuntur consentiunt cum tractatu anonymo a Valckenario post Ammonium edito pag. 193, quem Herodiani esse quum nos jam docuerit Villoisonus Diatr. p. 175, id nunc nostris codicibus confirmatur.

(6) Codices, διάστροφος.

(7) Codices, περί.

(8) Scilicet ἐστὶ τῆς λέξεως. Valckenarianus textus, τὰ ἔπη τῆς λέξεως, sensu caret; varietas Villoisoniana, τὰ ἐπὶ τῆς λέξεως, non est nitida.

Γίνεται δὲ ὁ βαρβαρισμὸς κατὰ τρόπους ὀκτὼ, κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ ἐναλλαγὴν, ἢ συναλοιφὴν, ἢ διαίρεσιν, ἢ τόνους, ἢ χρόνους, ἢ πνεῦμα.

Περὶ μὲν οὖν πρόσθεσιν (1) βαρβαρίζουσιν οἱ λέγοντες Σωκράτην, Δημοσθένην· τὰ γὰρ εἰς ης λήγοντα σύνθετα οὐ προσλαμβάνει ἐπὶ τῆς αἰτιατικῆς τὸ ν, ὅταν παρ' οὐδέτερον (2) πρὸς τὴν κατάληξιν, ἢ ῥῆμα ἐπὶ τέλος ἐμφαίνηται.

Περὶ δὲ ἀφαίρεσιν, ὡς εἴ τις λέγει τὸν Ἑρμῆ· δεῖ γὰρ τὸν Ἑρμῆν (3).

Περὶ δὲ μετάθεσιν (4), ὡς οἱ λέγοντες τὸν δίφρον δίρφον, καὶ τὸν Μυτιληναῖον Μιτυληναῖον (5)· ἀπὸ γὰρ Μύτωνος τοῦ κτίστου Μυτιλήνη καλεῖται.

Περὶ δὲ ἐναλλαγὴν, ὅσοι λέγουσιν ἀντὶ τοῦ ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην· ὅσα γὰρ ἀπὸ συμφώνων ἄρχεται τῶν φωνηέντων (6) ἐν τῷ ἐνεστῶτι χρόνῳ, ταῦτα κατὰ παρατατικὸν ἀπὸ τοῦ ε ἄρχεται, οἷον, λέγω ἔλεγον· οὕτω καὶ μέλλω ἔμελλον, καὶ βούλομαι ἐβουλόμην, καὶ δύναμαι ἐδυνάμην.

Περὶ συναλοιφὴν, ὡς Μένανδρος λέγει,

Ὁ θἄπρος δὲ τῶν δυοῖν Διοσκόρων (7),

ἀντὶ τοῦ φάναι ὁ ἕτερος· ἡ γὰρ τοιαύτη συναλοιφὴ γίνεται ἐπὶ οὐδετέρου ἄρθρου, ὅταν αὐτῷ ὄνομα

(1) B, παρὰ μ. ο. πρόθεσιν.

(2) Codices, παρ' οὐδ. Valck. ὅταν ἢ παρ' οὐδετέρων, sine sensu fere. Villois. ὅταν ᾖ παρ' οὐδέτερα; bene. Forsan, παρῇ οὐδέτερον.

(3) D, ἑρμῆ.

(4) Erunt ergo barbarismi species novem. Et supra Valck. ἐννέα pro ὀκτὼ exhibuit, ac in indice μεταθέσει est post ἐναλλαγῇ.

(5) Codices, μιτυλ. μυτιλ. De hujus nominis scriptura monui ad Aristoph. Eq. 834; ad Herod. Epim. p. 84.

(6) Valcken. τῶν ῥημάτων.

(7) Ut Menander, dixerat Chrysippus τὸν θἄτερον τῶν Διοσκούρων: cf. not. ad Mœr. p. 432.

ἀπὸ φωνήεντος ἀρχόμενον ἐπιφέρηται, οἷον τὸ ἕτερον λέγω θάτερον· ἐπὶ δὲ ἀρσενικοῦ οὐδαμῶς.

Περὶ δὲ διαίρεσιν, ὡς ὅταν Ἡσίοδος λέγῃ (1)·

Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀντίθεον Πολυδεύκεα·

οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει (2), ἀλλ' εἰς η· οἷον Δημοσθένεα Διογένεα, Δημοσθένη Διογένη.

Περὶ δὲ χρόνους βαρβαρίζουσιν οἱ λέγοντες ἐὰν βούλομαι καὶ ἐὰν ἔρχομαι, ἐπειδὴ τὰ ὑποτακτικὰ τοῖς ὁριστικοῖς μιγνύουσι· φέρομαι, ἐὰν φέρωμαι, λέγομαι, ἐὰν λέγωμαι· οὕτω καὶ ἐὰν βούλωμαι, ἐὰν ἔρχωμαι.

Ὁμοίως καὶ (3) περὶ τόνους βαρβαρίζουσιν οἱ λέγοντες ἀκρᾶτον προπερισπωμένως· δεῖ γὰρ λέγειν, ἄκρατόν ἐστιν· ἡ γὰρ στέρησις, προτιθεμένη τῶν δισυλλάβων ὀνομάτων εἰς ος ληγόντων, ἀναβιβάζει τὸν τόνον, οἷον, ἄκακος, ἄφθαρτος· οὐκοῦν ἄκρατος.

Περὶ (4) χρόνους βαρβαρίζουσιν οἱ λέγοντες πίνακις (5) ἐκτεταμένως· δεῖ γὰρ λέγειν πινακὶς καὶ κεραμὶς, ὡς θυεὶς καὶ σανίς.

Περὶ δὲ πνεῦμα βαρβαρίζουσιν οἱ λέγοντες αὔρειον δασέως· δεῖ γὰρ ψιλῶς, ἐπεὶ εἴρηται παρὰ (6) τὴν αὔραν, ἥτις ἕωθεν ἐκ τῶν ποταμῶν ἀναδίδοσθαι φιλεῖ·

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό (7).

(1) D, λέγει. B, λέ. In ipso versu codicum exhibeo scripturam. Alius est textus Valckenarii, quem nolim tacuisse. Tacuit et Villoisonus. In editiones Hesiodi versus nondum fuit receptus.

(2) B, λήγουσα.

(3) Si schedulis fides, est ὁμοίως δὲ in D.

(4) D, ἐπὶ, si bene notavi.

(5) Ita codices ferunt. Forsan πινάκις.

(6) B, περί.

(7) Odyss. E, 469. — BD, ψυχή.

Ἄλλως τε καὶ διὰ ψιλοῦ ἀντιστοίχου (1) ἐστὶν ἡ συναλοιφή· εἰ γὰρ ἐδασύνετο, διὰ τοῦ θ ὤφειλε συνηλεῖφθαι (2).

Ἔνιοι (3) μὲν λέγουσιν ἑλληνισμὸν εἶναι τὸν ποιητὴν (4), ἔνιοι δὲ τὴν κοινὴν διάλεκτον, ἥτις ἐγένετο συνελθόντων τῶν Ἑλλήνων εἰς Ἴλιον, ἄλλοι δὲ τὴν ἐτυμολογίαν ἥτις ἄχρι τοσούτου ἦλθεν εἰς Κόρινθον (5), καὶ πρὸς παίδευσιν γραμματικῆς ἔλαβε τοὺς παῖδας τῶν πολιτῶν. Ἔπειτα ἐρωτηθείς τις τί ἐστιν ἑλληνισμὸς, ἔφη, τὸ πάσαις ταῖς διαλέκτοις ὀρθῶς χρῆσθαι.

Βαρβαρισμός ἐστιν ἁμάρτημα ἐν (6) λόγῳ γινόμενον παρὰ (7) τὴν τῶν ἑλληνιζόντων συνήθειαν. Βαρβαρισμὸς εἴρηται οἱονεὶ βαρυαυδησμός (8) τις ὤν. Γίνεται δὲ τρόποις πέντε, προσθέσει, ἀφαιρέσει, ἐναλλαγῇ, μεταθέσει, καὶ περὶ προσῳδίας. Προσθέσει γράμματος, ὡς ἐάν τις λέγῃ Αἰσχίνους, δέον εἰπεῖν Αἰσχίνου· ἀφαιρέσει, ὡς ἐάν τις λέγῃ Δημοσθένου, δέον εἰπεῖν Δημοσθένους· ἐναλλαγῇ γράμματος, ὡς

(1) BD, ἀντιστίχου : imo στοιχείου. Vide Valck. editionem. Mox B, διὰ τὸ θ.

(2) BD, συνειλῆφθαι. Requirebatur tempus verbi συναλείφω.

(3) Quæ inde sequuntur non comparent in Valckenarii editione præter unam sententiam suo loco infra indicandam. Alius sunt, opinor, auctoris.

(4) Sic codices. An τὴν ποιητικήν?

(5) Sic codices. Locus lacunosus. Statim D, τῆς γραμμ., si tamen bene notavi; quod moneo ac jam monui, quia schedulis utor ante multos annos scriptis, et quibus nunc parum fido. Res tamen non tanti est, ut eas ad ipsum codicem exigam.

(6) D, οὐ pro ἐν.

(7) BD, περί. Scholiastes Pindari Ol. VIII, 51 : ἀπυζόμενοι, ἢ παραπτόμενοι .... ἢ περὶ τὴν ἄτην, τουτέστιν ἐν ἄτῃ ἐγένοντο. Legendum παρά. Cf. p. 230.

(8) D, βαρυαυπσμός. Conf. supra pag. 238.

τὸ δίρφος, δέον εἰπεῖν δίφρος (1)· μεταθέσει γράμματος, ὡς κίσηλις, δέον εἰπεῖν κίσηρις. Γίνονται δὲ βαρβαρισμοὶ καὶ περὶ προσῳδίας. Λέγομεν (2) δὲ βαρβαρίζειν καὶ τὸν ἀλλοφύλῳ λέξει (3) χρώμενον, ὡς εἴ τις τὸ μὲν ὑπαυχένιον κερβικάριον λέγει, τὸ δὲ χειρόμακτρον μάππαν.

Ἔμφασις (4) δέ ἐστιν, ἥπερ δι᾽ ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν, οἷον·

Αὐτὰρ (5) ὅτ᾽ εἰς ἵππον καταβαίνομεν ὃ κάμ᾽ Ἐπειός.

Ἐν τῷ καταβαίνομεν τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. Ὅμοιον δὲ κἀκεῖνο·

Πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι (6)·

καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔννοιαν, ὡς βαπτισθέντος τοῦ ξίφους οὕτως, ὥστε θερμανθῆναι.

(1) B sine δέον εἰπεῖν δίφρος. Male sedem permutaverunt nomina ἐναλλαγῇ et μεταθέσει. Conf. pagg. 230, 238, 258.

(2) Hæc sententia, λέγομεν... μάππαν, est apud Valckenarium pag. 192.

(3) Addidi λέξει. Cangius, qui, Gloss. sub Κερβικάριον et Μάππαν, eum locum e codice 2929, mihi D, protulit, exhibuit male ἀλλοφύλου.

(4) Sequentia de emphasi sua sede mota sunt, pertinueruntque ad librum de figuris. Similia reperi in Vita Homeri pag. 297 Galeanæ.

(5) Odyss. Λ, 523. — BD, ἀτάρ.

(6) Il. Π, 333.

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΑΚΥΡΟΛΟΓΙΑΣ.*

Ἀκυρολογία ἐστὶ λέξεων τῶν περὶ τὸν (1) αὐτὸν τρόπον ἀναστρεφομένων οὐ προσεχὴς χρῆσις. Γίνεται δὲ ἀκυρολογία, ὅταν τις ἀκύρῳ φωνῇ χρήσηται, παρεὶς τὴν κυριωτέραν· οἷον, ἐάν τις εἴπῃ ῥύγχος ἀνθρώπου (2), ἀντὶ τοῦ προσώπου. Ῥύγχος μὲν ἐπὶ τετραπόδων ζώων τάσσεται, ῥάμφος δὲ ἐπὶ πτηνῶν, ὄψις δὲ καὶ πρόσωπον ἐπὶ ἀνθρώπου. Διαφέρει δὲ ῥύγχος καὶ πρόσωπον ὥσπερ τοῦ φωνεῖν τὸ ὠρύεσθαι, καὶ τοῦ γῆμαι τὸ γήμασθαι, καὶ τοῦ τεκεῖν τὸ γεννῆσαι, καὶ τὰ λοιπὰ τὰ ἑξῆς ἐπαγόμενα κατ' ἀντιπαράθεσιν.

Διαφέρει μὲν οὖν τὸ φωνεῖν τοῦ ὠρύεσθαι (3), ὅτι τὸ μὲν φωνεῖν ἐπ' ἀνθρώπου τάσσεται, τὸ δὲ ὠρύεσθαι ἐπὶ λύκου. Παρατηρητέον οὖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστου ὄνομα, οἷον, μυκᾶσθαι ἐπὶ αἰγῶν, βληχᾶσθαι ἐπὶ προβάτων, βρωμᾶσθαι (4) ἐπὶ ὄνων, χρεμετίζειν ἐπὶ ἵππων, βρυχᾶσθαι ἐπὶ λεόντων, ἀῤῥίζειν (5) ἐπὶ κυνῶν, παρ' Ἀθηναίοις, ἀπὸ τῆς αρ φωνῆς (παρ' ἡμῶν τούτοις τὸ ὑλακτεῖν λέγε-

* E codd. regg. 2551, 2929.

(1) Inserui τόν.

(2) Araros Athenæi III, 48, et Grammatici in Bekkeri Anecd. p. 113, de deo ῥύγχος dixit: Ὁ γὰρ θεὸς τὸ ῥύγχος εἰς ἡμᾶς στρέφει. Sed talia non grammaticorum legibus sunt obnoxia, quum sint ridiculi causa quæsita.

(3) De vocibus animalium nonnulla protuli ad Herodiani Epimerismos. Cf. Fabric. Bibl. Gr. tom. I, pag. 724, et ad Sext. Emp. p. 698; et Addenda.

(4) De hoc verbo vide not. ad Herod. Epimer. p. 9.

(5) Simile ferme verbum illud latino *hirrire*.

ται)· καὶ ἐπὶ τῶν πτηνῶν, κρώζειν μὲν ἐπὶ κορωνῶν καὶ κοράκων, κοκκύζειν (1) δὲ ἐπὶ ἀλεκτρυόνων καὶ κοκκύγων, τρυζόζειν ἐπὶ τρυζόνων.

Τὸ δὲ γῆμαι (2) τοῦ γήμασθαι διαφέρει, ὅτι γαμεῖ μὲν ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. Καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ γήμασθαι εἰπὼν,

> Γημαμένη (3) ᾧ υἱῷ· ὁ δ', ὃν πατέρ' ἐξεναρίξας,
> Γῆμε·

καὶ διασύρων τινὰ Ἀνακρέων ἐπὶ θηλύτητι (4)·

> Καὶ θάλαμος ἐν ᾧ κεῖνος
> Οὐκ ἔγημεν, ἀλλ' ἐγήματο·

καὶ Αἰσχύλος ἐν ἀσυμβάνῃ (5)·

> Σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δ' ἐμοί (6).

Τὸ μὲν γεννῆσαι ἐπὶ τοῦ πατρὸς, τὸ δὲ τεκεῖν ἐπὶ τῆς μητρός· ὅθεν οὐ κυρίως εἴρηκεν Ὅμηρος,

> Ξάνθου (7) δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς·

καὶ,

> Τίκτε (8) μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων.

Θῦσαι μὲν τὸ θυσιάσαι (9). Θύει γὰρ τὰ βρώματα σφάξαι (10), τό τε ζῶον ἱερουργῆσαι. Καὶ Ὅμηρος τὴν διαφορὰν αὐτῶν τετήρηκεν, ἐπὶ μὲν τοῦ θῦσαι εἰπὼν,

(1) Mann. κοκύζειν.

(2) Nil differt hic loci Herodianus ab Ammonio p. 36.

(3) Od. Λ, 273. Mann. ὅδ' ὅνπερ ἐξαναρίξας γῆμαι.

(4) Anacreon Fragm. p. 345, Fisch.; mihi p. 77 : cf. Elmsl. ad Acharn. 850.

(5) Ammon. ἐν Ἀμυμώνῃ.

(6) Mann. σὺ...ἐμοὶ δὲ γαμεῖν.

(7) Il. Ξ, 434. Mann. τίκε.

(8) Il. Φ, 188. Mann. τίκτει. Ceterum pervulgatum est poetas sæpissime verbo τίκτειν sic esse abusos.

(9) Lacuna hic est paucorum verborum, facile supplendorum. De discrimine verborum θῦσαι καὶ σφάττεσθαι, cf. Ammon. p. 72, et Hesych. in θῦσαι cum nota.

(10) Hæc non capio. Est lacuna.

...............θεοῖσι (1) δὲ θῦσαι ἀνώγει
Πάτροκλον... ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς·

ἐπὶ δὲ τοῦ σφάξαι,

Αὐέρυσαν (2) ἐπὶ πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.

Τὸ δὲ ἀγανακτεῖν μὲν τὸ (3) ὀργίζεσθαι· διαπονεῖν (4) δὲ τὸ περί τι καταγίνεσθαι καὶ ἐνεργεῖν· ὡς Ὅμηρος·

Ὣς (5) οἱ μὲν πονέοντο·

τουτέστιν ἐπόνουν καὶ ἐνήργουν (6)· καὶ τὸ σύνθετον διεπονοῦντο. Καὶ πάλιν,

Αὐτὰρ (7) ἐπεὶ παύσαντο πόνου.

Πορεύεσθαι (8), βαδίζειν· ὑπάγειν, ὑπὸ ζυγὸν ἄγειν βόας ἢ ἵππους, ἢ γυναῖκα ὑπὸ τὸν ἄνδρα, ὃ καὶ βέλτιον, κατ' ἐμὴν δόξαν, ἤ τι τοιοῦτον. Καὶ Ὅμηρος·

.....ὕπαγε (9) ζυγὸν ὠκέας ἵππους.

Οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, ὥσπερ ὑπόγραμμον ἀντὶ τοῦ πρόγραμμον, καὶ ὑφηγητὴν ἀντὶ τοῦ προηγητὴν,

(1) Il. I, 219. Mann. ἀνώγει καὶ ὅλον ἐν πυρὶ βάλε θραύσας, et θράλας.

(2) Il. A, 459. Man. αὖ ἔρ.

(3) Mann. τοῦ.

(4) Etymol. Gud. corrigatur ex hoc loco, διαπορεῖσθαι prave exhibens pro διαπονεῖσθαι: διαπορεῖσθαι τοῦ ἀγανακτεῖν διαφέρει· διαπορεῖσθαι μὲν τὸ περί τι γίνεσθαι καὶ ἐνεργεῖν· ἀγανακτεῖν δὲ τὸ ὀργίζεσθαι. Eadem comparâtio verborum ἀγανακτεῖν et διαπονεῖσθαι reperitur in Lexico Differentiarum quod e codice 2552 mihi descripsi: διαπονεῖσθαι τὸ περί τι καταγίνεσθαι καὶ ἐνεργεῖν· ὅτι τὸ ἐπόνουν καὶ ἐνήργουν, καὶ συνθέσει διεπονοῦντο· ἀγανακτεῖν δὲ τὸ ὀργίζεσθαι. Intelligit, me non monente, lector verba ὅτι τὸ ἐπόνουν referenda esse ad Homeri locum, quem librarius indiligens omisit. Ceterum hanc comparationem fieri posse nunquam putaveram.

(5) Il. E, 84.

(6) Man. ἐνέργουν. Cf. p. 266.

(7) Il. A, 467. Mann. ἀτάρ.

(8) Conf. Ammon. p. 140.

(9) Il. Π, 148.

καὶ ὑφηγεῖσθαι ἀντὶ τοῦ προηγεῖσθαι, ὥς φησιν Ἀριστοφάνης ὁ κωμικός· « ἐγὼ δ' ὑπέρω (1) τὸν ὄρθρον παντὶ » προείς. » Καὶ οὕτως ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, τουτέστιν εἰς τὸ ἔμπροσθεν πορεύεσθαι· καὶ κέχρηται τῇ λέξει καὶ Εὔπολις ἐν Βάκχαις (2)·

Σὺ δ' ὕπαγ' εἰς (3) τοὔμπροσθεν.

Τὸ ἰχθύεσθαι τοῦ κυνηγετεῖν διαφέρει· κυνηγετεῖν μὲν γάρ ἐστι τὸ κύνας ἄγειν, ἰχθύεσθαι δὲ τὸ ἰχθύας ἀγρεύεσθαι. Ὁ οὖν λέγων, ἐκυνηγέτησα τοὺς ἰχθύας, ἀκυρολογεῖ (4).

Ὁ τρίβων (5) τοῦ ῥάκους διαφέρει· ὁ τρίβων γὰρ τὸ ἤδη ἀποβεβληκὸς τὰς κροκίδας (6), παρὰ τὸ ἤδη τετρῖφθαι· ῥάκος δέ, τὸ διεῤῥωγὸς ἱμάτιον· ὡς Ὅμηρος·

.... ἠῶθε (7) δὲ τὰ σὰ ῥάκεα δνοπαλίξεις·

τουτέστι διὰ χειρῶν ἄξεις, περιβάλλεσθαι μὴ δυνάμενος.

Λίβανος (8) μὲν αὐτὸ τὸ δένδρον καὶ ὁ τόπος· λιβανωτὸς δὲ ὁ καρπὸς αὐτοῦ, τὸ θυώμενον (9). Ὁ γοῦν λέγων λίβανον τεθυμένον (10), ἀκυρολογεῖ· δέον γὰρ λέγειν λιβανωτόν.

Πένης μέν ἐστιν ὁ διὰ τῆς πενίας τὰ πρὸς τὴν

(1) In loco desperato ipsissimam exhibui diligentissime codicis scripturam. Cf. Ammonius, et Brunck. fragm. Aristophanis pag. 170.

(2) Ammon. Βάπταις.

(3) Mann. ὑπάγεις.

(4) Man. ἀκυρολογία.

(5) Man. τρίβων, sine ὁ.

(6) Malim κροκύδας: conf. ad Aristoph. t. IV, p. 292. Ac praeterea puto scribendum ὁ ἤδη ἀποβεβληκώς. Ceterum eadem scriptura est et in Lexico Differentiarum, quod modo memoravi.

(7) Odyss. Ξ, 512. Mann. εἴωθε.... δροπαλίζειν.

(8) Conf. Ammon. p. 89.

(9) Mann. θυόμενον. Scripsit forsan auctor θυμιώμενον, ut est apud Ammonium.

(10) Man. πθυμένον.

τροφὴν πορίζων (1)· πένεσθαι γὰρ τὸ ἐνεργεῖν· ὡς Ὅμηρος·

Ὣς (2) οἱ μὲν πονέοντο·

τουτέστιν ἐπόνουν καὶ ἐνήργουν (3). Πτωχὸς δὲ, ὁ δι' ἔνδειαν τῶν (4) πρὸς τὴν τροφὴν πτώσσων· ὡς Ὅμηρος (5)·

Ἀλλ' (6) ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθεν, οὐκ ἐθελήσει
Ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
Βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ' ἄναλτον.

Οὐλὴ μέν ἐστιν ἡ ὑγιασμένη (7) σάρξ ἐκ τραύματος παλαιοῦ· ὡς Ὅμηρος·

Οὐλὴν τήν ποτέ μιν (8) σῦς ἤλασεν·

ὠτειλὴ δὲ, τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι· ὡς Ὅμηρος·

Αὐτίκα (9) δ' ἔῤῥεεν αἷμα κατ' οὐταμένην ὠτειλήν,

καὶ « κελαινεφὲς ἐξ ὠτειλῆς. »

Νεαρὸν μέν ἐστι τὸ νεωστὶ ἀρυσθὲν ὕδωρ, πρόσφατον δὲ τὸ κρέας τοῦ νεωστὶ ἐσφασμένου (10) ζώου, ἀντὶ τοῦ πεφονευμένου· σφάξαι γὰρ τὸ φονεῦσαι· ὡς Ὅμηρος·

Τρεῖς (11) ἑνὸς ἀντὶ πεφάσθαι.

(1) Si sic Herodianus scripsit, ipse ἀκυρολογεῖ, δέον πορίζομενος λέγειν, ἢ ἑαυτῷ πορίζων. Ammonius, conferendus p. 111, ut est scriptor diligentissimus, recte dixit: πένης..... ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν πορίζομενος τὸν βίον.

(2) Il. E, 84.

(3) Man. ἐνέργουν. Cf. p. 264.

(4) Mann. τῷ.

(5) Odyss. P, 226.

(6) Mann. ἀλλ' ἐπειδὴ ἔργα ἔργον ἐπ. ἀ. πτωχὸς κ. δ. β. αἰτ. βόσιν ἣν γαστέρα ἄν.

(7) Cf. Ammon. p. 107. Mann. ὑγιαμένη.

(8) Odyss. T, 393. Mann. ποτ' ἐμήν.

(9) Il. P, 86, et Δ, 140. Vide Valcken. ad Ammon. p. 107.

(10) Man. ἐσφαμένου.

(11) Il. N, 447.

Ὁ οὖν λέγων νεαρὸν τὸ κρέας, καὶ πρόσφατον τὸ ὕδωρ, ἀκυρολογεῖ (1).

Τὸ μὲν φωλεὸς ἐπὶ τῶν ἑρπετῶν ζώων τάσσεται, κοίτη ἐπὶ ἀνθρώπων ῥητέον τὸ κοιτάζειν (2), ἐπὶ δὲ τῶν ἑρπετῶν τὸ φωλεύειν, ἐπὶ δὲ τῶν πτηνῶν τὸ νοσσεύειν. Ὁ γοῦν λέγων νοσσιὰν τέκνων, ἀκυρολογεῖ· τέκνα γὰρ ἐπὶ ἀνθρώπων, νεοσσοὶ ἐπὶ ὀρνίθων, σκύλακες δὲ κυνῶν, νεβροὶ ἐλάφων, σκύμνοι λεόντων. Παρατηρητέον δὲ καὶ περὶ τῶν λοιπῶν τὰ οἰκεῖα ἑκάστου, ὡς ἔφην, ὀνόματα, πρὸς τὸ μὴ ἀκυρολογεῖν.

Τὸ ἕνεκεν (3) τοῦ χάριν διαφέρει, περὶ τὴν τῶν προσώπων διαφοράν· τὸ μὲν γὰρ ἐπὶ τῶν ἐχθρῶν καὶ ἐναντίων, τὸ δὲ ἐπὶ τῶν οἰκείων καὶ φίλων· ὡς τὸ (4) ἄν τις εἴπῃ, ὁ Ὀδυσσεὺς ἐστράτευσεν εἰς Ἴλιον χάριν Ἀλεξάνδρου, ἀκυρολογεῖ· τὸ γὰρ ὀρθὸν οὕτως ἔχον ἐστὶν, ἕνεκεν Ἀλεξάνδρου, χάριν δὲ Μενελάου καὶ Ἀγαμέμνονος.

Τὸ θράσος τοῦ θάρσους (5) διαφέρει, ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπ' ἀγαθοῦ λαμβάνεται, τὸ δὲ ἐπὶ κακοῦ· καὶ τὸ μὲν θαρσεῖν ἐπὶ τοῦ ἀνδρείου τάσσεται, τὸ δὲ θρασύνεσθαι ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου. Διὸ καὶ οἱ παλαιοὶ οὕτως αὐτὸ ὁρίζονται· θάρσος δὲ ἀλόγιστον τόλμα (6). Ὅθεν Εὐριπίδης ἁμαρτάνει λέγων·

(1) Man. ἀκυρολογία.

(2) Hic est lacunula, sic implenda: κοίτη ἐπὶ ἀνθρώπων· ὥστε ἐπὶ μὲν ἀνθρώπων ῥητέον τὸ κοιτάζειν· cf. Ammon. p. 145, qui fons est loci.

(3) Cf. Ammon. pag. 53, et Abresch. Dilucid. Thucyd. p. 805.

(4) Pro ὡς τὸ forsan legendum ὥστε, quod cum ἀκυρολογεῖ jungatur. Man. mox sine ὁ.

(5) Man. θάρσου. Cf. Ammon. p. 71, et Matth. ad Eur. Med. 466.

(6) Non hæc sunt omnino integra. Pro θάρσος, ut sibi auctor constet, scribendum θράσος, et ἀλόγιστος.

Οὔτι (1) θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
Φίλους κακῶς δράσαντ' (2) ἐναντίον βλέπειν.

Σικελοὶ (3) μὲν λέγονται οἱ ἐν τῇ Σικελίᾳ βάρβαροι, οἱ ἀπὸ Σικελοῦ τοῦ Ἰταλοῦ βασιλέως κατοικήσαντες τὴν νῆσον· Σικελιῶται δὲ, οἱ ἀπὸ τῶν Ἑλληνίδων πόλεων Ἕλληνες μετοικήσαντες εἰς Σικελίαν.

Τὸ πρότερος (4) ἐπὶ δυοῖν τάσσεται, ὡς Ὅμηρος ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος·

Τὸν (5) καὶ Τληπόλεμος πρότερος πρὸς μῦθον ἔειπε·

τὸ δὲ πρῶτος ἐπὶ πλειόνων, ὡς Ὅμηρος ἐπὶ τῶν ἀριστέων·

Ὦρτο (6) πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Τὸ δὲ ἕτερος (7) ἐπὶ δυοῖν τάσσεται, ὡς Ὅμηρος·

Φολκὸς (8) ἔην, χωλὸς δ' ἕτερον πόδα·

τὸ δὲ ἄλλος ἐπὶ πλειόνων, ὡς Ὅμηρος·

Οἴσετε (9) δ' ἄρν', ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν,
Γῇ τε καὶ Ἠελίῳ· Διὶ δ' ἡμεῖς οἴσομεν ἄλλον.

Τὸ ἕκαστος (10) ἐπὶ πλειόνων, οἷον, ἑπτὰ ἦσαν οἱ ἐπὶ Θήβας στρατεύσαντες· τούτων ἕκαστος μὲν πόλιν (11) κατέσχε.

(1) Eurip. Med. 466.
(2) Mann. δραπέντ'.
(3) Cf. Ptolem. Ascalon. apud Fabric. Bibl. Gr. t. VI, p. 162, et ap. Valcken. ad Ammon. p. 77; Larch. ad Herod. IV, 15.
(4) Mann. πρόπερον. Cf. Ammon. p. 119.
(5) Il. E, 632.
(6) Il. H, 162.
(7) Mann. ἕτερον. Cf. Ammon. p. 61; Bachm. Anecd. t. II, p. 376.
(8) Il. B, 217.
(9) Il. Γ, 103. Mann. ἀρνὸν... ἕτερον δὲ μέλανα, et μέλαιναν.
(10) Mann. ἕκαστον.
(11) Man. πάλιν. Locus est mutilus, quum μὲν indicet fuisse oppositionem cum conjunctione δὲ, et desit discriminis significatio, quod inter ἕκαστος et ἑκάτερος usus statuit.

Τὸ μὲν πότερος ἐπὶ δυοῖν τάσσεται, οἷον· πότερος ἀνδρειότερος Αἴας ἢ Ἕκτωρ; τὸ δὲ τίς ἐπὶ πλειόνων, οἷον· τίς ἀνδρειότερος τῶν ἐπ' Ἰλίῳ στρατευσάντων;

Τὸ μὲν δύο ἐπὶ προσώπων τάσσεται, οἷον· δύο ἦσαν οἱ Διόσκουροι· τὸ δὲ δεύτερος ἐπὶ τάξεως, οἷον· « πρῶτοι παρετάξαντο (1) Θηβαῖοι, δεύτεροι Πλα- » ταιεῖς. »

Τὸ δὲ ὅμοιον παρατηρητέον καὶ ἐπὶ τρεῖς· καὶ τρίτον ἀντὶ τοῦ τρεῖς καὶ τέταρτον ἀντὶ τοῦ τέσσαρα, ἀκυρολογία περὶ τὴν τάξιν τῶν ἀριθμῶν. Τινὸς ἀντὶ ἀλλήλων (2).

Τὸ μὲν ἑαυτοὺς ἐπὶ τῶν καθ' ἑαυτοὺς λεγομένων ἐστὶν, οἷον, Αἴας ὁ Τελαμώνιος καὶ Μενοικεὺς καὶ Κρέων ἑαυτοὺς ἀπέκτειναν, τουτέστιν ἕτερος τὸν ἕτερον (3). Ὅθεν καὶ Μένανδρος ὁ κωμικὸς ἀκυρολογεῖ λέγων· « οὐκ ὀρίσαμεν αὐτοῖς ἤδη εἰμι σῶς (4). »

(1) Mann. παρέταξαν. Sumsi lectionem meliorem Lexici Differentiarum de quo supra fuit injecta mentio. Modo mann. δεύτερον.

(2) Man. ἀλλήλοις. Nexum quis sit non capio. Lacuna est. Puto hæc corrupta et hiulca pertinere ad sequentem regulam qua discrimen vocum ἑαυτοὺς et ἀλλήλους grammaticus explicabat, eodem fere modo ac Etymol. Gud. quod cf. pag. 156. Inde correxi mann. lectionem, ἐπὶ τῶν καθ' ἑαυτῶν.

(3) Est et hic lacuna sic fere supplenda ex Etym. Gudiano: ἀπέκτειναν, τουτέστιν ἑκάτερος ἑαυτόν· τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπεπλεγμένων, οἷον, Ἐτεοκλῆς καὶ Πολυνείκης ἀλλήλους ἀπέκτειναν, τουτέστιν ἕτερος τὸν ἕτερον.

(4) Scripturam codicis 2551 fideliter exhibui. Alter, αὐτοῖς ἤδη εἰμὶ σῶς.

ΤΡΥΦΩΝΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΠΕΡΙ ΤΡΟΠΩΝ.*

Τοῦ λόγου εἰς εἴδη (1) μεριζομένου, τὸ μέν ἐστι κυριολογία, τὸ δὲ σχῆμα καὶ τρόπος.

Κυριολογία μέν ἐστιν ἡ τῶν κατὰ φύσιν λέξεων τετυχυῖα φράσις· τότε γὰρ οἰκείως προφέροιτο ἄν τις, ὅταν μὴ παρατραπῇ τοῦ κυρίως λεγομένου, οἷον,

> Πὺξ μὲν ἐνίκησα (2).......
> Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα.

Τρόπος δέ ἐστι λέξεως φράσις ἐκ τῆς καθ' ἑαυτὴν ὁπωσοῦν ἰδιότητος μετατροπὴν εἰληφυῖα· διὸ καὶ τρόπος καλεῖται. Παρείληπται δὲ ἤτοι χρείας ἕνεκα, ἢ (3) τοῦ κόσμου περὶ τὴν φράσιν.

Τρόποι δέ εἰσι κζ', ἀλληγορία, μεταφορά, κατάχρησις, μετάληψις, ὑπερβατὸν, ἀναστροφὴ, συνεκδοχὴ, ὀνοματοποιΐα, μετωνυμία, περίφρασις, πλεονασμὸς, παραπλήρωμα, ἔλλειψις, ὑπερβολὴ, εἰρωνεία, σαρκασμὸς ἤγουν χλεύη, ἀστεϊσμὸς, ἀντίφρα-

* E codd. regiis 2551 et 2929. Diversus est hic tractatus ab alio Tryphonis opusculo περὶ τρόπων, quod fuit a Blomfieldio, in Museo Cantabrigiensi t. I, p. 43, editum, indeque repetitum inter liminares libellos quos Londinensi Stephaniani Thesauri editioni præfixit Barkerus; et, quod ex præclara G. Hermanni Dissertatione De hyperbole didici, in Museo Vratisliaviensi t. I.

(1) Cod. 2929, vel B, ἤδη. In altero, vel A, videtur esse εἴδη, e correctione. Matritensis liber, cujus prima verba protulit Yriartus Catal. p. 373, recte habet εἴδη.

(2) Il. Ψ, 634....

(3) Inserui ἤ.

σις, ἐναντίωσις (1), ἀντωνομασία, ἀμφιβολία, σύλληψις, αἴνιγμα, ἐπαύξησις, ἐξοχὴ, ὑστερολογία, καὶ σχῆμα.

Ἀλληγορία (2) ἐστὶ φράσις ἕτερον μέν τι δηλοῦσα, ἑτέρου δὲ ἔννοιαν παριστῶσα. Τότε δὲ καταχρῶνται δεόντως τῇ ἀλληγορίᾳ, ὅταν, ἢ δι' εὐλάβειαν, ἢ δι' αἰσχύνην, οὐ δύνωνται (3) φανερῶς ἀπαγγεῖλαι, ὃν τρόπον παρὰ Καλλιμάχῳ ἐν ἰάμβοις· « Τὸ πῦρ » ὅπερ ἀνέκαυσας πολλὴν πρόσω κέχρηκε φλόγα· » ἴσχε δὲ δρόμον μαργοῦντος (4) ἵππου. » Ταῦτα γὰρ οὐ κυρίως εἴρηται· οὐ πυρὸς, οὐδὲ ἱπποδρομίας ἐστὶ λόγος, ἀλλ' ὥσπερ αἰδούμενος ἐκδηλῶν ἤλεγξε (5) τὴν ὑπερβολὴν τῆς θρασύτητος.

Μεταφορά ἐστι λόγου μέρος μεταφερόμενον, ἤτοι ἐμφάσεως ἢ ὁμοιώσεως ἕνεκα. Τῶν δὲ μεταφορῶν εἴδη ἐστὶ πέντε· αἱ μὲν γὰρ αὐτῶν εἰσὶν ἀπὸ ἐμψύχων εἰς ἄψυχα, αἱ δὲ τοὐναντίον ἀπὸ ἀψύχων ἐπὶ ἔμψυχα, αἱ δὲ ἀπὸ ἐμψύχων ἐπὶ ἔμψυχα (6), αἱ δὲ ἀπὸ ἀψύχων ἐπὶ ἄψυχα, αἱ δὲ ἀπὸ πράξεως

(1) Ἐναντίωσις infra in troporum explicatione non comparebit; sed post ἀμφιβολίαν exhibebitur παρεκβάσεως, quæ ab indice abest, explicatio. Matritensis troporum index ἐναντίωσιν hoc ipso loco tenet.

(2) Diversus est valde Trypho de allegoria a Blomfieldio editus p. 45: ἀλληγορία ἐστὶ λόγος ἕτερον μὲν τι κυρίως δηλῶν, ἑτέρου δὲ ἔννοιαν παριστάνων.... Scribo, μέν τι. Ipsum illum locum ediderat ex codice Leidensi Hemsterhusius ad Callim. Fragm. 456.

(3) Codex Leid. Hemsterhusii δύνανται, quod relictum a viris doctissimis fuisse miror.

(4) Hemsterh. μαργῶντος. Sed Ernstius ex eodem Leidensi libro eadem recitans verba, in epistola ad Ernestium, p. 45 collectionis Tittmannianæ, habet πολλην προσακεχρηκε.... μαργουντος..... Et μαργοῦντος recitat, ibid. pag. 47, Valckenarius. Mei libri AB, μαργῶντος.

(5) B, ἔλεγξε. Hemsterhusius, ἤλεγξε.

(6) Codd. ἄψυχα.

ἐπὶ πρᾶξιν. Ἀπὸ μὲν ἐμψύχων ἐπὶ ἄψυχα, ὅταν ὁ ποιητὴς ἐπὶ τῶν δοράτων λέγῃ (1)·

> Πολλὰ δὲ (2) καὶ μεσσηγὺ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
> Ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι·

τὸ γὰρ προθυμεῖσθαι ἐπὶ ἐμψύχων ἐστὶν, ὅπερ τῷ δόρατι περιέθηκεν ἀψύχῳ ὄντι· τοῦτο δὲ εἴρηται κατ' ἔμφασιν. Ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, ὡς τὸ,

> Ἄσβεστος δ' ἄρ' (3) ἐνῶρτο γέλως·

τὸ γὰρ ἄσβεστον ἀπὸ ἀψύχου τοῦ πυρὸς μετηνέχθη ἐπὶ ἔμψυχον τὸν γέλωτα· καὶ τοῦτο κατ' ἔμφασιν. Ἀπὸ δὲ ἐμψύχων ἐπὶ ἔμψυχα, οἷον, « ποιμένα » λαῶν (4) », τὸν βασιλέα τῶν ὄχλων· καὶ γὰρ ἀμφότερα ἐπὶ ἔμψυχα· ὡς γὰρ ὑποτέτακται τῷ ποιμένι τὰ ποίμνια, οὕτω τῷ βασιλεῖ οἱ ὄχλοι· ποιμὴν δὲ ὁ βασιλεύς· εἴρηται δὲ τοῦτο καθ' ὁμοιότητα. Ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, ὡς ἐπὶ τοῦ,

> Σπέρμα (5) πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὔοι·

καὶ γὰρ ἀμφότερα ἄψυχα. Ἀπὸ δὲ πράξεως ἐπὶ πρᾶξιν, οἷον·

> Ἤδη πού τινα κεῖνος ἐπὶ φρεσὶ μῆτιν ὑφαίνει (6).

Τὸ γὰρ ὑφαίνειν ἐπὶ τῶν ὑφασμάτων τάσσεται κυρίως, νῦν δὲ ἐπὶ τῆς κατασκευῆς τῆς βουλῆς εἴληπται. Τῶν δὲ μεταφορῶν αἱ μέν εἰσιν ἐμφάσεων δηλωτικαὶ καὶ οὐ σώζουσαι τὴν ὁμοιότητα, αἱ δὲ ὁμοῦ καὶ τὴν ἔμφασιν.

(1) B, λέγει.
(2) Il. Λ, 573. Addidi δέ.
(3) Il. A, 599. Codd. δ' ἐνῶρτο.
(4) Sæpius hoc in Iliade est.
(5) Od. E, 490. Cf. p. 292.
(6) Codd. ὑφαίνη.

Κατάχρησίς ἐστι μέρος λόγου, κυρίως καὶ ἐτύμως (1) κατονομασθὲν, λεγόμενον ἐπί τινος ἑτέρου ἀκατονομάστου (2) κατὰ τὸ οἰκεῖον, οἷον, πυξὶς, χαλκὶς (3), καὶ τριήραρχος (4). Καὶ ἡ μὲν πυξὶς κυρίως καὶ ἐτύμως ἐστὶν ἡ ἐκ ξύλου πύξου κατεσκευασμένη· καὶ τὰ μολίβδινα χαλκίδας προσαγορεύομεν, καὶ τριήραρχον οὐ μόνον τοὺς τριήρεων ἄρχοντας, ἀλλὰ καὶ πεντήρεων καὶ ἑξήρεων· καὶ τὸν ἀνδριάντα καὶ γυναικὸς λέγομεν. Καὶ Ὅμηρος, « νέκταρ (5) ἐῳνοχόει· » οὐ κατὰ τὸ οἰκεῖον, ἀλλ' ἀκατονόμαστόν (6) ἐστι.

Μετάληψίς ἐστι λέξις διὰ τῆς συνωνύμου τὸ ὁμώνυμον δηλοῦσα, οἷον·

Ἔνθεν (7) δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι·

καὶ γὰρ ἀπὸ τοῦ σχήματος μεταληπτικῶς τὰς νήσους θοὰς εἴρηκε. Τὸ γὰρ θοὸν καὶ ὀξὺ (8) συνώνυμόν ἐστι, καὶ τούτῳ δὲ ὁμώνυμόν ἐστι πᾶν τὸ κατὰ σχῆμα ὀξύ. Ὀφείλων γὰρ ὀξείαις εἰπεῖν, θοῇσιν εἶπεν, ἐπεὶ τὸ θοὸν σημαίνει καὶ τὸ ταχὺ καὶ τὸ ὀξύ. Καὶ πάλιν·

(1) Codd. hic et infra, ἐτοίμως.

(2) Codd. ἀπό...ἀκαπανομάσου. In Blomfieldiano Tryphone pag. 44 κατά τι οἰκεῖον mendosum esse patet.

(3) A, πὺξ χαλκῆ. B, χαλκῆς.

(4) Videtur excidisse, καὶ ἀνδριάς. Conf. Trypho Blomf. pag. 44, ubi, πὺξ μὲν λέγεται ἡ ἐκ πύξου καπεσκευασμένη : reponendum πυξίς. Cf. p. 290.

(5) Il. Δ, 3. De illa catachresi verbi οἰνοχοεῖν, ut et de οἰκοδομεῖν πόλιν ac similibus, cf. Niceph. Gregoras inter meas ad Aristæn. notas p. 721 ; notula ad Phœn. 28, ubi ἱπποβουκόλοι ; Schachtius ad Matth. XXI, 33, ubi ᾠκοδόμησε πύργον. Incertus scriptor ex quo Eustathius, referente Valckenario Schol. in N. T. t. I, p. 222, citavit verba ᾠκοδόμησε θυσιαστήριον, auctor est libri Geneseos XII, 7.

(6) Codd. ἀλλὰ κατον.

(7) Od. O, 299.

(8) Codd. θοάς. Addidi καὶ ὀξύ. Trypho Blomf. p. 48 : τὸ γὰρ θοὸν καὶ ὀξὺ συνωνυμεῖ. Mox codices, τοῦτο.

Τεῦκρος (1) δὲ, τόξου χρώμενος φειδωλίᾳ,
Ὑπὲρ τάφρου πηδῶντας ἔστησε Φρύγας·

ὁ γὰρ κατὰ τὸν βίον φειδωλὸς συνωνύμως καὶ ἀκριβὴς καλεῖται, ὁ δὲ συνωνυμεῖ τῷ κατὰ τὴν τέχνην ἀκριβεῖ, τουτέστιν εὐστόχῳ.

Ὑπερβατόν ἐστι φράσις ἀναμέσον τὰ ἑξῆς ἔχουσα. Γίνονται δὲ τὰ ὑπερβατὰ ἐν εἴδεσι δυσὶν, εἴτε ἐν λέξει, οἷον·

Πάντῃ (2) γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
Λάϊνον·

ἔστι δὲ καὶ ἐν συνθέτοις λέξεσιν ὑπερβατὰ γινόμενα, οἷον·

Νήπιοι (3), οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
Ἤσθιον,

ἀντὶ τοῦ κατήσθιον. Τὰ δ' ἐν λόγῳ γινόμενα ἔχει οὕτως· παρ' Ὁμήρῳ·

Ὣς (4) ἔφατ'· Ἀργεῖοι δὲ μέγ' ἴαχον—ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν—
Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο·

τὸ γὰρ ἑξῆς οὕτως ἀποδίδοται· ὡς ἔφατο· Ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες. Ἔνιοι δὲ καὶ ἐν ταῖς συλλαβαῖς ὑπερβατὰ πεποιήκασιν, ὡς καὶ Σιμωνίδης ἐν ἐπιγράμμασιν (5)· « Ἑρμῆν τόνδ' ἀνέθη-

(1) Codd., T. δὲ τὸ τόξον φειδωλίᾳ ὑπὲρ... Sequutus sum Tryphonem Blomfieldii. Versus sumtos esse putat Blomfieldius e Sophoclis Teucro. Mox pro συνωνυμεῖ malim ὁμωνυμεῖ.

(2) Il. M, 177. Addidi λάϊνον. — Verba εἴ τι ἐν λέξει non habere suam antithesin videntur, scilicet εἴ τι ἐν λόγῳ. Sed mox eam habebunt, syntaxi immutata, idque legitime.

(3) Od. A, 8.

(4) Il. B, 333.

(5) An sit editum id Simonidis fragmentum non memini.

» κεν Δημήτριος, ὄρθια δ' οὐκ ἐν προθύροις », ἀντὶ τοῦ οὐκ ὄρθια δέ.

Ἀναστροφὴ δέ ἐστι λέξις ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας, δευτέραν ἔχουσαν τάξιν (1). Ἔνιοι δὲ καὶ ἐπὶ πλειόνων λόγου μερῶν. Ἐν μὲν προθέσει οὕτως· « ᾧ ἔπι (2) πόλλ' ἐμόγησα· » ἐν δ' ἐπιρρήματι·

> Τὰς (3) Εὔμηλος ἔλαυνε, ποδώκεας ὄρνιθας ὥς,

ἀντὶ ὡς ὄρνιθας· ἐν δὲ συνδέσμοις·

> Ἤτοι (4) μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν,
> Οὐδὲ λίην λυπρή, ἀτὰρ δ' εὐρεῖα πέτυκται.

Ταῦτα μὲν πρὸς μίαν (5) ἀναστρέφεται λέξιν· ἀλλαχοῦ δέ ἐστι πρὸς πλείονα μέρη λόγου τὴν ἀναστροφὴν ἔχειν, οἷον·

> Ἕκτορος (6) ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι·

ἡ γὰρ ἀντὶ πρόθεσις οὐκέτι μιᾷ συντάσσεται, ἀλλὰ δυσὶ λέξεσι, καὶ τὸ ἑξῆς, ἀνθ' Ἕκτορος ὠφείλετε.

Συνεκδοχή ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, προσδεομένη δέ τινος ἔξωθεν διανοίας. Ἔχει δὲ τέσσαρας διαφοράς. Καὶ γὰρ ἀπὸ τοῦ μέρους τὸ ὅλον δηλοῖ, καὶ ἀπὸ τοῦ ὅλου τὸ μέρος, καὶ ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, καὶ ἀπὸ τοῦ συμβόλου τὸ κύριον. Ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον, οἷον, « θεὰ λευκώλενος Ἥρη· » ἀπὸ γὰρ τοῦ βραχίονος τὸ ὅλον σῶμα δηλοῖ. Ἀπὸ δὲ τοῦ ὅλου τὸ μέρος, οἷον « βόας αὔας », ἀντὶ τοῦ βύρσας, τουτέστι τὰς

(1) Tryph. Blomf. p. 50: ἀναστροφή ἐστι λέξις ἣν ἐχρῆν προηγεῖσθαι δευτέραν ἔχουσα τάξιν. Cf. p. 300.

(2) Il. A, 162.

(3) Il B, 764.

(4) Odyss. N, 242.

(5) Cod. B, λίαν.

(6) Il. Ω, 254.

ἀσπίδας· ἀπὸ γὰρ ὅλου τοῦ βοὸς ἐδήλωσε τὸ μέρος, ἤγουν τὸ δέρμα. Ἀπὸ δὲ συμβαίνοντος τὸ προηγούμενον, οἷον,

Ἑζόμενοι (1) λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσι·

τὸ λεύκαινον γὰρ ἀντὶ τοῦ συντόνως ἤρεσσον· ἐκ γὰρ τοῦ κωπηλατεῖσθαι συμβαίνει λευκαίνεσθαι τὸ ὕδωρ. Ἀπὸ δὲ συμβόλου τὸ κύριον, οἷον (2),

Σκῆπτρον (3) μέντοι δῶκε τετιμῆσθαι περὶ πάντων·

ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν βασιλείαν, εἶπε τὸ σύμβολον, δεικνὺς ἐκ τούτου τὸ κύριον, ἤγουν (4) τὴν βασιλείαν· σύμβολον γάρ ἐστι τῆς βασιλείας τὸ σκῆπτρον.

Ὀνοματοποιΐα ἐστὶ μέρος λόγου πεποιημένον κατὰ μίμησιν τῶν ἀποτελουμένων ἤχων, οἷον,

Λίγξε βιός (5).
Αὐλῶπις (6) τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.

Φωνῆς δὲ τὸ τοιοῦτον, οἷον, ἡ ὀλολυγὴ καὶ ὁ μυκηθμός. Καὶ

...τοὺς (7) ἐλεεινὰ κατήσθιε τετριγῶτας·

Μετωνυμία ἐστὶ μέρος λόγου ἐφ' ἑτέρου (8) μὲν τινος κυρίως κείμενον, ἕτερον δὲ σημαῖνον κατὰ τὸ οἰκεῖον.

.......ὑπείρεχον (9) Ἡφαίστοιο·

(1) Od. M, 172.—Poterit conferri auctor Vitæ Homeri pag. 295 Galeanæ, ubi de synecdoche apud poetam agit.—Mox codex B sine γάρ.

(2) A sine οἷον.

(3) Il. I, 38.

(4) B, κύριον ῥῆμα.

(5) Il. Δ, 125.

(6) Il. N, 530.

(7) Il. B, 314.

(8) Codd. ἀφ' ἑτέρου.

(9) Il. B, 426. Hesychius: Ἥφαιστος, ὅτε μὲν ὁ θεός, ὅτε δὲ μετωνυμικῶς τὸ πῦρ. Male editum fuit ὅπ...ὅπ. De tropo cf. Fabric. ad S. Empir. p. 552. Exempla latinæ metonymiæ in nomine

σημαίνει δὲ τοῦ πυρὸς, ὅπερ ἐστὶν οἰκεῖον τοῦ Ἡφαίστου. Καὶ πάλιν·

.... ἔνθα (1) δ' ἔπειτ' ἀφίει μένος ὄμβριμος Ἄρης,

ἀντὶ τοῦ ὁ σίδηρος. Καὶ ὅταν λέγωμεν τὸν οἶνον Διόνυσον, καὶ τὸν σῖτον Δήμητραν, καὶ τὰ παραπλήσια.

Περίφρασίς ἐστι διὰ (2) τῆς αὐτοτελοῦς καὶ κυρίας λέξεως διὰ πλειόνων αὐτὸ τὸ κύριον δηλοῦσα, πρὸς αὔξησιν τοῦ σημαινομένου, οἷον (3), « βίη Ἡρα- » κλείη (4) » καὶ « ἱερὸν μένος Ἀλκινόοιο » ἀντὶ τοῦ ὁ Ἡρακλῆς καὶ ὁ Ἀλκίνοος.

Πλεονασμός (5) ἐστι φράσις ἐν αὐτῇ πλεονάζουσα, ἢ ὡς ἐνδέχεται κατὰ ἀναλογίαν. Τῶν δὲ λεγομένων πλεονασμῶν, ἃ μὲν μέτρων ἕνεκα φράζονται, ἃ δὲ ἐμφάσεως· καὶ μέτρων μὲν τὰ τοιαῦτα, οἷον, « Αἰνείαο, » Πριάμοιο, λελόγχασιν », καὶ πᾶν ὃ λέγεται κατὰ παραγωγήν· ἐμφάσεως δὲ σημαντικὰ τὰ τοιαῦτα·

Ὠμοφάγοι (6) μιν θῶες ἐν οὔρεσι δαρδάπτουσι·

καὶ,

Ἑρπύζων (7) παρὰ θῖνα·

Vulcanus collegit Roselus, qui contendebat in Horatianis verbis « graves Cyclopum Vulcanus » ardens urit officinas » Vulcanum esse tropice ignem, quod nemini probabit, qui oden lyrice, ut fuit a poeta composita, intellexerit.

(1) Il. N, 444.

(2) Sic codex. Forsan διασάφησις.

(3) A sine οἷον.

(4) Codd. ἡρακλείη. Pindarus Ol. x, 29 : ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βίη Ἡρακλέος ἐκτίσσατο. Jungunt interpretes Θέμιτες Διός, non sine difficultate; equidem malim struere, θέμιτες ὦρσαν ἀεῖσαι ἀγῶνα Διός. Erit θέμιτες pro θέμις, ut in Callimachi loco de Tiresia, οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμιδες : et Olympicum certamen apte vocari ἀγῶνα Διός quis neget?

(5) B, ὁ πλεονασμός.

(6) Il. Λ, 479.

(7) Od. N, 220.

τὸν νωθρὸν ἐμφαίνει καὶ ἄστατον· καὶ,

Πόντον (1) ἐπ' ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.

Παραπλήρωμά ἐστι φράσις ἢ λέξις ἐκ περισσοῦ παραλαμβανομένη, οἷον,

Ἀρχοὺς (2) αὖ νηῶν ἐρέω νῆάς τε προπάσας·

ἡ γὰρ πρὸ παρέλκει· καὶ,

Ἀστέρ' ὀπωρινῷ (3) ἐναλίγκιος, ὅστε μάλιστα,

ἀντὶ τοῦ ὃς μάλιστα· καὶ ἐπὶ τοῦ,

Καί κέ τις (4) ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων.

Ἔλλειψίς ἐστι φράσις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη, ἀλλὰ μιᾷ λέξει ἢ πλείοσιν ἐλλείπουσα, οἷον, « κόπτων ἀμφοτέρῃσιν (5)· » ἐλλείπε γὰρ ταῖς χερσίν. Ὁμοίως,

Ἐν καθαρῷ (6), ὅθι δὴ νεκύων διεφαίνετο χῶρος.
Ἀλλ' εἰ μὲν (7) δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ,
Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται·

ἐλλείπει γὰρ τὸ (8) καλῶς ἂν εὖ ἔχοι· ἀπεκρέματο γὰρ ἡ διάνοια. Ἔνιοι δὲ τὸν τρόπον τοῦτον προσυπακουόμενον καλοῦσιν.

Ὑπερβολή ἐστι λόγος ὑπεραίρων, ἐμφάσεως ἕνεκα, τὸ ἀληθές· ὡς τὸ,

Ἀλλ' ὅτε (9) δὴ σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων,

(1) Od. Ε, 84. Codd. διρδέσκετο.

(2) Il. Β, 493. Cod. A, νεῶν ὠρώων. Cod. B, ναῶν ἐρέων.

(3) Il. Ε, 5.

(4) Il. Δ, 176. Cod. A, τῶ κι τις. B, τῶ κέν τις.

(5) Od. Σ, 28.

(6) Il. Κ, 199. Omiserunt librarii annotationem de ea quæ est in καθαρῷ ellipsi.

(7) Il. Α, 135.

(8) Codices, τοῦ.

(9) Il. Υ, 226....

καὶ

Ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.

Εἰ μὲν οὖν μυθικῶς τις ἀκούει τὸ τοιοῦτον, ἀκυρολογία φανήσεται· εἰ δὲ μὴ, ὑπαχθήσεται τῇ ὑπερβολῇ· ὡς τὸ,

Λευκότεροι (1) χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

Εἰρωνεία ἐστὶ φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μεθ' ὑποκρίσεως, οἷον,

Ἀντίνο', ἦ (2) μάλα καλὰ πατὴρ ὡς κήδεαι υἱοῦ.

Σαρκασμός ἐστι φράσις τοῖς ῥητοῖς λεγομένη τοὐναντίον μετὰ χλευασμοῦ, οἷον,

Νῦν μὲν (3) δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις
Εὐνῇ ἐνὶ μαλακῇ καταλέγμενος.

Ἀστεϊσμός ἐστι φράσις διὰ τῶν ἐναντίων τὸ κρεῖττον ἠθικῶς ἐμφαίνουσα· οἷον εἴ τις, πλούσιος ὢν, εἶναι πένης λέγοι, καὶ ὁ τεχνίτης ἄτεχνος, καὶ ἀγαθὸς φαῦλος. Ἔνιοι δὲ τὸν ἀστεϊσμὸν ὡρίσαντο προσποίησιν εἶναι τῆς ἀληθείας.

Ἀντίφρασίς ἐστι φράσις τοῖς κρείττοσι τοῦ παρισταμένου (4) τὴν κακίαν ὅσον ἐφ' ἑαυτῇ περιστέλλουσα· οἷον ὅταν πτωχὸν πλούσιον καλῶμεν, τὴν χολὴν γλυκεῖαν (5). Ἡ ἀντίφρασίς ἐστι λέξις τὸ ἐναντίον διὰ τοῦ ἐναντίου σημαίνουσα, χωρὶς ὑποκρίσεως. Τίθεται δὲ ἤτοι κατ' εὐφημισμὸν ἢ κατ' ἐναντίωσιν·

(1) Il. K, 437.
(2) Od. P, 397. A, ἦ μευ καλά.
(3) Od. X, 195.
(4) B, περισταμένου : mox, ἐφ' ἑαυτήν.
(5) A, χολήν : in B prima litera fuit erasa. Trypho Blomf. p. 57 : ὅταν τὴν χολὴν ἄδειαν λέγωμεν. Erat in codice ἠδεῖαν : unde scribendum fuit χολὴν ἡδεῖαν.

κατ' εὐφημισμὸν μὲν, ὅταν τὴν ἄκανθαν βάτον λέγωμεν, ἧς οὐκ ἔστιν ἐπιβῆναι, καὶ τὴν χολὴν γλυκεῖαν· κατ' ἐναντίωσιν δέ·

.... οὐδ' ἄρα (1) πώγε ἰδὼν γήθησεν Ἀχιλλεύς,

ἀντὶ τοῦ ἠνιάθη.

Ἀντωνομασία ἐστὶν ὄνομα ἐπιθετικὸν, ὃ καὶ μόνον ἀντὶ κυρίου παραλαμβάνεται, οἷον,

Ὄφρ' εἰδῇ (2) Γλαυκῶπις ὅτ' ἂν ᾧ πατρὶ μάχηται,

ἀντὶ τοῦ ἡ Ἀθηνᾶ· καὶ οὕτω γὰρ δηλοῖ. « Γαιήοχε (3) » κυανοχαῖτα », ἀντὶ τοῦ, ὦ Πόσειδον. Ἡ ἀντωνομασία ἐστὶ λέξις δι' ἐπιθέτων ἢ διὰ συσσήμων ὄνομα ἴδιον ἢ προσηγορικὸν σημαίνουσα· δι' ἐπιθέτων μὲν, οἷον, « Ἀτρείδη κύδιστε (4) », ἀντὶ τοῦ, ὦ Ἀγάμεμνον· διὰ δὲ συσσήμων, οἷον, « ἐρίγδουπος (5) πόσις » Ἥρης » καὶ « Λητοῦς καὶ (6) Διὸς υἱός. »

Ἀμφιβολία ἐστὶ φράσις δύο ἢ πλείονας ἐννοίας σημαίνουσα, οἷον,

Χεῖρας (7) ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·

ἄδηλον γὰρ πότερον τὰς τοῦ Πατρόκλου χεῖρας λέγει ἢ τοῦ Ἀχιλλέως. Καὶ τὰ ἐπὶ (8) τοῦ Ἑρμοῦ εἰρημένα·

Σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικὼς,
Ὅστε κατὰ δεινοὺς κόλπους ἁλὸς ἀτρυγέτοιο
Ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ (9),

(1) Il. A, 330.
(2) Il. Θ, 406.
(3) Il. O, 174.
(4) A, μέγιστε, superscripto κύδιστε. Cf. Il. A, 122.
(5) Il. H, 411.
(6) Il. A, 9. Addidi καὶ.
(7) Il. Σ, 317.
(8) Inserui ἐπὶ.
(9) Od. E, 51. Addidi πυκινὰ...ἅλμῃ. Lexicon in Bekkeri Anecdotis p. 332 male exhibet ἰχθύσιν ἀγρώσσων. Recte ἰχθῦς in alio Lexico ibid. pag. 213.—Ut sententia non titubet, puto scribendum, ἄδηλον πότερον λητέον....

λη πλέον ἴν' ἢ πυκινὰ (1) ἀγρώσσων, ἢ πυκινὰ περιδεύεται ἅλμη.

> Κήρυκες (2) δ' ἀνὰ ἄστυ θεῶν φέρον ὅρκια·

τοῦ θεῶν δυναμένου κεῖσθαι ἐπί τε τῶν κηρύκων καὶ (3) τῆς πόλεως καὶ τῶν ἱερῶν, ἐπεὶ ἡ Ἴλιος τετείχισται ὑπὸ τῶν θεῶν· διὸ καὶ πολλάκις αὐτὴν λέγει Ἴλιον ἱρήν (4). Καὶ πάλιν·

> Τρῆχόν (5) τ' αἰχμητὴν Αἰτώλιον Οἰνόμαόν τε·

καὶ ὁμοίως·

> Δεινὸν (6) δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα.

Γίνεται δὲ ἡ ἀμφιβολία λέξει, ὡς, Αἴας· ἄδηλον γὰρ τίς τῶν δύο· καὶ λόγῳ·

> Δὸς (7) δέ γέ μ' ἄνδρα ἑλεῖν καὶ ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν.

Παρέκβασίς ἐστι λόγος χάριν ἱστορίας ἢ γενεαλογίας παραλαμβανόμενος, ὡς τὰ τοῦ Φοίνικος περὶ Κουρήτων·

> Μέμνημαι (8) τόδε ἔργον ἐγὼ πάλαι, οὔτι νέον γε,
> Ὡς ἦν, ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι·
> Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενέχαρμοι,

καὶ τὰ ἑξῆς.

Σύλληψίς ἐστι, δυοῖν ὑποκειμένων πραγμάτων, τὸ πραχθὲν ἰδίᾳ ὡς (9) κοινῶς παραλαμβάνουσα· οἷον, Ὀδυσσεὺς περὶ τῆς ἀναιρέσεως Δόλωνος λέγει Νέστορι,

(1) B, πυκινόν.
(2) Il. Γ, 245.
(3) Addidi καί. Mox A, τετειχίσθαι.
(4) Codex B, Ἴλιον εἰς ἱερήν: et εἰς in A.
(5) Il. E, 706. Codd. τρηχυν.
(6) Il. Φ, 240. Codd. δεινά.
(7) Il. E, 118. Codd. δή γε.
(8) Il. I, 527.
(9) Cod. ἢ, non ὡς. Proximus locus Homeri est Il. K, 561.

Τὸν τρισκαιδέκατον σκοπὸν εἵλομεν·

καί τοι τοῦ Διομήδους μόνον αὐτὸν ἀνελόντος. Τὸ μὲν ὑπόδειγμα τοῦ ἑνὸς ἔχει πρὸς ἕνα τὴν σύλληψιν· ἀλλαχοῦ δὲ ἔστιν ἃ συλλαμβάνει ἕνα πρὸς πολλοὺς, ὡς ἔχει τὰ ὑπὸ Θερσίτου λεγόμενα πρὸς Ἀγαμέμνονα·

Πλεῖαί τοι (1) χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
Εἰσὶν ἐνὶ κλισίης ἐξαίρετοι, ἅς τοι Ἀχαιοὶ
Πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν·

συγκαταριθμεῖ γὰρ ἑαυτὸν τοῖς ἀριστεῦσιν, ἀσθενὴς καὶ οὐδαμινὸς τυγχάνων.

Αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ τὰ περὶ (2) τῆς κύλικος λεγόμενα·

Μηδέ (3) ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν.
Αὐτὰρ (4) ἐπὶ δ' αὐτοὶ μὲν κνίσης ἐξ ἕρον ἔντο.

Οἷον, « οὐ μητέρα μητρὸς ἄγοντο αὐαλέην καὶ ὀπτα- » λέην », ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· « ἐφ' ἑτέροισι τεκέεσσι », τοῖς ἑαυτοῦ τέκνοις· λέγει δὲ τοῖς ξένοις· τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης εἰλῆφθαι.

Ἐπαύξησίς ἐστι φράσις κατὰ πρόσθεσιν (5) αὐξάνουσα τὸ σημαινόμενον· ὡς ἔχει τὰ τοιαῦτα·

Τῶν (6) νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα·

ὠκύτερον γὰρ παρέστησε τῶν νηῶν τὸ τάχος, ἐπισυνάψας τῷ προτέρῳ (7) τὸ νόημα·

(1) Il. B, 226.

(2) Codd. παρά.

(3) Hes. Opp. 742.

(4) A, αὐτὰρ ἐπὶ δαιτὸς μὲν τεθείσης ἐξ.—Id et sequentia non poterunt intelligi, nisi meliore codice reperto, vel noto ænigmate quod Trypho explicavit. Pro εἰλῆφθαι, A, ἐκκόφθαι.

(5) B, πρόθεσιν.

(6) Od. H, 36.

(7) Imo, ut videtur, τῷ πτερῷ.

...ἀμφὶ δὲ (1) χαλκὸς ἐλάμπετο ἴκελος αὐγῇ
Ἢ πυρὸς αἰθομένοιο ἢ ἠελίου ἀνιόντος·

ἱκανὸν γὰρ τὸ ἴκελος αὐγῇ· προσθεὶς δὲ τὸ ἑξῆς, ηὔξησε τὸ σημαινόμενον.

Ἐξοχή ἐστιν ὀνόματος διαστολὴ κατὰ διαφορὰν πρὸς τὰ σημαινόμενα (2), οἷον,

Ζεὺς (3) δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν·

ὥσπερ τοῦ Ἕκτορος οὐχὶ ἑνὸς τῶν Τρώων, ἐπὶ τοῦτον ἤνεγκε (4)· κατ' ἐξοχὴν γὰρ αὐτὸν ἐδήλωσε. Καὶ ὁμοίως·

Οὐ (5) γὰρ ἔτ' Οἰνῆος μεγαλήτορος υἱέες ἦσαν,
Οὐδ' ἄρ' ἔτ' αὐτὸς ἔην, θάνε δὲ ξανθὸς Μελέαγρος.

Ὑστερολογία ἐστὶ μέρος λόγου, ὅταν ὃ δεῖ πρῶτον λέγειν ὕστερόν τις ἐπιφέρῃ (6), οἷον, « ἅμα (7) τράφεν ἠδ' ἐγένοντο », ἀντὶ τοῦ ὁμοῦ ἐγένοντο καὶ ἐτράφησαν· καὶ « δούπησε (8) δὲ πεσὼν », ἀντὶ τοῦ πεσὼν ἐδδούπησε· καὶ,

Ἀλλ' ἄγε (9) μοι τὸν ὄνειρον ὑπόκριναι καὶ ἄκουσον,

ἀντὶ τοῦ ἄκουσον καὶ ὑπόκριναι· καὶ,

Εἵματα (10) δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα,

καὶ,

Λαοὶ δ' (11) ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον.

(1) Il. X, 134.

(2) A cum bona varietate: γράφ. τὰ ὅμοια.

(3) Il. N, 1.

(4) B, ἐπὶ τούτων ἤνεγκε. Sed tmesin in tali oratione vix feram. Forsan ἐπὶ τούτων τοῦτον ἤνεγκε scribendum est.

(5) Il. B, 641.

(6) B, ὕστερον τὶς ἐπιφέρει. A, ὕστερον τὶς, tantum.

(7) Il. A, 251. Addidi ἠδ' ἐγένοντο.

(8) Il. Δ, 504.

(9) Od. T, 535. Codd. ὑπόκρινε, ut et statim.

(10) Od. E, 264.

(11) Il. Γ, 318.

Σχῆμά ἐστι σολοικισμὸς ἀπολογίαν ἔχων, ὡς ὅταν εἴπωμεν· ὁ Φίλιππος, ὃν πάντες μισοῦσιν, ἀγαθός ἐστι. Διαφέρει (1) δὲ σχῆμα σολοικισμοῦ, ἐπειδὴ σχῆμα μέν ἐστι ποιητοῦ ἢ συγγραφέως ἁμάρτημα ἑκούσιον διὰ τέχνην ἢ ξενοφωνίαν ἢ καλλωπισμὸν, σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον, οὐ διὰ τέχνην, ἀλλὰ δι' ἀμαθίαν γινόμενον.

(1) Hanc ultimam sententiam e cod. Leidensi adtulit Valckenarius ad Lesbon. p. 177. Vellem et præcedentem adtulisset, ob illud de Philippo exemplum, in quo quid sit schematis non perspicio. Codex A, ὁ Ἰωάννης ὃν πάντες ἐμοῦσιν ἀγαθός ἐστι. Ceterum de differentia schematis et solœcismi vide Grammaticum Valckenarii p. 192. Herodianus initio libri De figuris : σχῆμά ἐστιν ἀνάλλαξις φράσεως ἀπὸ τοῦ καταλλήλου ἐπὶ τὸ κρεῖττον μετά τινος ἀναλογίας· διαφέρει δὲ τοῦ σολοικισμου, ὅτι τὸ μέν ἐστι κατόρθωμα καὶ τὴν ἐξάλλαξιν εὔλογον ἔχει, ὁ δὲ σολοικισμὸς ἁμάρτημα, μηδεμίαν αἰτίαν τῆς ἀκαταλληλίας ποιούμενος. Codices 2551, 2929, σχῆμά ἐστιν ἐξάλλαξις· quod prætulerim. Judicium olim penes Walzium esto.

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΤΡΟΠΩΝ.

Τρόπος (1) ἐστὶ λέξις ἢ φράσις πεποιημένη ἢ τετραμμένη ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον κατά τινα λόγον εἰς δήλωσιν εὐπρεπεστέραν. Τὸ δὲ ὄνομα ῥηματικόν· ὡς παρὰ τὸ λέγω λόγος, καὶ παρὰ τὸ τρέπω τρόπος. Λέγεται δὲ τρόπος ἑξαχῶς· τὸ ἑκάστου ἦθος, καθὸ εὔτροπον τινὰ καὶ κακότροπον φαμέν· καὶ σχῆμα λόγου τὸ ἐν διαλεκτικῇ· εἰ ἡμέρα ἐστὶ, φῶς ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστὶν, φῶς ἐστὶν ἄρα. καὶ ὁ ἐν μουσικῇ Λύδιος, Φρύγιος· καὶ ἡ ἐπὶ πολλῆς (2) τῆς διανοίας τροπὴ, καθ' ὃ σημαινόμενον καὶ ὁ ποιητὴς τὸν Ὀδυσσέα πολύτροπον εἴρηκεν·

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον·

καὶ ἡ αἰτία, ὅτε φαμὲν, τίνα τρόπον ἀναπνοή· καὶ ὁ ἐν τῇ φράσει, εἰς ὃν ἐμπίπτει ἡ μεταφορὰ, καὶ τὰ λοιπὰ τῶν τροπικῶν ὀνομάτων. Τρόποι δέ εἰσι πλείονες· γενικώτατοι μέντοι τάξιν ἔχοντες, ιε΄· μεταφορὰ, κατάχρησις, συνεκδοχὴ, μετωνυμία, ἀλληγορία, ὑπερβολὴ, εἰρωνεία, αἴνιγμα, ὑπερβατὸν, ἀντωνομασία, ἀντίφρασις, μετάληψις, πεποιημένον, ὀνοματοποιΐα, σύλληψις. Εἰσὶ δ' οὗτοι κοινοὶ μὲν καὶ

(1) Quæ sequuntur a præcedentibus in codicibus non separantur. Quum non sint Tryphonis, lemma novum addidi. In codice Matritensi apud Yriartum p. 373, Tryphonis opusculum desinit in voce γινόμενον, isque libellus peculiari lemmate περὶ τρόπων insignitus est.

(2) A, ἐπὶ πολλῆς...τροπῆς. Forsan scribendum ἐπὶ πολλοῖς. Cf. Cocondrius statim.

τῆς ἡμετέρας συνηθείας· ἐπιπολάζουσι δὲ ἐν ποιητικῇ, διὸ καὶ ποιητικοὶ κέκληνται. Παρελήφθησαν (1) δὲ αὐτῶν οἱ μὲν κόσμου χάριν, ὡς ἡ μεταφορά, οἱ δὲ τοῦ ἀναγκαίου, ὡς ἡ κατάχρησις.

Μεταφορά ἐστι λέξις ἀπὸ τοῦ κυρίως ὠνομασμένου ἐφ' ἕτερον ὠνομασμένον μετηνεγμένη, ἀπὸ τοῦ κυρίου ἐπὶ τὸ μὴ κύριον, ἢ ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα· ὁμοιώσεως μέν·

Πάντες (2) δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης·

ὃν γὰρ ἔχουσιν οἱ πόδες ἐπὶ τοῦ σώματος λόγον, τοῦτον ἐπὶ τοῦ ὄρους ἡ ὑπώρεια· ἐμφάσεως δέ·

. . . . τὴν (3) δὲ γυναῖκα
Εὗρον ὅσην τ' ὄρεος κορυφήν·

μεταφορικῶς γὰρ ὄρους ἐξοχὴν εἶπε, βουλόμενος ἐμφῆναι τὸ μέγεθος τῆς γυναικός. Ἔτι τῶν μεταφορῶν αἱ μὲν (4) ἀπὸ πράξεως εἰς πρᾶξιν μεταφέρονται, αἱ δὲ ἀπὸ σώματος ἐπὶ σῶμα. Ἀπὸ μὲν οὖν σώματος ἐπὶ σῶμα, ὡς τό·

Αἴας (5) δὲ πρῶτος Τελαμώνιος ἕρκος Ἀχαιῶν·

ἀπὸ δὲ πράξεως εἰς πρᾶξιν, ὡς τὸ ὑφαίνειν καὶ τὸ βουλεύεσθαι. Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀντιστρέφουσιν, αἱ δὲ οὔ. Καὶ ἀντιστρέφουσι μὲν αἱ τοιαῦται·

Φθέγξατο (6) δ' ἡνίοχος νηὸς κυανοπρῴροιο,

καὶ «ἵππων κυβερνῆτηρες (7)·» ἔχουσι γάρ τι μέσον πρὸς ἀλλήλους· ὁ μὲν γὰρ τὴν τῶν ἵππων ἐξιθύνει

(1) Codices, παρελείφθησαν.
(2) Iliad. Υ, 59.
(3) Odyss. Κ, 112.
(4) Addidi αἱ μέν.
(5) Respicit, puto, Il. Ξ, 511.
(6) Adfertur, ut Homeri, ab auctore Vitæ Homeri p. 294 Galeanæ editionis.
(7) Dixit Oppianus Cyn. I, 96, ἵππων κυβερνητῆρα χαλινόν.

πορείαν, ὁ δὲ τὴν τῶν νεῶν. Οὐκ ἀντιστρέφουσι δὲ αἱ τοιαῦται·

> Νῆσος (1), τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται·

ἐστεφανῶσθαι γὰρ εἴρηκε τὴν νῆσον, ἀντὶ τοῦ κύκλωθεν περιῤῥεῖσθαι, ὅπερ οὐκ ἀντιστρέψας εἴποι ὅτι στέφανος ἡμῶν κύκλῳ τὴν κεφαλὴν περιῤῥεῖ· τὸ γὰρ τοιοῦτον γελοῖον. Ἔτι τῶν μεταφορῶν αἱ μὲν ἀπὸ γένους ἐπὶ γένη μεταφέρονται·

> Νηῶν (2) ὠκυπόρων ἐπιβαινέμεν, αἵθ' ἁλὸς ἵπποι
> Ἀνδράσι γίνονται, περόωσι δὲ πουλὺν ἐφ' ὑγρήν.

Ἵππους μὲν εἴρηκε κατὰ μεταφορὰν τὰς ναῦς· ὥσπερ γὰρ ἐπὶ τῆς γῆς διὰ τῶν ἵππων ὀχούμεθα, οὕτως ἐπὶ τῆς θαλάσσης διὰ τῶν νεῶν κουφιζόμεθα (3).

(1) Odyss. Κ, 195.

(2) Odyss. Δ, 708.

(3) In hac voce desinit libellus. Codicis Matritensis, qui amplior est, alius est finis, scilicet: οἷον, « Οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα· » ἀντὶ τοῦτον ἀρητῆρα Χρύσην. Quæ pertinere ad ὑπερβατὸν videntur. Pro τοῦτον scribendum τοῦ τόν. Ea articuli trajectio fuit a scholiastis ad Homeri locum animadversa.

ΚΟΚΟΝΔΡΙΟΥ

ΠΕΡΙ ΤΡΟΠΩΝ.*

Τρόπος ἐστὶ φράσις ἐκβεβηκυῖα τὴν κοινὴν καὶ πρωτότυπον λόγου χρῆσιν ἐπὶ τὸ κρεῖττον, ἢ λέξις ἢ φράσις ἐκ τοῦ συνήθους παρατετραμμένη ὡς ἐπὶ τὸ βέλτιον. Εἴρηται δὲ τρόπος ἀπὸ τοῦ τετράφθαι παρὰ τὴν κυρίαν καὶ νενομισμένην τοῦ λόγου φράσιν, κατὰ μεταφορὰν τῶν ὁδῶν τῶν μὴ ἐχουσῶν ἐκτροπὰς μηδὲ ἀποκλίσεις (1)· μετατρέποντες γὰρ ἀπὸ τῆς κυρίας (2) καὶ πρωτοτύπου φράσεως, ἐγκλίσεις καὶ ἐκτροπὰς μεταφορικῶς, κατὰ τὸ ἀῤῥενικὸν σχηματίσαντες, τρόπους ἐκάλεσαν.

Λέγεται δὲ τρόπος, κατὰ πρῶτον μὲν σημαινόμενον, τὸ ἑνὸς ἑκάστου ἦθος, καθ' ὃν τρόπον κακότροπον καὶ κακοήθη λέγομεν· κατὰ δεύτερον δὲ, ὁ ἐν μουσικῇ, οἷον Λύδιος, Φρύγιος, Δώριος· κατὰ τρίτον δὲ, τὸ ἐν μουσικῇ (3) σχῆμα λόγου ἴδιον, ἢ τὸ πρῶτον ἢ τὸ δεύτερον. Καλεῖται δὲ καὶ ἡ αἰτία τρόπος. Κατὰ τοῦτο οὖν ζητοῦμεν τίνι τρόπῳ ἐπιγίνεται ὕπνος ἢ ἀναπνοὴ, ἀντὶ τοῦ τίνι αἰτίᾳ. Λέγεται δὲ τρόπος καὶ ἡ τροπὴ ἐπὶ πολλὰ καὶ ποικίλα τῆς διανοίας, καθ' ὃ σημαινόμενον τρόποι νῦν εἴρηνται.

Τῶν δὲ τρόπων οἱ μὲν περὶ μίαν λέξιν θεωροῦνται, οἱ δὲ περὶ σύνταξιν, οἱ δὲ περὶ ἀμφότερα. Περὶ

* E codice 1270, p. 215. De Cocondrio nihil reperi.

(1) Ita codex. Forsan τῶν ἐχ. ἐκτρ. καὶ ἀποκλ.

(2) Codex, κυρίως.

(3) Forsan λογικῇ vel διαλεκτικῇ : conf. pag. 285. Sed est et in proximis vitium.

μὲν οὖν μίαν λέξιν, ὀνοματοποιΐα, πεποιημένον, κατάχρησις, μεταφορὰ, μετάληψις, ἀντίφρασις, μετωνυμία, ἀντωνομασία· περὶ δὲ σύνταξιν, ἀλληγορία καὶ τὰ εἴδη αὐτῆς, καὶ ἡ συνεκδοχὴ καὶ ὑπερβολὴ, καὶ περίφρασις καὶ σύλληψις· περὶ δὲ ἀμφότερα ταῦτα, ὑπερβατὸν, ἀναστροφή· ὥστε εἶναι τοὺς σύμπαντας τρόπους δέκα καὶ πέντε, ὀνοματοποιΐαν, πεποιημένον, κατάχρησιν, μεταφορὰν, μετάληψιν, ἀντίφρασιν, μετωνυμίαν, ἀντωνομασίαν, ἀλληγορίαν, συνεκδοχὴν, ὑπερβολὴν, περίφρασιν, σύλληψιν, ὑπερβατὸν, ἀναστροφήν. Τὴν δὲ εἰρωνείαν καὶ τὸ αἴνιγμα οὐ τακτέον ἐν τοῖς γενικοῖς τρόποις, ὥσπερ οὐδὲ τὴν ἀναστροφήν· ἡ μὲν γὰρ τοῦ ὑπερβατοῦ εἶδος, ἡ δὲ εἰρωνεία καὶ τὸ αἴνιγμα τῆς ἀλληγορίας.

Ὀνοματοποιΐα.

Ὀνοματοποιΐα ἐστὶ λέξις ὑπὸ τοῦ ποιητοῦ παρὰ τὰς τῶν ἤχων ἰδιότητας μιμητικῶς κατεσκευασμένη. Γίνεται δὲ ἐπὶ ὀνόματος, ἐπὶ πάθους, ἐπὶ φωνῆς. Ἐπὶ μὲν ὀνόματος·

.....σίζ' ὀφθαλμὸς (1) ἐλαϊνέῳ περὶ μοχλῷ·

ἐπὶ δὲ πάθους·

Σὺν (2) τῇ παιφάσσουσα διέσσυτο λαὸν Ἀχαιῶν·

ἐπὶ δὲ φωνῆς· ῥοῖζος, βόμβος, κολοσυρτὸς, ὀρυγμαδός (3).

(1) Odyss. I, 394. Cod. ὀφθαλμοὺς ἐλεναίω.

(2) Il. B, 450. Cod. πφάσσουσα διέσσυτο λαῶν.

(3) Frustra esset qui corrigeret ὀρυμαγδός. Nam et ὀρυγμαδὸς reperitur, v. c., in Scholiis ad Dionys. Thr. p. 877, quæ videsis. Lexicon in Bachm. Anecd. t. I: ὀρυμαγδός· θόρυβος, τάραχος, κλύπος.

Πεποιημένον.

Πεποιημένον ἐστὶ λέξις ἀπὸ τῶν ἐν βίῳ πεποιημένων ὑπὸ τοῦ ποιητοῦ γεγονυῖα. Εἴδη δὲ αὐτῆς εἰσὶ τρία, μετωνομασία, μετασχηματισμὸς, μετατύπωσις. Μετωνομασία μὲν ἐστὶν, οἷον (1) ὅταν ὁ Εὐριπίδης (2) τὸ στεφανῶσαι καὶ κισσῶσαι λέγῃ, καὶ Σοφοκλῆς (3), ἀπὸ τοῦ παιδαγωγῶ, γεροντατωγῶ. Μετασχηματισμὸς δὲ, ὅταν ἡ Πηνελόπη λέγηται (4) Πηνελόπεια, καὶ ἡ ἑσπέρα ἕσπερος, καὶ ὁ Βριαρὴς Βριάρεως (5) λέγηται. Μετατύπωσις δὲ, ὅταν ἡ ἀκρόπολις πόλις ἄκρα λέγηται.

Κατάχρησις.

Κατάχρησις ἐστὶ μέρος λόγου ἀπὸ τοῦ πρώτως κατωνομασμένου κυρίως καὶ ἐτύμως ἐπί τινος ἀκατονομάστου τασσόμενον κατὰ οἰκεῖον, ὥσπερ ὅταν ὀφθαλμὸν ἀμπέλου λέγωμεν (6), καὶ πυξίδα, κἂν μὴ ἐκ ξύλου ὑπάρχῃ, ἀνδριάντα, κἂν γυναικὸς εἰκὼν, γαλεάγραν τε καὶ τὴν ἄρκτου καὶ λέοντος, ἁλιέα τε καὶ τὸν κατὰ τὸν ποταμὸν ἰχθύας ἀγρεύοντα, τριήραρχον καὶ τὸν πεντήρους ἢ ἑξήρους νηὸς ἐπιμελητὴν, ἀνδροφόνον τε καὶ τὸν γυναικὸς ἢ παιδίου φονέα.

(1) Cod. οἷον ἐστίν.

(2) Eurip. Bacch. 203.

(3) Œdip. Colon. 339; Pel. Fragm. 1. Trypho Blomf. pag. 49: ἀναλόγως γὰρ τῷ γεροντατωγεῖν συνηθῶς ἀντὶ τοῦ παιδαγωγεῖν. Ait editor se Phavorinum sequi. Codex ipsi exhibebat ἀναλ. γ. τῷ γερ. σ. οὕτω τὸ παιδ. Hinc scribendum erat: ἀναλόγως γὰρ τὸ γεροντατωγεῖν· συνήθως οὕτω τὸ παιδαγωγεῖν. Est enim, docente Tryphone, γεροντατωγῶ exemplum onomatopœiæ κατὰ ἀναλογίαν.

(4) Cod. λέγεται, qui statim recte λέγηται exhibet.

(5) Veluti Il. Α, 403.

(6) Cod. λέγομεν.

Μεταφορά.

Μεταφορά ἐστὶν μέρος λόγου ἀπὸ τοῦ κυρίως λεγομένου μεταφερόμενον εἰς ἕτερον, ὁμοιώσεως ἢ ἐμφάσεως ἕνεκα.

..... Γέλασε (1) δὲ πᾶσα περὶ χθὼν,

καὶ,

...... τὰ (2) δ' ἐπέρρεεν ἔθνεα πεζῶν,

καὶ τὰ δόρατα

..........λιλαιόμενα (3) χροὸς ἆσαι.

Γίνεται δὲ ἡ μεταφορὰ κατὰ τρόπους τέσσαρας· ἤτοι γὰρ ἀπὸ ἐμψύχου ἐπὶ ἄψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἐμψύχου ἐπὶ ἔμψυχον, ἢ ἀπὸ ἀψύχου ἐπὶ ἄψυχον. Ἀπὸ μὲν οὖν ἐμψύχου ἐπὶ ἄψυχον·

κορυφὴν (4) ὄρεος — πόδας (5) Ἴδης·

κυρίως μὲν γὰρ κορυφὴ λέγεται ἐπὶ τῶν ζώων καὶ πόδες, ἐπὶ δὲ ὄρους ἀκρώρεια καὶ ὑπώρεια. Ἀπὸ δὲ ἀψύχου ἐπὶ ἔμψυχον·

Ἕρκος (6) Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο·

ἕρκος γὰρ εἴρηκε τὸν Ἀχιλλέα μεταφορικῶς τῶν Ἑλλήνων· ἥνπερ γὰρ ἀσφάλειαν παρέχει τὰ τείχη ταῖς πόλεσιν, ταύτην ὁ Ἀχιλλεὺς τοῖς Ἕλλησιν. Ἀπὸ δὲ ἐμψύχου ἐπὶ ἔμψυχον·

Βῆ (7) δ' ἄρ' ἐπ' Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν·

(1) Il. Υ, 362.
(2) Il. Λ, 724.
(3) Il. Λ, 574. Vide Tryphonem supra p. 272.
(4) Odyss. I, 481.
(5) Iliad. Β, 824: πόδα νείατον Ἴδης.
(6) Il. Α, 284.
(7) Respicit, puto, Il. Β, 18, 243, &c.

κυρίως γὰρ ποιμὴν καλεῖται ὁ νομεὺς τῶν προβάτων· ἔμψυχος δὲ ὁ ποιμὴν καὶ ἔμψυχος ὁ βασιλεύς. Ἀπὸ δὲ ἀψύχου ἐπὶ ἄψυχον·

> Σπέρμα (1) πυρὸς σώζων, ἵνα μή ποθεν ἄλλοθεν αὔοι·

καὶ γὰρ τὸ σπέρμα τὸ εἰς γῆν βαλλόμενον ἄψυχον, ἄψυχον ὁμοίως καὶ ὁ σπινθὴρ τοῦ πυρός.

Ἀντίφρασις.

Ἀντίφρασις (2) ἐστὶ λέξις διὰ τῶν ἀντικειμένων τὸ ἐναντίον ἢ παρακειμένων (3) παριστῶσα. Καὶ διὰ μὲν τῶν ἐναντίων·

> . . . οὐδ' (4) ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς,

ἀντὶ τοῦ ἐλυπήθη· καὶ

> . . . . τὼ δ' (5) οὐκ ἀέκοντ' ἐπετέσθην,

ἀντὶ τοῦ ἑκόντες. Διὰ δὲ τῶν παρακειμένων, καθάπερ εἰώθαμεν τὰς Ἐριννύας καλεῖν (6) καὶ σεμνὰς θεάς, καὶ μελιτώνην τὴν Περσεφόνην (7), καὶ καλίαν τὸν πίθηκον (8), καὶ τὰ τούτοις παραπλήσια.

Μετωνυμία.

Μετωνυμία δέ ἐστιν λέξις ἀντὶ ἑτέρας λέξεως

(1) Od. Ε, 490. Cf. pag. 272.

(2) Metalepsis, cui hic erat locus dandus, fuit post anastrophen posita.

(3) Codex, παρακείμενον. Trypho Blomf. p. 57 : ἀντίφρασίς ἐστι λέξις διὰ τοῦ ἐναντίου ἢ παρακειμένου τὸ ἐναντίον παριστῶσα.

(4) Il. Α, 330. Cf. p. 280.

(5) Od. Γ, 484.

(6) Legendum, καλεῖν Εὐμενίδας καὶ σ. Cf. Trypho, l. c.

(7) Theocritus xv, 94, Proserpinam vocavit μελιτώδη : notat scholiastes id nomen dictum esse κατ' ἀντίφρασιν. Huc respexisse puto grammaticum, quem fefellit memoria, vel corrupit librarius.

(8) Cf. Trypho non tentandus pag. 58.

παραλαμβανομένη κατά τινα κοινωνίαν τῶν πραγμάτων. Γίνεται δὲ πολλαχῶς· ἢ γὰρ ἀπὸ τοῦ εὑρόντος τὸ εὑρεθὲν, ὅταν Δημήτηρ ὁ σῖτος καὶ ὁ οἶνος Διόνυσος (1)· « ἐπίσθη (2) δὲ Διονύσω κύπελλα· » ἢ ἀπὸ τοῦ εὑρεθέντος τὸν εὑρόντα·

Οἶνός μ' ἔπεισε (3) δαιμόνων ὑπέρτατος,

ἀντὶ τοῦ Διόνυσος· ἢ ἀπὸ τοῦ κυριεύοντος τὸ κυριευόμενον, ὡς ὅταν σίδηρος ὁ Ἄρης καὶ τὸ πῦρ Ἥφαιστος λέγωνται· ἢ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς, « ἔκπιε τὸ ποτήριον », ἀντὶ τοῦ ἐκ τοῦ ποτηρίου οἶνον· ἢ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, οἷον ὅταν Ἀμφιτρίτην τις τὴν θάλασσαν λέγῃ. Καὶ,

Τοῖόν (4) οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων·

ἀπὸ γὰρ τῶν ἐπικειμένων ὅπλων ἐπιφέρει·

Δαῖέ οἱ (5) ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ.

Ἀπὸ δὲ τοῦ πάσχοντος τὸ διακρῖναι· ὡς τὸ,

......χλωρὸν (6) δέος,......

καὶ

.....πόλεμον (7) πολύδακρυν,.....

(1) Omissum videtur λέγωνται, et, post εὑρεθὲν, σημαίνεται. De tropo cf. supra p. 276.

(2) Forsan ἐπλήσθη.

(3) Codex, μὲ πῖσε. Cf. Trypho Blomf. p. 48, qui hoc versu anonymo utitur.

(4) Il. Ε, 7.

(5) Il. Ε, 4. In his librarius textum Cocondrii nonnullorum omissione vitiavit.

(6) Il. Η, 479. Vide Fabricium ad S. Empir. p. 366. Dixit χλωρὸν δεῖμα Æschylus Suppl. v. 567.

(7) Il. Γ, 165.

καὶ μαινόμενον Διόνυσον, καθάπερ ἀποσημαίνεται ὁ ποιητὴς λέγων·

> Ὅς (1) ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
> Σεῦε κατ' ἠγάθεον Νυσήϊον.

Ἀντωνομασία.

Ἀντωνομασία ἐστὶ λέξις ἀντὶ τοῦ κυρίου ὀνόματος παρειλημμένον ἔχουσα ὁτὲ μὲν τὸ ἐπίθετον, ὁτὲ δὲ τὸ πατρωνυμικὸν, ὁτὲ δὲ τὰ παρακολουθοῦντα ἰδίως τῷ κυρίῳ. Τὸ μὲν οὖν ἐπίθετον, « Ἐνοσίχθονι (2) » κυανοχαίτῃ », ἀντὶ τοῦ τῷ Ποσειδῶνι, καὶ,

> ......εὐσκόπῳ (3) Ἀργειφόντῃ,

ἀντὶ τοῦ τῷ Ἑρμῇ· ὁτὲ δὲ τὸ πατρωνυμικόν·

> Πηλείδης (4) μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
> Ἤϊε σύν τε Μενοιτιάδῃ,

ἀντὶ τοῦ Ἀχιλλεὺς καὶ Πάτροκλος παρείληπται· ποτὲ δὲ τὰ παρακολουθοῦντα· ὡς « Διὸς (5) καὶ Λητοῦς » υἱὸς », ἀντὶ τοῦ ὁ Ἀπόλλων, καὶ « Πριάμοιο πόλιν », ἀντὶ τοῦ τὴν Ἴλιον· καὶ παρὰ Εὐφορίωνι· « ἠελίους » τριηκοσίους ἐφόρησα (6) », ἀντὶ τοῦ ἡμέρας.

Ἀλληγορία.

Ἀλληγορία ἐστὶ φράσις ἕτερον μὲν δηλοῦσα κυρίως, ἑτέραν δὲ ἔννοιαν παριστῶσα, ὡς παρὰ Ἀλκαίῳ (7)·

(1) Il. Z, 132.
(2) Odyss. Γ, 6.
(3) Odyss. H, 137.
(4) Il. A, 306.
(5) Il. A, 9.
(6) Meinekium, qui Euphorionem edidit, consulere non potui.
(7) Sequens fragmentum ex aliio grammatico nitidius in Blomfieldii aut Matthiæ editionibus, aut in mea legi potest. Primi versus corrupta verba, sed nova.

Συνίημι τῶν ἀνέμων τὴν στάσιν·
Τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
Τὸ δὲ ἔνθεν· ἄμμε δὲ τὸ μέσον
Αἰεὶ φορήμεθα· σὺν μέλανι
Χειμῶνι μογέοντες μάλα·

διὰ γὰρ τούτων ἑξῆς ἐκ μὲν τοῦ προστυχόντος χειμὼν θαλάσσιος ὑπακούεται, κατὰ δὲ τὴν ἀλήθειαν πολιτικῶν πραγμάτων ταραχή τις ἐκφαίνεται. Ἤδη δὲ καὶ παρ' Ὁμήρῳ ἀλληγορίαι μόναι·

. . . . εἰ μὴ
Λάϊνον (1) *ἕσσο χιτῶνα, κακῶν ἕνεχ' ὅσσα ἔοργας·*

καὶ τὸ,

Καὶ (2) *δὴ φυλόπιδος πέλεται κόρος ἀνθρώποισι·*

καὶ τὸ,

. . . . καὶ δὴ χθονὶ (3) *χαλκὸς ἔχευε·*

καὶ τὸ,

Ἄμητος (4) *δ' ὀλίγιστος,*

καὶ τὸ,

. . . . ἐπὴν (5) *κλίνησι τάλαντα*
Ζεύς, ὅστ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

Εἴδη δὲ τῆς ἀλληγορίας εἰσὶ δύο, εἰρωνεία καὶ τὸ αἴνιγμα.

Εἰρωνεία ἐστὶ λόγος διὰ τοῦ ἐναντίου τὸ ἐναντίον μετά τινος ἠθικῆς ὑποκρίσεως δηλῶν (6)· ἔστι δὲ αὐτοῦ τὸ μὲν ἐφ' ἡμῶν, τὸ δὲ ἐπὶ τῶν πλησίον. Καὶ τὸ μὲν ἐφ' ἡμῶν ἀστεϊσμὸς καλεῖται καὶ ἀντιμετάθεσις· τὸ δὲ ἐπὶ τῶν πλησίον, χλευασμός, μυκτηρισμός, χαριεντι-

(1) Il. Γ, 57.
(2) Il. T, 221.
(3) Il. T, 222.
(4) Il. T, 223.
(5) Il. T, 223.
(6) Cf. Heracl. Alleg. p. 212.

σμὸς, ἐπικερτόμησις, διασυρμὸς, ἐναντίωσις· ταῦτα γὰρ τῆς εἰρωνείας τὰ εἴδη. Ἀστεϊσμὸς μὲν οὖν ἐστὶ λόγος ἀφ' ἑαυτοῦ πρὸς ἕτερον ἔχων τὴν διαβολὴν, οἷον·

Ἀντίνο' (1), ἦ μευ καλὰ πατὴρ ὡς κήδεαι υἷος.

Ἀντιμετάθεσις δέ ἐστιν εἰρωνεία προσποίησιν ἐμφαίνουσα ψόγου μὲν εἰς αὑτὸν, ἐπαίνου δὲ εἰς πλησίον, οἷον « οὐ γὰρ ἐμαχόμην, οὐδ' ἐστρατευόμην, » ἀλλ' ἔφευγον· τὸ ἐναντίον δὲ οὗτος ἔδρασε. « Μυκτηρισμὸς δέ ἐστιν χλευασμὸς μετὰ ποιᾶς κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων (2)· σαρκασμὸς δὲ καὶ χλευασμὸς μεχρὶ τοῦ σεσηρέναι καὶ παρεμφαίνεσθαι τοὺς ὀδόντας (3)· χαριεντισμὸς δὲ μετὰ προσποιήτου φιλοφροσύνης εἰρωνεία ἐπὶ κακῷ καὶ βλάβῃ γινομένη. Ἐπικερτόμησις δέ ἐστιν εἰρωνεία ἡδονὴν ἐκφέρουσα τοῦ λέγοντος, ὡς ἔχει

Ὢ πόποι (4), ἦ μάλ' ἐλαφρὸς ἀνὴρ, ὡς ῥεῖα κυβιστᾷ·
Εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν.

Διασυρμὸς δὲ εἰρωνεία διασύρουσα τὸ ἔπος (5), οἷον·

Θέρσιτ' ἀκριτόμυθε (6), λιγύς περ ἐὼν ἀγορητής.

Ἐναντίωσις δέ ἐστιν λέξις διὰ τοῦ ἐναντίου τὸ ἐναντίον σημαίνουσα, οἷον· « οὐ μὴν ἔφευγεν Ὀδυσ- » σεὺς, οὐδὲ μανίαν ὑπεκρίνατο (7). » Ἅπασι δὲ τούτοις παρακολουθεῖ τὸ σκῶμμα οὐ διακεχωρισμένον. Τὸ δὲ εἴκασμα ἐστὶ σκῶμμα καθ' ὁμοιότητα, ὡς

(1) Od. Ρ, 397. Codex, μὲν πατ... κήδεται.
(2) Cf. Trypho Blomf. p. 59.
(3) Conf. Trypho ibid.
(4) Il. Π, 745.
(5) Ita codex.
(6) Il. Β, 246.
(7) Auctor, cujus hæc sunt verba, cum Philostrato consentit Her. p. 708.

ἔχει τὸ παρ' Εὐπόλιδι (1)· « κατεικάζουσιν ἡμᾶς σχε-
» δὸν βολβῷ. » Τινὲς δὲ καὶ τὰς παροιμίας τάσσουσιν ὑπὸ τὰς ἀλληγορίας, καὶ τοὺς μύθους, οὐ πάνυ ἀστείως.

Αἴνιγμα ἐστὶ λέξις ἢ λόγος ἀποκρύπτων τὸ νοούμενον διὰ τὰ ἀνακεχωρηκότα τῶν συμβεβηκότων, οἷόν ἐστι Χαιρήμονος· « ἔαρος ἡ νύμφη, τέκνον τι μετὰ θέ-
» ρους ἐς ὕστερον· ἐν χειμῶνι δ' οἴχεται σὺν τῷ ἀνέμῳ
» κεκαρμένη (2). » Ἄμπελον γὰρ δηλοῖ διὰ τούτου.

Συνεκδοχή.

Συνεκδοχὴ ἐστὶν λέξις ἢ φράσις ἀπὸ μέρους ὅλην διάνοιαν ἐμφαίνουσα, ἢ διὰ τοῦ παντὸς τὸ μέρος. Γίνονται δὲ αἱ συνεκδοχαὶ κατὰ τρόπους τέσσαρας· ἢ γὰρ ἀπὸ μέρους τὸ ὅλον, ἢ ἀπὸ ὅλου τὸ μέρος, ἢ ἀπὸ ἐπωνύμου τὸ κύριον, ἢ ἀπὸ τοῦ παρεπομένου τὸ κύριον (3). Ἀπὸ μὲν οὖν μέρους τὸ ὅλον·

Ἀτρεΐδαί τε (4) καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί·

ἀπὸ γὰρ τοῦ εὐκνήμιδες συνεκδοχικῶς τὸ ὅλοι εὔοπλοι· καὶ ἔτι, « λευκώλενος (5) Ἥρη », ἀντὶ τοῦ ὅλη λευκή. Ἀπὸ δὲ ὅλου τὸ μέρος·

Οἱ δ' εὐθὺς (6) πρὸς τεῖχος ἐΰδμητον βόας αὔας·

βόας γὰρ αὔας λέγει τὰς ξηρὰς βύρσας, ἐκ δὲ τῶν βυρσῶν τὰς ἀσπίδας, ὥστε ἀπὸ τοῦ ὅλου τὸ μέρος δεδήλωται. Ἀπὸ δὲ ἐπωνύμου τὸ κύριον·

(1) De Eupolideis verbis inquirant critici fragmentipetæ.

(2) Chæremonis ænigma exhibeo ad fidem codicis. Puto dictam fuisse vitem veris conjugem, ob florem; æstatis filiam, ob fructum qui tunc maturescit; serius, autumno nempe, fieri matrem, vini scilicet; dein hieme mori vento attonsam.

(3) Ita codex corrupte.

(4) Il. A, 17.

(5) Il. A, 55.

(6) Il. M, 137. Cf. p. 275.

Φοῖβος (1) ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα·

ἀπὸ γὰρ τοῦ φοῖβος ἐπωνύμου τὸν Ἀπόλλωνα δεῖ κυρίως συνεκδέξασθαι· καὶ,

Ὄρσεο, Τριτογένεια (2), φίλον τέκος·

πάλιν γὰρ ἀπὸ τῆς τριτογενείας τὴν Ἀθηνᾶν δέον συνεκδέξασθαι. Ἀπὸ δὲ τοῦ συμβαίνοντος τὸ προηγούμενον·

Οἳ (3) δὲ πανημέριοι σεῖον ζυγὸν ἀμφὶς ἔχοντα,

ἀντὶ τοῦ ἔτρεχον· πρότερον γὰρ ἔτρεχον οἱ ἵπποι, ἐπὰν οὕτως συνέβαινεν σείεσθαι τὸν ζυγόν· καὶ,

Ἑζόμενοι (4) λεύκαινον ὕδωρ ξεσταῖς ἐλάτῃσιν,

ἀντὶ τοῦ ἐκωπηλάτουν. Ἀπὸ δὲ τοῦ παρεπομένου τὸ προηγούμενον·

Λῦσε (5) δὲ παρθενίην ζώνην,

ἀντὶ τοῦ διεκόρευσεν.

Ὑπερβολή.

Ὑπερβολή ἐστι λόγος σημαίνων μετὰ πλήθους ἐπιτατικὸς, ἢ λόγος ὑπεραίρων τὴν ἀλήθειαν. Βλέπονται δὲ ἐν τρισὶν αἱ ὑπερβολαὶ, αἱ μὲν καθ' αὑτὰς, αἱ δὲ πρὸς ἕτερον, αἱ δὲ κατ' ἐξίσωσιν. Καθ' αὑτὰς μὲν, ὡς,

........σιδήρειόν (6) νύ τοι ἦτορ.

Πρὸς ἕτερον δὲ,

Λευκότεροι (7) χιόνος, θείειν δ' ἀνέμοισιν ὁμοῖοι.

(1) Il. Υ, 39. Codex sine φοῖβος.

(2) Il. Θ, 39.

(3) Od. Γ, 486.

(4) Odyss. Μ, 172. Videatur Trypho de synecdoche supra pag. 276.

(5) Odyss. Λ, 245.

(6) Il. Ω, 205.

(7) Il. Κ, 437.

Κατ' ἐξίσωσιν δὲ,

> Ἶσος (1) Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ.

Περίφρασις.

Περίφρασις ἐστὶ φράσις διὰ πλειόνων ὀνομάτων δηλοῦσα τὸ κεφαλαιωδῶς ἐξενεχθῆναι δυνάμενον· « βίη (2) Ἡρακλείη », ἀντὶ τοῦ Ἡρακλῆς, καὶ, « ἱε» ρὸν (3) μένος Ἀλκινόοιο », ἀντὶ τοῦ ὁ Ἀλκίνοος, καὶ, » Πυλαιμένεος (4) λάσιον κῆρ », ἀντὶ τοῦ ὁ Πυλαιμένης, καὶ, « βοῶν (5) ἴφθιμα κάρηνα », ἀντὶ τοῦ τὰς βοῦς.

Ὑπερβατόν.

Ὑπερβατὸν (6) ἐστὶ πρώτης καὶ συνήθους τάξεως λόγου μετακίνησις. Γίνεται δὲ τετραχῶς, ἤτοι ἐν λέξει, ἤτοι ἐν λόγῳ, ἢ ἐν νοήματι, ἢ ἐν πράγματι. Λέξει μέν·

> Νήπιοι (7) οἳ κατὰ βοῦς ἠελίοιο — ἤσθιον·

τὸ γὰρ ἑξῆς κατήσθιον· καὶ,

> Ἂν δ' ὁ (8) κύων κεφαλήν τε καὶ οὔατα ἔσχε — Ἄργος·

τὸ γὰρ ἑξῆς ἐστὶν ἀντέσχεν. Λόγῳ δέ·

> Ὣς (9) ἔφατ'. Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες
> Σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν·
> Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

Νοήματι δέ·

> Πάντῃ (10) γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ
> Λάϊνον·

(1) Il. Χ, 132. Cod. κορυθαιόλῳ.
(2) Imo Ἡρακληείη : cf. Il. Λ, 690.
(3) Od. Η, 167.
(4) Il. Β, 851. Cod. λασίοιο.
(5) Il. Ψ, 260.
(6) Omisit librarius regulam de συλλήψει.
(7) Od. Α, 8.
(8) Od. Ρ, 291.
(9) Il. Β, 333.
(10) Il. Μ, 177.

οὐ γὰρ λέγει τὸ πῦρ λάϊνον, ἀλλὰ τὸ τεῖχος. Πράγματι δὲ, ὅταν τὸ πρῶτον γινόμενον δεύτερον τάξῃ ὁ ποιητής· οἷον,

Τὰς (1) μὲν ἄρα θρέψασα τεκοῦσά τε·

καὶ,

Ἡ δ᾽ ἐπὶ (2) εἰσῆλθεν καὶ ὑπέρβη λάϊνον οὐδὸν,

ἀντὶ τοῦ πρότερον ὑπέρβη καὶ τότε εἰσῆλθεν. Εἶδος δὲ ὑπερβατοῦ ἐστὶν ἡ ἀναστροφή.

Ἀναστροφή.

Ἀναστροφὴ ἐστὶν λέξις, ἣν χρὴ προηγεῖσθαι τῆς σημαινομένης διανοίας, δευτέραν ἔχουσα τάξιν, οἷον·

Ὧ ἔπι (3) πόλλ᾽ ἐμόγησα,

ἀντὶ τοῦ ἐφ᾽ ᾧ· καὶ,

... εἰ (4) μέν κεν λείπω κάτα τεύχεα καλὰ,

ἀντὶ τοῦ καταλείπω· καὶ,

.... νεῶν (5) ἄπο καὶ κλισιάων·

ἔστι γὰρ ἀπὸ νεῶν· καὶ,

.........ὄρνιθες (6) ὥς,

ἀντὶ τοῦ ὡς ὄρνιθες.

Μετάληψις.

Μετάληψις ἐστὶ λέξις διὰ τῆς ὁμωνύμου τὴν συνώνυμον δηλοῦσα, ἢ κατὰ συνωνυμίαν μόνον παραλαμβανομένη, οἷον,

(1) Od. Μ, 134.
(2) Od. Ψ, 88. Cod. κείνη δ᾽ ἐπί.
(3) Il. Α, 162.
(4) Il. Ρ, 91.
(5) Il. Β, 91.
(6) Il. Γ, 2.

Ἔνθεν (1) δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν·

τὰς γὰρ ὀνόματι ἀπὸ τοῦ σχήματος ὀξείας καλουμένας νήσους μεταληπτικῶς θοὰς εἴρηκεν, τὴν ὁμώνυμον εἰς τὴν συνώνυμον μεταβαλών· τῷ γὰρ θοῷ συνωνυμεῖ πᾶν τὸ κατὰ κίνησιν ὀξὺ, τούτῳ δὲ ὁμώνυμον πᾶν τὸ ἀκμὴν ἔχον κατὰ τὸ ἄκρον ἠκονημένον. Καὶ πάλιν ἐπὶ τοῦ Κύκλωπος·

.....δαλὸν (2) ἀποξῦναι δ' ἐκέλευσεν,
.....ἐγὼ δ' ἐθόωσα παραστάς·

κέχρηται δὲ τῷ ἐθόωσα ἀντὶ τοῦ ὤξυνα.

Τινὲς μέντοι τήν τε ἔλλειψιν καὶ πλεονασμὸν, καὶ ἀμφιβολίαν καὶ ὁμοίωσιν, καὶ ἀνταπόδοσιν (3) τοῖς τρόποις οὐ θέλουσιν ὑπαγαγεῖν.

Ὁμοίωσις.

Ὁμοίωσίς ἐστι παράθεσις ἢ σώματος ἢ πράγματος εἰς δήλωσιν τοῦ ὑποκειμένου, οἷον·

Σεύατ' (4) ἔπειθ', οἷός τε πελώριος ἔρχεται Ἄρης.

Εἴδη δὲ ὁμοιώσεως εἰσὶν ἕξ· παραβολὴ, εἰκὼν, εἰκονογραφία, χαρακτηρισμὸς, εἰδωλοποιΐα, παράδειγμα.

Παραβολή ἐστι πράγματος πρὸς τὸ πρᾶγμα παράθεσις κατά τινας ἀναλόγους ὁμοιότητας, οἷον· « ὡς » ἔδρακον ἐπεὶ χερειότερος ἀνδραμένης. » Γίνεται δὲ ἢ πρᾶξις πρὸς πρᾶξιν, ἢ πάθος πρὸς πάθος, ἢ διάθεσις πρὸς διάθεσιν, ἢ φύσις πρὸς φύσιν. Καὶ ὅτε μὲν πρᾶξις πρὸς πρᾶξιν·

Οἱ (5) δ' ὥστ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν·

(1) Od. O, 299. Cf. p. 273.
(2) Cf. Od. I, 326. Cod. δαλῶ.
(3) Omisit librarius τὴν ἐπανάληψιν, quæ infra tractabitur.
(4) Il. H, 208.
(5) Il. Λ, 67.

ὁτὲ δὲ πάθος πρὸς πάθος·

> Ὡς δ' (1) ὅταν ἀσπασίως βίοτος παίδεσσι φανείη
> Πατρὸς, ὃς ἐν νούσῳ κεῖται κρατέρ' ἄλγεα πάσχων·

ἢ διαθέσεως πρὸς διάθεσιν·

> Ὡς δ' ὅτε (2) τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·

ἢ φύσεως πρὸς φύσιν·

> Οἵη περ (3) φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

Εἰσὶ δέ τινες τῶν παραβολῶν, αἵτινες αὐξήσεις ἡδονῆς καὶ λύπης, καὶ πάθους καὶ φόβου, καὶ ἐννοίας παρέχουσιν· ἡδονῆς μέν·

> Ὥστε (4) λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας·

λύπης δέ·

> Ὡς (5) δὲ χιὼν κατατήκετ' ἐν ἀκροπόλοισιν ὄρεσσι·

πάθους δέ·

> Ὡς δὲ λέων (6) ἐλάφοιο ταχείης νήπια τέκνα·

φόβου δέ·

> Ὡς δ' ὅτε (7) τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη·

ἐννοίας δέ·

> Ὡς (8) δ' ὅταν ἄγραυλοι πόριες περὶ βοῦς ἀγελαίας.

Εἰκὼν ἐστὶν, ὅταν ὅλα σώματα σώμασιν ἀντιπαρατεθῇ, οἷον·

> Ὄμματα (9) καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ,
> Ἄρηϊ τε ζώνην, στέρνον δὲ Ποσειδάωνι.

(1) Od. E, 394. Codex, ἀσπασίως παίδ. φ. πατήρ.
(2) Il. Γ, 33.
(3) Il. Z, 146.
(4) Il. Γ, 23.
(5) Od. T, 205.
(6) Il. Λ, 113. Codex non ὡς δέ.
(7) Il. Γ, 33.
(8) Od. K, 410. Cod. ἀγραύλοιο πολλῆς.
(9) Il. B, 478.

Εἰκονογραφία ἐστὶν, ὅταν τὰ μέρη τοῖς μέρεσιν ἀντιπαρατεθῇ· οἷον·

Ἠῒ (1) δ' ἐν μεγάροισι περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσῇ Ἀφροδίτῃ.

Χαρακτηρισμός ἐστιν, ὅταν ὁ τύπος τοῦ ὑποκειμένου σώματος περιγράφηται, οἷον·

Γυρὸς (2) ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος.

Εἰδωλοποιΐα ἐστὶν ἀνάπλασις προσώπων, ἢ ἐπὶ πραγμάτων, ἢ ἐπὶ ζώων λογικῶν μὲν, ἀποιχομένων δὲ, ἢ ἀλόγων, λογοποιουμένων δέ· πραγμάτων μὲν, ὡς ὅταν τὴν ἀρετὴν πρὸς τὴν κακίαν πλάττωμεν (3) διαλεγομένην· ἀνθρώπων δὲ ἀποιχομένων, ὡς ὅταν λέγωμεν ποίους λόγους (4) εἶπεν Ἀχιλλεὺς ἰδὼν τὸν Πάτροκλον ἐν τῷ ᾅδῃ· ἀλόγων δὲ, ὡς ὅταν λέγωμεν ποίους λόγους εἶπεν ἡ ἀλώπηξ πρὸς τὸν λύκον.

Παράδειγμα ἐστὶ παράστασις τινὸς πρός τινα δεικτικῶς. Γίνεται δὲ ἢ προτροπῆς, ἢ ἀποτροπῆς, ἢ ἀπαγωγῆς ἕνεκα· καὶ προτροπῆς μὲν, ὡς ἐπὶ τοῦ Τηλεμάχου·

Ἦ οὐκ (5) ἀΐεις οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐς ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;
Καὶ σὺ, φίλος (μάλα γάρ σ' ὁρόω καλόν τε μέγαν τε),
Ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ·

ἀποτροπῆς δέ·

Ὁρᾷς (6) τὸν Ἀκταίωνος ἄθλιον μόρον,
Ὃν ὠμόσιτοι σκύλακες, ἃς ἐθρέψατο,
Διεσπάσαντο.

(1) Od. P, 36.
(2) Od. T, 246.
(3) Ut fere in Xenophontea de Hercule Prodicio narratione.
(4) Codex, λόγους οὕς.
(5) Od. A, 298.
(6) Eurip. Bacch. 337. Codex, ὁμῶς σιτίοις.

Ἀπαγωγῆς δὲ ἕνεκα·

Μήτι (1) τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι,
Μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
Νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν.

Ἀνταπόδοσις.

Ἀνταπόδοσις ἐστὶ φράσις ἀκολούθως ἐκφερομένη ταῖς ὑποκειμέναις ὁμοιώσεσιν καὶ παραβολαῖς, οἷον·

Ὡς ἐχάρη (2) Μενέλαος·

καί,

Ὡς τῶν (3) ἔθνεα πολλά....

καί,

Ὡς (4) δ' αὔτως καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

Ἔλλειψις.

Ἔλλειψις ἐστὶ φράσις μέρει λόγου τινὶ ἐλλείπουσα·

Αἰτωλοὶ (5) μὲν ἀμυνόμενοι Καλυδῶνος ἐρατεινῆς,

ἀντὶ τοῦ περὶ Καλυδῶνος· καί,

Ἕως ὁ (6) τὸν πεδίοιο δίωκετο πυροφόροιο,

ἀντὶ τοῦ διὰ πεδίου· καί,

Χωόμενος (7) κατὰ θυμὸν ἐϋζώνοιο γυναικός,

ἀντὶ τοῦ περὶ γυναικός.

(1) Il. Ψ, 315. Codex, θοὴν ἰθύνει νῆα ἐπεχθομ.
(2) Il. Γ, 27.
(3) Il. Β, 91.
(4) Il. Γ, 36.
(5) Il. Ι, 531.
(6) Il. Φ, 602.
(7) Il. Α, 429.

Πλεονασμός.

Πλεονασμὸς ἐστὶ φράσις μέρει λόγου τινὶ περισσεύουσα, οἷον,

.......νῆάς τε (1) προσπάσας·

καὶ,

........βοῶν (2) ἐπιβουκόλος ἀνὴρ,

ἀντὶ τοῦ βουκόλος.

Ἐπανάληψις.

Ἐπανάληψις ἐστὶ τῶν προειρημένων πάλιν ἐξ ὑπαρχῆς κατάλογος, οἷον,

Ἀλλ' ὁ μὲν (3) Αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας,
Αἰθίοπας, οἳ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν·

καὶ,

.......καὶ (4) εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ·

καὶ,

Τῷ (5) ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν.

Ἀμφιβολία.

Ἀμφιβολία ἐστὶ φράσις (6) δύο ἢ καὶ πλείονα σημαίνουσα δι' αὐτῆς, οἷον,

(1) Il. B, 493. Post exemplum omisit librarius, ἀντὶ τοῦ πάσας. Conf. Trypho supra p. 278, et idem editionis Blomf. p. 51.

(2) Od. Γ, 422. Quæ ad hæc Odysseæ protuli Planudis verba tunc inedita, reperientur nunc in Bachm. Anecd. t. II, p. 106.

(3) Odyss. A, 22.

(4) Il. Υ, 371.

(5) Il. X, 127. Librarius hoc et præcedens exemplum male curtaverat.

(6) Addidi Φράσις. Vide Tryphonem supra pag. 280, qui restitutionem confirmabit.

Ἅρματα (1) δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα·

ἀμφίβολον γὰρ πότερον τὰ ἅρματα εἴρηκεν ἢ τὰ ἐνώπια· καὶ,

Αἰδὼς (2) δ' αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι·

καὶ,

....χαλεπὸν (3) γὰρ ἐρυκακέειν ἕνα πολλούς·

καὶ « ζεῦγος βοῶν ἤλαυνεν· » ἀμφίβολον γὰρ πότερον βοῶν, ἢ τῶν βοῶν (4).

(1) Il. Θ, 435. Conf. Trypho Blomfieldianæ p. 57.

(2) Odyss. Γ, 24.

(3) Odyss. Υ, 313.

(4) Scilicet ambiguum utrum *clamans*, an *boum*.

ΖΩΝΑΙΟΥ

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ

ΤΩΝ ΚΑΤΑ ΛΟΓΟΝ.*

Τῶν τοῦ λόγου σχημάτων τὰ μέν εἰσι κατ' ἔννοιαν, τὰ δὲ κατὰ λέξιν.

Καὶ τὰ κατ' ἔννοιαν εἰσὶ ταῦτα· προδιόρθωσις, ἐπιδιόρθωσις, ἀμφιδιόρθωσις, προκατάληψις, ὑπεξαίρεσις, αἰτιολογία, συναθροισμὸς, ἐπιμονὴ, λεπτολογία, ἠθοποιΐα, προσωποποιΐα, ἐπιτροχασμὸς (1), ἀποσιώπησις, παράλειψις (2), ἀποστροφὴ, διαπόρησις, ἐρώτημα, πύσμα, διατύπωσις, ἀντεισαγωγὴ, μετάστασις, εἰρωνεία, διασυρμὸς, ἐπανάληψις, ἐπαναφορὰ, διπλῆ ἐπαναφορά.

Τί ἐστι προδιόρθωσις; Ὅταν θεραπεύωμεν τὸ ῥηθὲν, μᾶλλον ὡς δυσπαράδεκτον τοῖς ἀκροαταῖς, ὡς τό· « τολμᾷ τι νεανικὸν ὁ λόγος. »

Ἐπιδιόρθωσις τῇ μὲν χρείᾳ ταὐτὸν τῇ προδιορθώσει· διαφέρει δὲ, ὅτι τὴν τοῦ λόγου θεραπείαν ὕστερον τίθησιν, ὡς τό· « οὐκ οἶδ' ὅπως εἰς τούσδε ἐμπίπτω τοὺς λόγους. »

Ἀμφιδιόρθωσις, μίξις ἀπ' (3) ἀμφοῖν, ὅταν καὶ

* E codice Parisino 2929. Vir doctiss., alicubi hunc libellum ex hoc codice allegans, titulum sic recitat: περὶ σχημάτων τῶν κατὰ βίον. Sed codex λόγον exhibet, in compendio quidem, sed eo perspicuo nec interpretationis dubiæ. De Zonæo nihil quod dicam habeo, nisi christianum fuisse, quod docent exempla quæ ex Gregorio Naz. sumsit plurima.

(1) Codex, ἐπιτροχαϊσμός.

(2) Codex, παράληψις.

(3) Codex, ἐπ'.

πρὸ τοῦ εἰπεῖν τὸ (1) δυσχερὲς, καὶ μετὰ τὸ εἰπεῖν, θεραπεύωμεν (2), ὡς τό· « βούλεσθε προσθῶ τι » νεανικόν; ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμετέρας » γινομένας. »

Προκατάληψις, ὅταν προεκλύῃ τις τὸν ἀντιδίκου λόγον, ὃν ἔχειν ἰσχυρὸν (3) οἴεται, ὡς τό· « ἥκει δὲ » ἡμῖν ὁ λόγος ἐπ᾽ αὐτὸ τὸ κεφάλαιον. »

Ὑπεξαίρεσίς ἐστιν, ὅταν ὑπεξέλῃ τις πρόσωπον ἢ πρᾶγμα, καὶ πρὸς τὰ λοιπὰ ποιῆται τὴν σύγκρισιν, ὡς τό· « μετὰ τὴν Ὁμήρειον μοῦσαν ἡ Ἡσιό- » δειος. »

Αἰτιολογία, ὅταν αἰτίαν λόγου ἀποδῶμεν, ὡς τό· « ἡ ἀρετὴ διὰ τὴν παιδείαν καὶ ἡ κακία διὰ τὴν » ἀμάθειαν. »

Συναθροισμὸς, συναγωγὴ πραγμάτων εἰς ἓν κεφάλαιον, ὡς τό· « δήμου στασιάζοντος καὶ πόλεις καὶ » γένη ῥηγνύμενα, καὶ οἰκίαι διϊστάμεναι. »

Ἐπιμονὴ, ὡς ὅταν ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐπιμένωμεν, χάριν αὐξήσεως, ὡς τό· « εἰ γὰρ (4) τὸ Βυζάν- » τιον τῆς οἰκουμένης ὀφθαλμὸς, γῆς καὶ θαλάττης » ὅτι κράτιστος ἑῴας καὶ ἑσπερίου σύνδεσμος, εἰς ἣν » τὰ πανταχόθεν ἄκρα συντρέχει καὶ ὅθεν ἄρχεται. »

Λεπτολογία, ὅταν ἕκαστον τῶν συμβεβηκότων ἢ συμβαινόντων δείξωμεν (5) ἀκριβῶς· « ἀνάπτεται πῦρ,

(1) Forsan τι pro τό.

(2) Codex, θεραπεύομεν. Mox scripsi προεκλύῃ, pro codicis lectione προεκλύει, et infra ποιῆται pro ποιεῖται, quod codex solœce exhibet.

(3) Codex, ἄδικον λ. ὃν ἔχει ἰσχ. Permutata sunt et alibi ἄδικος et ἀντίδικος: cf. notæ ad Tiberium Rhetorem. Apud Dionysium Halic. De Isæo § 11, critici ἀντιδικεῖν pro ἀδικεῖν rescripserunt.

(4) Gregor. Naz. Or. XXXII, pag. 517.

(5) Codex διέξωμεν. Forsan διεξίωμεν scribendum.

» δαπανᾶται ἡ ναῦς, συνδαπανᾶται ὁ φόρτος· πῦρ » ὕδατι μίγνυται, καὶ πυρσὸς ὑπὲρ θαλάσσης αἴρεται » ξένος. »

Ἠθοποιΐα, ὅταν λόγους περιτιθῶμεν ἀψύχοις πράγμασιν, ὡς τό· « εἶπε τὰ ξύλα πρῆσαι ἐφ' « ἑαυτοῖς βασιλέα, καὶ ἡ θάλασσα τὰ καὶ τά. »

Προσωποποιΐα, προσώπου διάπλασις ἢ μὴ γενομένου, ἢ γενομένου μὲν, οὐκέτι δὲ ὄντος, ὡς τό· « ἀνα» κλινεῖται λίαν ἐλεεινῶς ἡ μήτηρ, τέκνον λέγουσα » δυστυχὲς καὶ ἀθλίας μητρὸς ἔκγονον. »

Ἐπιτροχασμὸς, σχῆμα προσκείμενον (1) τῷ τε συναθροισμῷ καὶ τῇ ἐπιμονῇ· διαφέρει δὲ ἐκείνων ὅτι τὰ πολὺ διεστηκότα συνάγει, ὡς τό· « ὑπεσπῶντο σύμ» παντες παρὰ τοῦ νέου ὑπάτου· πρόσοδοι διηρπάζον» το· στρατιῶται τῶν φρουρῶν οἱ μὲν ἀπηλαύνοντο (2), » οἱ δὲ ἀντεισήγοντο. »

Ἀποσιώπησις, λόγος παραλείπων τὸ γινωσκόμενον καὶ σιωπῶν τὸ αἰσχρὸν, ὡς τό· « οἶδεν Ἐλευσὶς ταῦ» τα καὶ οἱ τῶν σιωπωμένων, τῶν σιωπῆς ὄντως » ἀξίων, ἐπόπται (3)· » καὶ ὡς τό· « καὶ δύσφημον σιω» πήσομαι. »

Παράλειψις, ὅταν τι προσποιούμενοι παραλείπειν, οὐδὲν ἧττον λέγωμεν (4) αὐτό· « τὸν γὰρ (5) προ» τάξαντα παρίημι τοῦ μύθου τὸν σοφιστήν. »

(1) Codex, προκείμενον.

(2) Codex, ἀπηλαύνοντο.

(3) Ex Gregorio Naz. Orat. XXXIX, p. 625.

(4) Codex, λέγομεν: et sic infra ἀποστρέψομεν et ἔχομεν. Lucianus D. D. VI, 4: ἐπειδὰν λυθῇ τὸ συμπόσιον κἀκεῖνος ἀγρυπνεῖ. Sic legitur in Bipontina, qua sola nunc utor, etsi monuerit Hemsterhusius postulare syntaxin ἀγρυπνῇ. Et recte ἀγρυπνῇ mihi exhibuit codex 1310.

(5) Greg. Naz. Or. III, p. 74.

Ἀποστροφὴ, ὅταν ἀφ' ἑτέρου πρὸς ἕτερον πρόσωπον ἀποστρέψωμεν τὸν λόγον, ὡς τό· « ὡς (1) δὲ » εἶχεν αὐτῷ κατὰ νοῦν τὰ πλησίον, οὕτως ἤδη » πειρᾶται· εὐηθέστατε καὶ σκαιότατε σὺ κατὰ » τοῦ σοῦ δήμου. »

Διαπόρησις, ὅταν περὶ ἑνὸς πράγματος διπλᾶς ἢ καὶ πλείους ἔχωμεν ἐννοίας, ἀγνοοῦντες ὁποτέρα τούτων ἀληθὴς, ὡς τό· « οὐκ οἶδα εἴτε τῇ τάξει » τῆς στάσεως μεριζομένη τὸν πυρετὸν, εἴτε τοῖς » μέτροις τοῦ πυρετοῦ τὴν τάξιν λαμβάνοντες. »

Ἐρώτημα, οὗ σύντομος ἡ ἀπόκρισις διὰ τοῦ ναὶ ἢ τοῦ οὐ προχωροῦσα, ὡς τό· « οὐ δέχει παιδείαν; » οὐ δίδως τῇ κακίᾳ χώραν; »

Πύσμα, οὗ ἡ ἀπόκρισις μακρὰ καὶ διεξοδικὸς, ὡς τό· « ἐπὶ ποίας τοι γὰρ ἰτέον; καὶ τίνας φυλακτέον; »

Διατύπωσις, ὅταν ὑπ' ὄψιν ἄγεσθαι δοκῶσι (2) τὰ πράγματα· « καὶ γὰρ ἦν οὕτω κἀκεῖνα θρήνων καὶ » ὀδυρμῶν ἄξια· πῶς δ' οὐ τῶν μεγίστων τείχη κατ- » εσκαμμένα καὶ οἶκοι ἀνάστατοι; »

Ἀντεισαγωγὴ, ὅταν ἀνθ' ἑτέρου πράγματος ἕτερον ἀντεισάγωμεν τιμιώτερον, συμβουλεύοντες ἢ παραμυθούμενοι, ὡς τό· « λυπεῖ σε τὸ τῆς διαζεύξεως, » ἀλλ' εὐφραινέσθω τὸ τῆς ἐλπίδος. »

Μετάστασις, ὅταν ἀφ' ἑαυτῶν (3) τὴν αἰτίαν εἰς ἕτερον μεθιστῶμεν, ὡς τό· « οὐδὲ (4) τοῦ ἀμήσαντος ὁ » στάχυς, ἀλλὰ τοῦ σπείροντος· οὐδὲ τοῦ κατασβέσαι » μὴ δυνηθέντος ὁ ἐμπρησμὸς, ἀλλὰ τοῦ ἀνάψαντος. »

Εἰρωνεία, λόγος προσποιούμενος τὸ ἐναντίον οὗ

(1) Gregor. Naz. Or. III, p. 75.
(2) Codex, δοκοῦσι.
(3) Codex, ἑαυτοῦ.
(4) Greg. Naz. Or. IV, p. 118.

λέγει, ὡς, παρ᾽ Εὐριπίδῃ, προειποῦσα ἡ Μήδεια (1) ὅσων προϋπῆρξεν εἰς τὸν ἄνδρα εὐεργεσιῶν, παθητικώτατα ἐπιφέρει·

Τοιγάρ με πολλαῖς (2) μακαρίαν ἀν᾽ Ἑλλάδα
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν᾽ ἐγὼ,
Εἰ φεύξομαί γε γαίας ἐκβεβλημένη,
Δόμων ἔρημος, σὺν τέκνοις μόνοις μόνη.

Διασυρμὸς, ὅταν τι διαβάλλωμεν ἀξιοπίστως, ὡς τό· « ἢ καὶ τὸ τριβώνιον αἰτιάσῃ καὶ τοῦ προσώ» που τὴν θέσιν οὐκ εὐφυῶς ἔχουσαν. »

Ἐπανάληψις, ἀνάληψις προειρημένου, μεταξυλογίας ἐμβαλλομένης, ὡς εἴ τις εἴποι, « ὁ δεῖνα στρα» τηγὸς ηὔξησε τὰ τῶν στρατιωτῶν », εἶτα μεταξὺ εἰπὼν πῶς ηὔξησεν, ἐπαναμνήσοι πάλιν· « αὐξήσαν» τος οὖν τούτου τὰ τῶν στρατιωτῶν, τάδε γέγονεν. »

Ἐπαναφορὰ πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένων συνεκδοχὴ, ὡς εἴ τις λέγοι· « σὺ τὸν Γάγγην (3) ἐγεφύρωσας, σὺ τὸ στράτευμα » διαβαίνειν πεποίηκας. »

(1) Codex, *μειδία.* — Eurip. Med. 508.

(2) Codex, *πολλὴ μακ. ἑλ.* infra *ἢ φεύξομαί σε.*

(3) Codex, *γάγγιν.* Permutatio solita vocalium *η* et *ι*. Sic in Luciano D. Mar. XI, 2, pro *Νηρηΐδος* codex 1310 tenet *νηρεΐδος*. Quod notavi, non quod id fuerit notabile, sed ut ad corrigendum hunc locum mihi transitum facerem. Mare cum Xantho colloquitur, quem Vulcanus, injectis totis ignibus, torrefecit, exussit, siccavit: *καὶ εἰκότως*, inquit, *ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν.* Corrigunt *υἱωνὸν* critici, quum Achilles non possit dici Maris filius. Codex 1310 optime ante *καὶ εἰκότως* personam Thetidis inserit, et jam plana omnia. Aderat enim colloquio Thetis. Modo dixerat Xanthus a Vulcano exustum se fuisse *διὰ τὸν υἱὸν τῆς Θέτιδος*: ubi codex plenius et opportunissime, *διὰ τὸν υἱὸν ταύτης τῆς Θέτιδος.*

Διπλῆ ἐπαναφορά ἐστὶ πλειόνων κώλων ἢ ῥημάτων ἀπὸ τῶν αὐτῶν λέξεων ἀρχομένων συνεκδοχαὶ, ὡς τό· « παρὰ τοσούτοις οἱ ἡμέτεροι παιδευταὶ, » παρ' ὅσοις Ἀθῆναι· παρὰ τοσούτοις δὲ ἡμεῖς, παρ' » ὅσοις οἱ παιδευταί. » Καὶ πάλιν· « σὺ τὸν Ξέρξην, » κἀγὼ τὸν Κῦρον· σὺ τὸν Δαρεῖον, κἀγὼ τὸν Κροῖ- » σον. »

ΠΕΡΙ ΣΧΗΜΑΤΩΝ ΤΩΝ ΚΑΤΑ ΛΕΞΙΝ.

Πόσα εἰσὶ κατὰ λέξιν καὶ ποῖα; ὁμοίως εἰκοσιὲξ, ὡς καὶ τὰ προειρημένα.

Εἰσὶ δὲ ταῦτα· ταυτολογία, παλιλογία, ἀναδίπλωσις, ἀντιστροφὴ, συμπλοκὴ, ἐπάνοδος, κλιμακωτὸν, προδιασάφησις, πλεονασμὸς, ἔλλειψις, ἀλλοίωσις, πολύπτωτον, μεταβολὴ, ζεῦγμα, παρωνομασία ἢ καὶ παρήχησις, ὁμοιοτέλευτον, πάρισον, ὁμοιόπτωτον, ἀσύνδετον, ἀντίθετον (1), σύγκρισις, ᾧ σχήματι πλεονάζει καὶ ἡ ἀντίθεσις (2) καὶ ἡ ἀντιβολή· ἀντεναντίωσις, προαπάντησις, ὑπαλλαγὴ, περίφρασις, καὶ ὑπερβατόν.

Ταυτολογία ἐστὶ λέξεων παράλληλος θέσις τὸ αὐτὸ σημαινουσῶν, οἷον, « ὀξὺς ἐστὶ καὶ ταχὺς, ἀλλ' » οὐ νωθὴς καὶ βραδύς. »

Παλιλογία ἐστὶ λέξις ἢ φράσις τοῦ μὲν προηγουμένου κώλου κατάληξις, τοῦ δὲ ἑπομένου ἀρχὴ, ὡς ἂν εἴποι τις· « προὔκυψε μαρμαρυγὴ, προὔκυψε ξανθὴ » Λαῒς, Λαῒς τὴν τοῦ Φιλωνίδου οὐσίαν ἐγκάψασα (3). »

(1) Addidi ἀντίθετον.

(2) Forsan ἀντιμετάθεσις. Cf. Alexand. p. 84.

(3) Codex, φιλωνειίδου. Respicitur Aristoph. Pl. 179: Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;

Ἀναδίπλωσις ἐστὶ λέξεων προφορὰ ἐπάλληλος (1), οἷον· « λέγε, λέγε τἀληθές. » Γίνεται δὲ καὶ μεταξὺ λέξεως ἐμβεβλημένης, ὡς τό· « ἀλλ' οὐκ ἔστι ταῦτα, » οὐκ ἔστιν. »

Ἀντιστροφὴ ἐστὶ τὸ ἐναντίον τῆς ἐπαναφορᾶς· ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ αὐτοῦ ἄρχεται, οὕτως αὕτη εἰς τὸ αὐτὸ λήγει, οἷον· « πλῆξον τὸν τύραννον, σφάξον » τὸν τύραννον, καρατόμησον τὸν τύραννον. »

Συμπλοκὴ, σύνθεσις ἔκ τε τῆς ἐπαναφορᾶς καὶ τῆς ἐπαναστροφῆς, ὡς ἂν εἴποι τις· « ὧν ἡδέα μὲν » τὰ μηνύματα ἡμῖν, τῶν τὴν σὴν εἰρήνην κηρυτ-» τόντων, ἡδέα καὶ τὰ στόματα τῶν τὴν σὴν δόξαν » κηρυττόντων. »

Ἐπάνοδός ἐστὶν ὅταν, τινὰ προτιθέντες (2) κεκρυμμένας ἔτι διανοίας ἔχοντα, ἐπανίωμεν εἰς αὐτὰ καὶ σαφηνίζωμεν (3), οἷον· « διττοῦ δὲ ὄντος λόγου » παντὸς, καὶ τοῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, » τοῦ δὲ τὸ ἀντίπαλον ἀποτρέποντος (4), ἡμεῖς τὰ

(1) Anadiploseos exemplum præbebit Persius, II, 35: « *Hunc* » optent generum rex et regina! » puellæ *Hunc* rapiant! quidquid » calcaverit *hic*, rosa fiat! » Nupera editio, in quam modo forte incidebam, aliter interpunxit, « quidquid calcaverit, hic rosa » fiat »; aitque doctus interpres Kœnigio pronomen *hic* placuisse, sibi *hic* adverbium; probam esse lectionem utramque, et utram admiseris capilli non interesse. Quod quidem non satis perpense dictum videtur. Nam, ni fallor, multum alterutra eligatur interest; quum una tantum sit proba, ea scilicet quæ Kœnigio placuit. Vis est magna repetitorum pronominum *hunc*, *hunc*, *hic*, quam miror non intellectam fuisse viro ingenioso. Ipsum quoque retinere poterat editorum consensus: nam decem ad minimum editiones, quæ mihi sunt ad manum, Kœnigianæ lectioni præiverunt.

(2) Codex, προσθέντες. Conf. Alexand. p. 66; Tiberius Rhetor pag. 64.

(3) Codex, σαφηνίζομεν.

(4) Forsan ἀνατρέποντος.

» οἰκεῖα ἐκθέμενοι πρότερον, οὕτω τὰ τῶν ἐναντίων » ἀνατρέψαι πειρασόμεθα. »

Κλιμακωτὸν δὲ γίνεται, ὅταν, ἐπὶ πλέον προτείνοντες τὸ προκείμενον κεφάλαιον, ἕκαστον κόμμα τελευτὴν λόγου καὶ ἀρχὴν ποιήσωμεν, ὡς τό· « Ἥφαι» στος μὲν ἔδωκε Διΐ, Ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ » τοῖς ἄλλοις. »

Προσδιασάφησις ἐστὶν, ὅταν πεπληρωμένῳ λόγῳ ἐπενεχθῇ ὄνομά τι πλέον διασαφοῦν, οἷον· « περι» νοεῖν τι τῇ διανοίᾳ μεῖζον καὶ ὑψηλότερον· » πλήρει (1) γὰρ τῷ λόγῳ ἐπῆκται ἡ διάνοια.

Πλεονασμὸς ἐστὶν ὅταν λόγου μόριον προστεθῇ περιττὸν κόσμου χάριν ἢ ἐμφάσεως, οὗ ἀφαιρεθέντος ἡ διάνοια οὐδὲν βλάπτεται, οἷον· « τὸ μὲν δὴ » σὸν, ὦ βασιλεῦ· » τὸ δὴ γὰρ περισσόν.

Ἔλλειψις ἐστὶν, ὅταν ἢ παρειρημένον (2) μέρος λόγου τι συντομίας ἕνεκα, οἷόν ἐστι·

Δώδεκα (3) γὰρ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων,
Πεζὸς δ' ἕνδεκα φημί.

Λείπει δὲ τὸ ἀλάπαξα, νοεῖται δ' ἐκ τῶν προειρημένων. Κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν·

Εἷς (4) οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης·

ἐνδεῖ γὰρ τὸ ἐστί. Καὶ,

Ὢ πόποι (5), ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο·

λείπει γὰρ τὸ πάρεστιν ἢ συμβέβηκε. Καὶ μυριαχοῦ ἐστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς. Καὶ τόδε·

(1) Codex, πλήρη.
(2) Codex, περιειρημένον.
(3) Il. I, 328.
(4) Il. M, 243. Cf. Bachmanni Anecd. t. II, p. 107.
(5) Il. Υ, 293.

Ἀλλ' εἰ μὲν (1) δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί,
Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται·

λείπει, ἀγαθὸν ἢ δίκαιον ἢ τοιοῦτόν τι δηλονότι ἔσται· εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε. Καὶ παρὰ τῷ Κωμικῷ· « ἐὰν μὲν (2) ἀποφήνω ἀγαθῶν πάντων αἰ-» τίαν ἐμέ· εἰ δὲ μὴ, ποιεῖτε ὅπερ ἂν δοκῇ ὑμῖν. »

Ἄλλως. Ἔλλειψις (3) ἐστὶ λέξις οὐ κατὰ τὸ πλῆρες ἐκφερομένη. Γίνεται δὲ κατ' ἀρχὴν, κατὰ μέσον, καὶ κατὰ τέλος. Λέγεται δὲ τὸ κατ' ἀρχὴν ἀφαίρεσις, οἷον, λείβειν εἴβειν· τὸ κατὰ μέσον συγκοπὴ, οἷον, μονόνυχας μώνυχας· τὸ κατὰ τέλος ἀποκοπὴ, οἷον, δῶμα δῶ. Ἔλλειψις στοιχείου, οἷον, γαῖα αἶα. Ἔλλειψις συλλαβῆς, ἀστεράπτει στράπτει, ἀμφιφορεὺς ἀμφορεὺς, Ἀπόλλωνα Ἀπόλλω. Ἔλλειψις λόγου·

Κἄπειτ' (4) ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ·

ἐλλείπει τὸ ἐβούλου, ἢ εἰ ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα. Ἔλλειψις ὀνομάτων, ῥημάτων καὶ προθέσεων· πάντα γὰρ λόγον ἐξ ὀνόματος καὶ ῥήματος ἀνάγκη συνίστασθαι, ἀλλὰ οἱ Ἀττικοὶ συντομίας χάριν ἐνίοτε θάτερον τούτων νοεῖσθαι διδόασιν. Ἐπὶ ὀνόματος, οἷον, « ἐνταῦθα πωλεῖν τε χρὴ καὶ ὠνεῖ-» σθαι (5)· » λείπει τὸ τινὰ ἄνθρωπον δηλονότι.

Ἀλλοίωσις, ἤτοι ἐναλλαγὴ, κατὰ πολλοὺς γίνεται

(1) Il. A, 135.

(2) Aristophan. Pl. 468. Exhibui codicis lectionem.

(3) Videntur quæ de ellipsi sequuntur in Zonæi libellum aliunde fuisse inlata.

(4) Aristoph. Nub. 227. Quo de Aristophanis loco vide Creuzer. ad Plotin. de pulchrit. pag. 263; Wyttenb. ad Plut. p. 750. Parilis ellipsis in Dionis Chrys. Orat. xxxiv, p. 33 : ἐκεῖνο δὲ ἴσως ἀγνοοῦντες ὅτι εἴπερ, καταπράσθε οὐ τοῖς φιλοσόφοις.

(5) Verba sunt Philostrati Her. p. 661.

τρόπους· καὶ γὰρ περὶ γένη ὀνομάτων καὶ περὶ ἀριθμοὺς καὶ περὶ πτώσεις καὶ περὶ ἐνεργείας καὶ πάθη καὶ χρόνους. Καὶ περὶ μὲν γένη ὀνομάτων, οἷον, « πᾶσα » ἡ Ἑλλὰς ἐσιδηροφόρει (1) », ἀντὶ τοῦ οἱ Ἕλληνες· καὶ, « τίμιον ἡ ἀρετὴ », οἷον ἐνάρετος. Περὶ ἀριθμοὺς, οἷον, « μέγας (2) ὁ καθελὼν τὴν Τροίαν », ἀντὶ τοῦ οἱ καθελόντες. Περὶ δὲ πτώσεις· « Μῆνιν ἄειδε, θεὰ, » ἣ μυρί' Ἀχαιοῖς· » ἀπὸ αἰτιατικῆς γὰρ εἰς εὐθεῖαν μετέπεσε. Περὶ ἐνεργείας καὶ πάθη, οἷον, « οὐκέτι » μιγνύμενοι (3). » Περὶ δὲ χρόνους, ὡς τό· « παρέξο- » μαι τοὺς ὁρῶντας μάρτυρας (4). »

Πολύπτωτον λέγεται, ὅταν ὁ αὐτὸς λόγος πολλῶν πτώσεων ἀντιλαμβάνηται (5), ὡς τό· « οὗτος ἦν φίλος » αὐτοῦ, οὗτος προστάτης, οὗτος κηδεμὼν ἦν. »

Μεταβολὴ ἐστὶν, ὅταν τὸ αὐτὸ νόημα διαφόρως ἐξαγγελθῇ, ὡς τό· « τίνος διώκοντος ἢ συναναγκά- » ζοντος; οὐδένος· τίνων ἱππέων; τίνος ὑλακῆς ἢ » κραυγῆς; »

Ζεῦγμα ἐστὶν, ὅταν διάφορα κῶλα μία συνδῇ λέξις, ἢ μετ' αὐτῶν τεθεῖσα ἢ πρὸ αὐτῶν, οἷον· « τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ » πρᾶον, τῶν δὲ τὸ ἥσυχον μιμησάμενος (6). » Τὸ γὰρ μιμησάμενος ζεύγνυσι κῶλον.

Παρωνομασία ἐστὶν, ὅταν τι (7) τῶν ληφθέντων

(1) Thucyd. I, 6.

(2) Herodianus De figuris ap. Bekkeri Anecd. pag. 1451, habet Αἴας. Præstat μέγας.

(3) Herodianus ibidem habet idem exemplum. Collato Alexandro De figur. p. 76, legendum puto: « οὐκ ἐπιμιγνύντες ἀδεῶς ἀλλή- » λοις », ἀντὶ τοῦ ἐπιμιγνύμενοι. Sunt Thucydidis verba I, 2.

(4) Demosth. in Neær. p. 160.

(5) Codex, ἀντιλαμβάνεται.

(6) Addidi μιμησάμενος. Mox velim κῶλον ἕκαστον vel κῶλα. Codex, ζευγνύουσι.

(7) Inserui τι. Mox codex, λει-

εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες, ἑτέραν κινήσωμεν ἔννοιαν, οἷον, « οὐ τὴν ὑλα- » κὴν, ἀλλὰ τὴν φυλακὴν », καὶ, « τῆς ἐμῆς εἴτε » ἀπονοίας εἴτε ἀνοίας· » ὃ καὶ παρήχησις ὀνομάζεται.

Ὁμοιοτέλευτον ἐστὶν, ὅταν πολλὰ κῶλα τὴν αὐτὴν συλλαβὴν ἔχωσι κατάληξιν (1), οἷον ἐστὶ τό·

.....οὔτ' ἀνέμοισι (2) τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
Δεύεται, οὔτε χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
Πέπταται ἀνέφελος.

Καὶ ὡς ἂν εἴποι τις· « λέγετε, φέρετε, χαίρετε. »

Πάρισον ἐστὶν, ὅταν δύο ἢ καὶ πλείονα κῶλα μάλιστα μὲν καὶ τὰς συλλαβὰς ἴσας ἔχῃ, εἰ δ' οὖν, ἀλλά γε τὸ γένος καὶ τὸν ἀριθμὸν καὶ τὸν ῥυθμὸν, οἷον· « τίνα (3) μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πι- » θήκων ὁρμήματα. »

Ὁμοιόπτωτον ἐστὶν, ὅταν ἡ αὐτὴ πτῶσις ἐπὶ τὸ αὐτὸ ὄνομα διαφόρως φέρηται, οἷον· « ὁ μὲν (4) » ἐπὶ τὰ μεγάλα τῶν ἔργων ἀχρηστότατον, πρὸς » δὲ τὴν ἐν λόγοις τόλμαν θαυμασιώτατον. »

Ἀσύνδετον ἐστὶν, ὅταν χωρὶς τῶν συναπτόντων συνδέσμων ἐκφέρωμεν (5) τὸν λόγον, οἷον· « φθάνει τοὺς » ταχεῖς, φθάνει τοὺς συνετοὺς, παρατρέχει (6) τοὺς » ἰσχυροὺς, συστέλλει τοὺς ὑψηλούς. »

Ἀντίθετον γίνεται κατὰ δύο τρόπους· καθ' ἕνα μὲν, ὅταν τὰ ἀντικείμενα ὀνόματα λαμβάνηται (7), οἷον· « μᾶλλον τιμῶσιν αἱ πόλεις τοὺς ἀδίκως πλου-

φθέντων et μεταποιήσαντος. Emendavi collato Alexandro p. 82.

(1) Forsan κατὰ κατάληξιν.

(2) Odyss. Z, 43.

(3) Greg. Naz. Or. III, p. 102.

(4) Ex Æschine adv. Ctesiph. p. 69 Bekker. Cod. modo φέρεται.

(5) Codex, ἐκφέρομεν.

(6) Codex, περιτρέχει.

(7) Codex, λαμβάνεται.

» τοῦντας ἢ τοὺς δικαίως πενομένους· » καθ' ἕτερον δὲ, ὅταν ἀντιδιαστέλληται (1) κατάφασις ἀποφάσει (2), ὡς τό· « σὺ μὲν ἔλαβες δῶρα, ἐγὼ δ' » οὐκ ἔλαβον. »

Σύγκρισις ἐστὶν, ὅταν πλεονάκις ταῖς αὐταῖς χρώμενοι λέξεσιν ἕτερα σημαίνωμεν, οἷον· « εἰ μὲν Θεὸς, » οὐ κτίσμα, εἰ δὲ κτίσμα, οὐ Θεός (3). »

Ἀντεναντίωσις ἐστὶν, ὅταν εἰπεῖν τι βουλόμενοι διὰ τὸ ἐναντίον δηλώσωμεν, οἷον, « ἴσως οὐ τῶν πολλῶν » ἐγενόμην φαυλότερος. »

Προαπάντησις γίνεται, ὅταν, δύο τινὰ θέντες, πρὸς τὸ δεύτερον ἀπαντήσωμεν πρότερον, οἷον· « καλὸν παιδεία καὶ πλοῦτος, ἐφ' ὅσον ὁ μὲν τὸ σῶμα » κοσμεῖ, ἡ δὲ τὴν ψυχὴν καλλύνει. »

Ὑπαλλαγὴ ἐστὶν, ὅταν ἐπιτιμήσαντες (4) τῷ πρώτῳ ὀνόματι ἕτερον προσλάβωμεν, οἷον· « οὐκ ἔστι » τοῦτο φιλανθρωπία, ἀλλ' ἔρως· » καὶ, « οὐκ ὠργίζετο, » ἀλλ' ἐμαίνετο. »

Περίφρασις ἐστὶν, ὅταν τὸ διὰ μιᾶς λέξεως ῥηθῆναι δυνάμενον διὰ πλειόνων ἐκφέρηται (5), οἷον, « βίη Ἡρακλείη (6) », καὶ, « μένος Ἀλκινόοιο. »

Ὑπερβατὸν ἐστὶν, ὅταν, τῆς συνεχείας τοῦ νοήματος διακοπείσης ὑπὸ μεταξυλογίας ἐμβληθείσης, ὕστερον τὸ λεῖπον ἀποδοθῇ, οἷον, « ἐμοῦ μέτα », ἀντὶ

(1) Codex, ἀντιδιαστέλλεται: modo, δικαίους.

(2) Codex, ἀπόφασιν. Sumsi dativum ex Herodiano de figuris p. 58 Dindorfianæ, qui est conferendus, ut et Alexander p. 84.

(3) Verba sunt theologi scriptoris de Spiritus Sancti vel de Christi divinitate: conf. Gregor. Naz. Orat. XXXVII, p. 596.

(4) Inde est ὑπαλλαγῇ nomen alterum ἐπιτίμησις: conf. Alexander pag. 94.

(5) Codex, ἐκφέρεται.

(6) Codex ita. Cf. Trypho supra p. 277; Cocondrius p. 299.

τοῦ μετ' ἐμοῦ, καὶ, « ἄπ' ἐμ' ὀλεῖς (1) », ἀντὶ τοῦ ἀπολεῖς ἐμέ.

Περὶ Συνεκδοχῆς.

Πόσας (2) ἀναφορὰς ἡ συνεκδοχὴ ἔχει; ιγ'. Ποίας ταύτας; Ἡ μὲν ἀπὸ ὅλου δηλοῖ τὸ μέρος, ἡ δὲ ἀπὸ μέρους τὸ ὅλον, ἡ δὲ ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ἡ δὲ ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ἡ δὲ ἀπὸ συμβόλου τὸ κύριον, ἡ δὲ ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, ἡ δὲ ἀπὸ τοῦ ἀκολούθου τὸ προηγούμενον, ἡ δὲ ἀπὸ γένους τὸ εἶδος, ἡ δὲ ἀπὸ εἴδους τὸ γένος, ἡ δὲ ἀπὸ τῶν πολλῶν τὸ ἕν, ἡ δὲ ἀφ' ἑνὸς τὰ πολλὰ, ἡ δὲ ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ἡ δὲ ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον.

Ἀπὸ ὅλου μὲν τὸ μέρος, ὡς τὸ, « βόας αὔας (3) », ἀντὶ τοῦ ἀσπίδας τὰς ἐκ βοείων βυρσῶν.

Ἀπὸ μέρους τὸ ὅλον, ὡς τὸ, « λευκώλενος Ἥρα. »

Ἀπὸ τῆς ὕλης τὸ ἀποτέλεσμα, ὡς τὸ, « χρυσὸν (4) » δὲ αὐτὸς ἐνδύνει περὶ χροΐ », ἀντὶ τοῦ χρυσῆν πανοπλίαν.

Ἀπὸ τοῦ συμβαίνοντος τὸ προηγούμενον, ὡς τό·

Ἑζόμενοι (5) λεύκαινον ὕδωρ ξεστῇς ἐλάτῃσιν.

Ἀπὸ τοῦ συμβόλου τὸ κύριον, ὡς τὸ, σκῆπτρον (6), τὴν βασιλείαν.

Ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον, ὡς τὸ, ἐναρίζω, τὸ σκυλεύω.

(1) Soph. Phil. 817.
(2) Quæ sequuntur an Zonæi sint nescio.
(3) Il. M, 137. Cf. p. 297.
(4) Codex, αὐτῆς. Il. Θ, 43: Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ.
(5) Odyss. M, 172.
(6) Cf. Trypho pag. 276.

Ἀπὸ γένους (1) τὸ εἶδος, ὡς τό· « ζῶον ἐνταῦθα οἰ-» κονομούμενον καὶ ἀλλαχοῦ μεθιστάμενον. »

Ἀπὸ εἴδους τὸ γένος, ὡς τὸ, ἀΐω, τὸ αἰσθάνομαι.

Ἀπὸ πολλῶν τὸ ἕν, ὡς τὸ, « στήθεα μαρμαίρον-» τα (2). »

Ἀφ' ἑνὸς τὰ πολλὰ, ὡς τό· « πέρσεν Ὀδυσσεὺς » ἱερὸν Τροίας πτολίεθρον (3). »

Ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον, ὡς τό· « πᾶσα ἡ πόλις ἐταράχθη. »

Ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον, ὡς τὸ (4),***

(1) Sic codex.

(2) Respicit Il. Γ, 337 : Στήθεά θ' ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα.

(3) Codex, ὀδ. καὶ ἱερόν, quasi duo forent exempla. Exemplum est ex Odysseæ initio.

(4) Supplesis e pag. 293, 11.

ΑΝΩΝΥΜΟΥ

ΠΑΘΗ ΤΩΝ ΛΕΞΕΩΝ.*

Πάθη τῶν λέξεων εἰσὶν κζʹ. Πρόσθεσις· οἷον, θέλω ἐθέλω, εἶπεν ἔειπεν. Ἀφαίρεσις· οἷον, ἔφη φῆ, ἅπας πᾶς. Ἐπαναδίπλωσις· οἷον, κλῦτε κέκλυτε, λάχωσι λελάχωσι. Παράλειψις· οἷον, χλιαρὸν λιαρὸν, ψάμαθος ἄμαθος. Ἄρσις· οἷον, βεβλημένος βλήμενος. Ἔκτασις· οἷον, οὗτος οὑτοσί. Συστολή· οἷον, εἴασεν ἔασεν. Ἐπέκτασις· Τρωσὶ Τρώεσι. Συγκοπή· θυγατέρα θύγατρα, ὀπίσωθεν ὄπισθεν. Συναίρεσις· οἷον, πάϊς παῖς, πυλέων πυλῶν (1). Συναφή· βάζει βαβάζει. Ἐπένθεσις· οἷον, ξένος ξεῖνος. Ἔκθλιψις· οἷον, ἑταῖρος ἕταρος. Παρέμπτωσις· οἷον, πόλις πτόλις. Ἔλλειψις· οἷον, σκηπτροῦχος σκηπτοῦχος. Σύγκρασις· οἷον, ἔλαβε λάβε. Παρέλλειψις· οἷον, Ἀχιλᾶς Ἀχιλᾶ. Προσχηματισμός· πρόσωπα προσώπατα, ὄνειρα ὀνείρατα, προσώποις προσώποισιν. Ἀποκοπή· δῶμα δῶ. Παραγωγή· Πριάμου Πριάμοιο. Συναλοιφή· ὡς, ἔφαθ' ὁ ἔφαθ' ὁ (2).

* Recensui ad codices 2720, f. 38; 2408, f. 225. Addidi Ἀνωνύμου. Levissimas quasdam varietates notare negligam. Est Tryphonis de eodem argumento libellus, a Blomfieldio editus in Museo Cantabrigiensi t. I, p. 33; cujus, ut inediti, specimen nuper vir d. in Anecdotis Græcis exhibuit t. II, p. 423. Poterunt etiam conferri quæ de vocum passionibus edidit Backmann. Anecd. t. II, p. 364 sqq.

(1) Inter πυλῶν et ἐπένθεσις quæ est figura non comparet in codice 2720. Codex, βυάζει.

(2) Codex 2720, ἔφατο ἔφαθ'· alter, ἔφατ ἔφαθ'.

Μετασχηματισμός· παρθένος παρθενική. Μετατύπωσις· οἷον, ἐξ Ἰλίου Ἰλιόθεν. Μετάθεσις· οἷον, καρδίη κραδίη. Ἀντίθεσις· Διόνυς (1) Διόνυσος. Συναλλαγή· οἷον, Ἥρα Ἥρη. Κρᾶσις· οἷον, τὰ ἐμὰ τἀμά (2).

(1) Cod. 2720, διόνυσος διονυ. Reposito Διονῦς, diminutivo noto, non capio quid sit antitheseos. Forsan legendum, Διώνυσος Διόνυσος. Literæ enim pro litera alia positio est antithesis. Sic in Etymologico Magno ὅσιος pro ἅσιος exemplum est antitheseos. Alii tamen mutationem quæ fit in Διώνυσος vocare solent ἔκτασιν.

(2) Codex 2408: τἀμά· ὅ ἐστιν ἀλλοίωσις τῶν φωνηέντων.

ΝΙΚΗΤΑ ΤΟΥ ΣΕΡΡΩΝ

ΣΤΙΧΟΙ

ΠΕΡΙ ΓΡΑΜΜΑΤΙΚΗΣ.*

Καιρὸς μὲν ὕπνου (1), καὶ καθεύδειν ἦν δέον·
Ἀλλ' οὖν δι' ὑμᾶς, παῖδες, ἀγρυπνητέον.
Ἡ νὺξ δὲ τοῦ νῦ λῆξιν ἐξεταζέτω (2).

Πᾶν λῆγον εἰς ων, συλλαβὴν ἔχον μίαν,
Τηρεῖ τὸ μακρὸν, ὂν γένους τῶν ἀῤῥένων.
Ὁ πρὼν γάρ ἐστι πρωνὸς, ὡς κλωνὸς, μέγα.
Ἡ χθὼν χθονὸς δὲ, θηλυκὸν, συνεστάλη.
Πᾶν λῆγον εἰς ην ἦτα γεγράφθαι θέλει·
Τροιζὴν δὲ, ποιμὴν, μαρτυρεῖ μοι τῷ λόγῳ·
Πλὴν ὧν δικατάληκτόν ἐστί που θέμα·
Τελχὶν (3), Σαλαμὶν, ὥσπερ ἀκτὶν ἡλίου,
Δελφίν τε, καὶ ῥὶν μύτης, οὐχὶ τἀρνίον (4).
Πᾶν λῆγον εἰς ῶν, ἐν τέλει τόνον φέρον (5),

* E codice 2408, p. 217, 2. Lemma codicis, τοῦ τοῦ σερρῶν, in melius immutare placuit. De Niceta Serrarum in Macedonia metropolita vide Fabric. Bibl. Gr. t. VII, p. 750; Creuzer. Meletem. I, p. 15.

(1) Sunt Oxonii, in codice Barocciano, Psello tributi versus, quorum idem esse initium didici e Fabric. Bibl. Gr. t. X, p. 93.

(2) Significare vult se noctis horas disquisitioni de litera finali ν impendere velle.

(3) Est enim τελχὶς, ut et sequentia, duplici præditum desinentia, ις et ιν. Confer similem regulam Herodiani Epimerismis pag. 170.

(4) Sensus est ῥὶν, δικατάληκτον (nam et ῥὶς dicitur), non scribi per ἦτα, per ν vero ῥὴν τὸ ἀρνίον. Talia non queunt facile capere qui Erasmiana utuntur pronuntiatione. Μύτης est *nasus*: vide not. ad Herodiani Epim. pag. 119.

(5) De hac regula ac sequen-

Δι' ὦντος ἐκκλίνοιτο· καὶ φυλακτέον·
Ὡς Δημοφῶντος καὶ Ξενοφῶντος κλίσις (1)·
Εἰ δ' αὖ παρατέλευτον αὐχεῖ τὸν τόνον,
Ὡς τὸ δράκων δράκοντος, οὐ φυλακτέον.
Τοῦ νῦ δὲ καὶ τοῦ μῦ φανέντος ἐν κλίσει (2).
Πάλιν ἐξ ἀρχῆς τἄλλά μοι σκοπητέον.
Ὅσοις κορισμὸς ἐστὶν ἐν βαρυτόνοις,
Τὸ ω μέγιστον τοῖσδε συντηρητέον·
Ἡφαιστίωνί φημι, Μοσχίωνί τε (3)·
Τοῖς ἐθνικοῖς ξύμπασι, πλὴν τῶν Κικόνων (4),
Πατρωνυμικοῖς (5) καὶ παρωνύμοις ἔτι (6)·
Τούτων Ἀτρείων, τῶν δέ γε Πλάτων, Τρύφων.
Τὰ (7) δ' εἰς ος ὄντα πρὸς τὸν ὄγκον οὐ τρέχει·
Ἀναίμονος γὰρ ἐξ ἀναίμου ληπτέον.
Συντακτέον δὲ τοῖς καλῶς ὀγκουμένοις
Ὅσα βραχυπρόληξιν (8) αὐχεῖ διχρόνου·

te conf. Herodiani Epim. pag. 193, 194.

(1) Codex, κλίνις. Cf. v. 50, 57. Forsan etiam κλίνεις.

(2) Periit versiculus unus saltem, quo tradebatur regula de nominibus cum μν, ut Μέμνονος, Ἀγαμέμνονος.

(3) Diminutivam esse formam ίων docet et Etymolog. M. pag. 420, 52: παρὰ τὸ ἀετὸς Ἀετίων, ὑποκοριστικὸν, ὡς Ἥφαιστος Ἡφαιστίων. Conf. Moschop. Π. σχ. p. 216.

(4) Non solum Κικόνων fuerat excipiendum. Nam dicebant Παιόνων, Μαιόνων. Vide Etymol. M. p. 583, 49; et Nicetam ipsum infra v. 72.

(5) Etymol. M. p. 540, 25: τὰ εἰς ων πατρωνυμικὰ φυλάττουσι τὸ ω ἐπὶ γενικῆς.

(6) Etymol. M. p. 464, 18, nomen Ἰάσων, Ἰάσονος, non a nomine Ἴασιν derivari ait: εἰ γὰρ παρὰ τὴν ἴασιν, ὤφειλε φυλάττειν τὸ ω κατὰ τὴν γενικὴν, ὡς παρώνυμον.

(7) Codex, τῶν. Si nihil desit, illa regula brevior est. Παρώνυμα in ων a nominibus in ος genitivum habent in ωνος, Πλούτωνος, Ἱέρωνος, Θέωνος: παρώνυμα ab adjectivis in ος, in ονος: ἀναίμονος, quod ἀναίμων veniat ab ἄναιμος· ἀτιμονος, quod veniat ἀτίμων ab ἄτιμος. Hanc esse Nicetæ sententiam puto.

(8) Codex; βραχυπρόσληξις. Cf. v. 59.

Ἀμφιτρύωνος καὶ Φάωνος· πλὴν μόνον
Τὴν συστολὴν ἔγνωκεν ἐκ πάντων πρίων·
Ὀπάονος (1) γὰρ ἔκτασις περὶ τοῦ τέλους.
Μεθ' ὧν ὅσοις δίφθογγος αι (2) προληκτέα·
Ἔχοιτε δ' Αἰγαίωνα δεῖγμα τοῦ λόγου.
Τὰ κοινὰ δὲ ξύμπαντα τῷ τριτίῳ γένει (3)
Τὴν συστολὴν πέπονθε· χείρων, βελτίων,
Γείτων, ἄφρων, σώφρων τε, λευχείμων, πέπων·
Ὅσοις τε μακρὰ δίχρονα περὶ τοῦ τέλους (4),
Ἀσκληπιάων, Μαχάων, εἶτ' Ἰξίων.
Παιήονος δὲ τῆς γραφῆς μηδὲν πλέον·
Τοῦ δ' ἦτα τὴν πρόληξιν (5) αἰτιατέον.
Καὶ πᾶν ὃ τὴν δίφθογγον εἰς μων αι φέρει (6),
Ὡς Αἵμονός τε δαίμονος δισυλλάβων,
Οἷς τ' αὖ δύο σύμφωνα προσπεπλεγμένα,
Ὡς Ἴδμονος, δηφράγμονος (7), συσταλτέον·
Τήρει δ' ἂν ὦσι ταῦτα τῶν παρωνύμων·
Ἄγνων Ἄγνωνος· ἐκ γὰρ ἄγνου τυγχάνει.
Καὶ ταῦτα συστέλλουσιν ἃ κτᾶται τέλος
Εἰς μων ὑπερβάλλοντα συλλαβὰς δύο·
Ἀνδραίμονος γὰρ καὶ Παλαίμονος κλίσις
Τὸν ὄγκον ἠρνήσατο, καὶ συνεστάλη·
Οὐ μὴν ἂν ἁπλῶν ὦσι καὶ τρισυλλάβων·

(1) Codex, ὀπαίονος. In ὀπάων penultimae τὸ δίχρονον longum est. Cf. v. 39.

(2) Codex ῃ.

(3) Nitidius Herodianus Epim. p. 194: τὰ εἰς ων βαρύτονα, εἰ μὲν εἰσι τριγενῆ, διὰ τοῦ ο μικροῦ κλίνονται.

(4) Conf. Herodianus Epim. pag. 195; Etymologicum M. pag. 464, 22.

(5) Codex, προσληξιν. Conf. v. 29, 33, 79, 91.

(6) Nitidius paulo scripsisset, δίφθογγον αι εἰς μων φ. Mox καὶ melius foret quam π.

(7) Cod. sic, δηφράγμονος. Forsan, ὡς ἴδμονος καὶ φράδμονος.

Ὁ Πολέμων γὰρ καὶ Ποτάμων ἐξάροι·
Λάμων δὲ διττὰς συλλαβὰς οὐκ ἐξέβη.
Εἶεν. Τί δ', ἃ στέργουσιν ὀξεῖαν τάσιν;
Ὑπὲρ μίαν μὲν συλλαβὴν βεβηκότα,
Τὸ ω φυλάσσει ταῦτα, καὶ δηλοῖ κλίσις
Αἰῶνος ἢ πλειῶνος. Ἀλλ' ἐπαστέον.
Εἰ γὰρ βραχυπρόληξις (1) ὀφθῇ διχρόνῳ,
Τὴν τάσιν (2) ἐξήμειψαν, ὥσπερ οὖν τάδε,
Ἀλεκτρυὼν, περικτυών. Μῆνες δέ γε
Ἁπαξάπαντες Ἀττικῶν φυλακτέοι (3).
Κἂν συλλαβεῖν δέοιμεν καὶ σοφῶς (4) φράσαι,
Ὅσοις τὸ βῆτα τὴν τελευταίαν φέρει
Ἤτ' αὖ δασὺ ξύμφωνον ἢ ψιλὸν πάλιν,
Ἢ τῶν ὑγρῶν ἓν τῶν τριῶν, τοῦ μῦ δίχα,
Τῶν ἐθνικῶν μὴ ὄντα, πάντ' ὄγκον φέρει·
Βουβὼν, Ἑλικὼν, καὶ χιτὼν, ξενὼν ἅμα,
Νυμφὼν, Κιθαιρὼν, τἄλλα· πλὴν κανὼν μόνος
Ἀσυνθετήσας ἐξ ἁπάντων εὑρέθη·
Καὶ τὸν λόγον ἂν εἶπον· ἀλλ' ἔρροι φθόνος.
Τὰ δ' ἐθνικὰ προὔκειτο πρὸς Παφλαγόνας·
Τοῦ μῦ δὲ χωρίς· οἷς γὰρ αὐτὸ τυγχάνει,
Χρόνον τε δηλοῖ καὶ τόπον, τηρητέον·
Χειμῶνος καὶ κευθμῶνος (5), λειμῶνος, μέγα.

(1) Codex, βραχυπρόληψις. Cf. supra v. 29.

(2) Codex, πάξιν. Significare vult in nominibus quæ ante ων δίχρονον breve habent, permutationem τῆς τάσεως fieri, id est, ων nominativi in ονος abire: ἀλεκτρυὼν, ἀλεκτρυόνος.

(3) Nomina mensium fiunt per ὼν, ῶνος. Vide Herodian. Epim. p. 198; Arcadium de accentibus p. 18.

(4) Codex, διουλλαβεῖν. Rescripsi quod scripsit auctor, qui et σαφῶς, puto, dederat. Velim et δέῃ με, pro δέοιμεν: sed conf. v. 92.

(5) Cod., χειμῶνα καὶ κευθμῶνα.

Ἄλλως δ' ἔχοντα καὶ γραφῆς ἄλλως ἔχει·
Στρυμὼν δ' ἐναργὲς σύμβολον τέτραμμένος (1).
Τὰς συλλαβὰς δὲ μὴ στέργοντα τὰς δύο,
Τοῦ τ' ἄλφα τὴν πρόληξιν (2) εὐτυχηκότα,
Τηρεῖ τὸν ὄγκον· καὶ πλαταμὼν δεικνύει.
Τὰ δ' αὖ παρ' αὐτὰ ταῦτα καὶ βραχυντέα,
Ὡς ἡγεμὼν καὶ κηδεμὼν τε σὺν δαιτυμόνι.
Εἰς δὼν τε μὴν (3) λήγοντα τοῦ πρώτου γένους
Ἔχουσι τὴν βράχυνσιν, ὡς Μυρμιδόνες·
Τὰ μὴν πόλεις δηλοῦντα δευτέρου γένους,
Οἵας ποτ' ἂν ᾖ λήξεως, οἵου καὶ τόνου,
Εἰς ὄγκον ἐξήρθησαν οὐ λελυμένον,
Σιδὼν, Καλυδὼν, Ἀσκάλων, Πυθὼν, Κρότων,
Ἄνευ Ὀλοσσόνος τε καὶ Τερηδόνος,
Ἀνθηδόνος (4) τε, καὶ καλῆς Χαλκηδόνος.
Τοῦ δ' ἦτα τὴν πρόληξιν (5) ἔσχον αἰτίαν.
Ἂν δ' ὀξύνοιτο, μήδε σημαίνοι (6) πόλιν,
Τὴν συστολὴν ἔστερξεν ὡς ἐξ εἰκόνος
Μαθεῖν πάρεστι τοῦτο καὶ θηλαμόνος.
Τὸ ω δ' ἔχουσιν αἱ βαρυτόνων κλίσεις,
Γλήχωνος καὶ μήκωνος. Ἀλλ' ὑπνωτέον·
Τὸ γὰρ πόνημα σὺν Θεῷ τέλος φέρει (7).
Ὑμεῖς δὲ, παῖδες φίλτατοι, πείθεσθέ μοι (8),
Καὶ θῆλυ συμμίξαντες ἀῤῥένων γένει
Πανευτρεπεῖς (9) τίκτοιτε παῖδας τοὺς λόγους.

(1) Forsan γεγραμμένος.
(2) Codex, πρόσληξιν.
(3) Codex, μή.
(4) Et sic ἀνθηδόνος, *apis*. His regulis admoveatur Herodianus Epimerismis pagg. 198, 229.
(5) Codex, πρόσληξιν.
(6) Codex, σημαίνει: ob ὀξύνοιτο scripsi σημαίνοι.
(7) Codex, φέρρι.
(8) Codex, πίθεσθαί μοι.
(9) Forsan πανευπρεπεῖς.

ΤΟΥ ΑΥΤΟΥ

ΤΑ ΣΥΣΤΕΛΛΟΝΤΑ

ΚΑΙ ΦΥΛΑΣΣΟΝΤΑ

ΤΟ Ω ΤΗΣ ΕΥΘΕΙΑΣ ΚΑΙ ΤΗΣ ΓΕΝΙΚΗΣ.*

Ἀγνώμονος, ἀγάστορος (1), Ἀγήνορος, ἀγχίονος, Ἀγαμέμνονος, ἀγανόφρονος, Ἀγαπήνορος. Καὶ πάντα τὰ εἰς ωρ ἑλληνικὰ ὀνόματα διὰ τοῦ ο μικροῦ κλίνεται· Ἕκτορος, Νέστορος, Νικάνορος· ὦ ἀγνόμον, ὦ ἀφῆτορ, ὦ Νέστορ· πλὴν τοῦ μήστωρ. Τὰ μέντοι ῥωμαϊκὰ φυλάττουσιν αὐτό· ῥαίκτωρος (2), κοαίστωρος, πραίτωρος, στράτωρος, ἀστράτωρος, μαΐστωρος, μανδάτωρος, δικτάτωρος· δεφένσωρος, τοῦ ἐκδίκου· πράκτωρος, ἐξάκτωρος· πλὴν κράτορος καὶ τῶν παρὰ τὸ κρατῶ, αὐτοκράτορος· φιλοπάτορος καὶ φράτορος, ἑλληνικά. Ἀγχιτέρμονος, ἀθρήστωνος (3), Ἄδωνος, ἀδαήμονος δὲ (4)· ἀείρωνος, τοῦ ἀθωπεύτου· Αετίωνος, ἀεσίφρονος· Ἄζωνος, ποταμοῦ, καὶ Ἀζῶνος, κυρίου· ἀηδόνος, Ἀΐδονος δὲ, κυρίου, τοῦ Ἅδου· Ἀδιμῶνος, Ἀθηναιῶνος, Ἀθηνιῶνος, Αἰβίωνος, Αἰγαίωνος· Ἔδωνος,

* Ex eodem codice 2408, p. 218, 2. Lemma τοῦ αὐτοῦ non ad hunc ipsum locum est appositum, sed superiore pagina ad alias regulas.

(1) Codex, ἀγάστονος.

(2) Herodianus Epimer. pag. 118: ῥαίκτωρ, ἀξίωμα. Est et alia, quamque prætulerim, scriptura, ῥέκτωρ. Glossæ juris Labbæi: ῥέκτωρ, πρέσις, δοὺξ, ἡγεμών. Potuere tamen scribere per diphthongum, ne nomen videretur ab ῥέζω derivari, ut ῥέκτης.

(3) Ita codex.

(4) Videtur omisisse nonnihil librarius. Conjunctio δὲ oppositionem quamdam significat.

ἐθνικόν· αἰγείρωνος (1), αἴθωνος, αἰγάρωνος (2), Ὤδωνος, αἴθμωνος· Αἵμωνος, ποταμοῦ· αἴξωνος, τοῦ ὑπερηφάνου· αἰσάλωνος, ζώου· Αἴσωνος, κυρίου, καὶ παρὰ Λυκόφρονι καὶ παρ' Ὁμήρῳ (3) καὶ παρ' ἡμῖν· καὶ Αἴσωνος, ποταμοῦ· Αἰσχίωνος, κυρίου, αἰσχίονος δὲ, τοῦ αἰσχροῦ· Αἰσχρίωνος, αἰδήμονος· αἰδήφρονος (4), τοῦ αἰσχυντηλοῦ· αἴσιωρος, Αἰθερίωνος· Ἀκρέμωνος, κυρίου, ἀκρέμονος δὲ, τοῦ κλάδου.

(1) Codex, αἰγείρωνος. Non statim de scribendo αἰγειρῶνος cogitandum. Arcadius p. 15 : τὰ εἰς ρων, μὴ παραληγόμενα τῇ οι ἢ αι διφθόγγῳ, εἰ μὴ τοπικὰ εἴη ἢ πόλει ὁμωνυμεῖ, βαρύνονται.

(2) Cum dittographia αἰγάλωνος. An αἰγαχείωνος?

(3) Videtur et hic esse lacuna; nam apud illos poetas Αἴσωνος non reperiri puto.

(4) Codex, αἰδίφρονος.

ΑΝΩΝΥΜΟΥ

ΣΧΕΔΟΓΡΑΦΙΑ.*

« Δεικνὺς ὁ Χριστὸς ὅτι τὸν ἄνθρωπον ἐδημιούργησε » καὶ ἀπὸ χοὸς διήρτισε, πηλῷ χρησάμενος ὀμματοῖ » τὸν πεπηρωμένον τῶν ὠπῶν, ἤτοι τῶν ὀφθαλμῶν » τὸ φῶς αὐτῷ χαρίζεται. »

« Δεικνύς. » — Συζυγίας τετάρτης τῶν εἰς μι· τὸ θέμα δεικνύω, καὶ ὁ παρατατικὸς ἐδείκνυν, ἡ μετοχὴ ὁ δεικνύς. Τὸ δεῖ δίφθογγον· διὰ τί; Τὰ διὰ τοῦ εικω ῥήματα· καὶ ἔμαθες. Τὸ κνὺς ψιλόν· διὰ τί; Τῶν εἰς μι ἡ πρώτη μὲν καὶ δευτέρα συζυγία τῷ η παραλήγεται, ἡ δὲ τρίτη τῷ ω, ἡ δὲ τετάρτη διχρόνῳ ἐκτεταμένῳ (1).

« Ὅτι. » — Σύνδεσμος αἰτιολογικός· καὶ ἔμαθες.

« Τὸν ἄνθρωπον. » — Εὐθεῖα ὁ ἄνθρωπος. Πόθεν ἐτυμολογεῖται; Παρὰ τὸ ἄνω ἀθρεῖν, ἤγουν βλέπειν· μόνος γὰρ ὁ ἄνθρωπος τῶν ἄλλων ζώων ἄνω βλέπει (2)·

* E codice regio 1720, pag. 100. Fragmentum est opusculi grammatici, illi similis quod Moschopulus composuit. Initium est *δεικνὺς συζυγίας*—. Lemma addidi, et totum ipsum thema, *δεικνὺς ὅτι*—. Thematis verba ex ipsa commentatione grammatici excerpsi, additis addendis ex Moschopuli libro *περὶ σχεδῶν* p. 102, ubi idem thema exstat, sed alia instructum explicatione.

(1) Codex, *τὸ η.... τὸ ω.... δίχρονον ἐκτεταμένον.*

(2) Notus Ovidii locus: « Pro» naque quum spectent animalia » cetera terram, Os homini subli» me dedit, cœlumque tueri Jus» sit, et erectos ad sidera tollere » vultus. » Seneca De otio sapientis § 32 habet quæ conferantur, admota etiam Pricæi nota ad Apul. Apol. p. 16. Philemo Stobæi tit. 2, 26: *Οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων Ἄνθρωπον; οὐδὲ μικρόν, ἀλλὰ σχήματι· Πλάγι᾽ ἐστὶ τἄλλα, τοῦτο δ᾽ ὀρθὸν θηρίον.* Lactantius II, 1, adductis « inge-

ἢ παρὰ τὸ ἄνω θεωρεῖν, ἤγουν διαλογίζεσθαι ἃ ὄπωπεν ἤτοι εἶδε (1). Τὸ θρω μέγα· διὰ τί; Τὰ παρὰ τὸν ὦπα ἐν συνθέσει γινόμενα ὀνόματα διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ἄνθρωπος, πρόσωπον, μέτωπον, ἐνώπιον, βλοσυρωπὸς, ἀγελωπὸς, αἱμωπὸς (2), σκυθρωπὸς, δυσωπῶ, ἀντωπῶ, καὶ τὰ ὅμοια· πλὴν τοῦ χαροπὸς, μαστροπὸς (3), ἐχθοδοπός (4). Πολυοπὸν ῥάκος, μικρόν· πολυωπὸν δὲ δίκτυον, μέγα.

« Ἐδημιούργησε. » — Συζυγίας πρώτης τῶν περισπωμένων. Τὸ θέμα δημιουργέω δημιουργῶ, ὁ μέλλων δημιουργήσω, ἀόριστος ἐδημιούργησα ἐδημιούργησας ἐδημιούργησε. Τὸ δη, η· διὰ τί; καὶ τὸ μι ι· διὰ τί; Δημιουργὸς, η καὶ ι· δημηγόρος δὲ καὶ δημηγορῶ ῥῆμα, ἦτα τὰ δύο. Τὸ γη, η· διὰ τί; Ἐκ τοῦ δημιουργῶ, δημιουργήσω μέλλοντος.

« Καὶ ἀπὸ χοός. » — Πόσα μέρη λόγου εἰσί; γʹ. Καὶ, σύνδεσμος· ἀπὸ, πρόθεσις· χοὸς, ὄνομα ἀρσενικόν. Καὶ ἔστιν ἡ εὐθεῖα ὁ χοῦς, τοῦ χοός· τὸ βοῦς, βοός.

« Διήρτισε. » — Τὸ θέμα διαρτίζω. Πόθεν γίνεται; Ἐκ τῆς διὰ προθέσεως, καὶ τοῦ ἀρτίως, ὃ σημαίνει τὸ ὁλόκληρον. Τὸ ηρ, η· διὰ τί; Ἐκ τοῦ διαρτίζω

» niosi poetæ » verbis : « hinc uti» que ἄνθρωπον Græci appellarunt, » quod sursum spectet. »

(1) Conf. Moschopulus Περὶ σχεδῶν pag. 95.

(2) Codex, ἡμωπός. Est αἱμωπὸς apud Moschopulum, quem de hoc epimerismo vide in libro περὶ σχεδῶν pag. 96.

(3) De scriptura nominis μαστροπὸς vide notata ad Aristæn. pp. 526, 716. Synesio tamen relinquendum est μαςρωπὸς ὕλα, videlicet propter metrum, Hymno III, 662.

(4) Moschopulus pag. 96, 4, habet ἐχθροπὸς, hinc corrigendum, ut videtur; invenique ἐχθοδοπὸς in Moschopuli cod. 2599. Posset et ἐχθροδοπὸς legi, quod habet Herodianus in illo epimerismo p. 208.

κατὰ τροπὴν τοῦ α εἰς η. Τὸ τι, ι· διὰ τί; Διὰ τὸ ἵζω ῥήματα· καὶ ἔμαθες. Καὶ ἄλλως. Ἀρτῶ, ἐξαρτῶ καὶ ἀναρτῶ, διὰ τοῦ η ἔχουσι τοὺς μέλλοντας· ἀρτίζω δὲ καὶ ἀπαρτίζω καὶ καταρτίζω, καὶ συνετίζω, διὰ τοῦ ι.

« Πηλῷ. » — Ἡ εὐθεῖα ὁ πηλός. Παραγίνεται δὲ ἀπὸ τοῦ παλάσσω, τὸ μολύνω· πηλὸς γὰρ λέγεται ἡ βεβρεγμένη γῆ· ὡς καὶ Ὅμηρος· « παλάσσετο (1) » δ' αἵματι θώρηξ. » Σημαίνει δὲ τὸν οἶνον, ἢ παρὰ τὸ πάλλειν καὶ κινεῖν καὶ σείειν τὰς φρένας ἡμῶν ἐν τῷ πίνειν· ὅθεν καὶ κάπηλος (2). Τὸ πη, η· διὰ τί; Φαίνεται μὲν καὶ ἀπὸ τῆς ἐτυμολογίας, κατὰ τροπὴν τοῦ α εἰς η. Ἀποδίδοται δὲ καὶ οὕτως· τὰ εἰς γος καὶ εἰς λος καὶ εἰς ρος ἅπαντα διὰ τοῦ η γράφεται· εἰς γος, οἷον ὁδηγὸς, ποδηγὸς, ναυπηγὸς (3), κυνηγὸς, ξυληγὸς, οἰνηγὸς (4), σιτηγὸς, ἀρχηγὸς, στρατηγὸς, ὁπληγὸς (5), καὶ τὰ ὅμοια· τὰ εἰς λος, οἷον ὑψηλὸς, χαμηλὸς (6), μιμηλὸς, σιγηλὸς, σιωπηλὸς, αἰσχυντηλὸς (7), πηλὸς ὁ βόρβορος, τρυφηλὸς, χηλὸς τὸ κιβώτιον, καὶ τὰ ὅμοια· πλὴν τοῦ χιλὸς ὃ σημαίνει τὴν τροφὴν, ἐξ οὗ καὶ Ἀχιλλεὺς, νεογιλὸς (8) ὁ νέος, ψιλὸς ὁ γυμνὸς, καὶ δαψιλῶς ἐπίρρημα, καὶ δαψιλὴς, δαψίλεια· ταῦτα γὰρ διὰ τοῦ ι γράφεται. Τὸ δὲ δειλὸς ὁ ἀσθενὴς, δίφθογγον. Τὰ εἰς ρος, οἷον ὀκνηρὸς, καματηρὸς, ξηρὸς, γεηρὸς, σκληρὸς, ὀδυνηρὸς, πηρὸς

(1) Il. E, 100.
(2) Codex, κάπολος.
(3) Codex, ναυτηγός. Cf. Moschop. Π. σχ. p. 103.
(4) Sic codex. Fors. ὀνηγός.
(5) An ἱππηγός?
(6) Moschop. ibid. : ὑψηλὸς, ὑπνηλός. Cui restituas, post ὑψηλὸς, e codice 2599 adjectivum χαμηλός.
(7) Codex, αἰσχατηλός.
(8) Cod. νεο ὸς, ceteris deletis.

ὁ τυφλὸς, κομπηρὸς, κηρὸς τὸ κηρίον, καὶ εἴ τι ὅμοιον· πλὴν τοῦ κιῤῥὸς ὁ κίτρινος, καὶ ἱρὸς ὁ ἱερός (1). Καὶ ἄλλως. Πηλὸς ὁ βόρβορος, η· πῖλον δὲ τὸ κέντουκλον, ι.

« Χρησάμενος. » — Τὸ θέμα χράω χρῶ συζυγίας δευτέρας τῶν περισπωμένων. Τὸ χρη, η· διὰ τί; Χρισάμενος ὁ ἀλειψάμενος, ι, καὶ γίνεται ἐκ τοῦ χρίω τὸ ἀλείφω· χρησάμενος δὲ ὁ χρείαν ποιησάμενος, η, καὶ γίνεται ἐκ τοῦ χρῶ χρήσω. Ἰστέον δὲ ὅτι τὸ χρῶμαι ἀεὶ μετὰ δοτικῆς συντάσσεται· ὡς τὸ, « ἐχρήσατο ὁ Κύριος τῷ πηλῷ καὶ ἤνοιξε τοὺς » ὀφθαλμοὺς τοῦ τυφλοῦ. »

« Ὀμματοῖ. » — Τὸ θέμα ὀμματόω ὀμματῶ συζυγίας τρίτης τῶν περισπωμένων, τὸ δεύτερον ὀμματόεις ὀμματοῖς, τὸ τρίτον ὀμματόει ὀμματοῖ. Πόθεν γίνεται; Ἐκ τοῦ ὄπτω τὸ βλέπω. Τὸ ο μικρόν· διὰ τί; Τὰ (2) διὰ τοῦ ὄπτω ῥήματα διὰ τοῦ ο μικροῦ γράφεται, οἷον ὄπτω τὸ βλέπω, κόπτω, προσκόπτω τὸ προσκρούω, ἐξ οὗ καὶ πρόσκομμα τὸ ἐμπόδιον· πλὴν τοῦ σκώπτω τὸ λοιδορῶ, ἐξ οὗ καὶ σκῶμμα ἡ λοιδορία καὶ σκώπτης ὁ λοίδορος. Εἰς τὸ ο ψιλόν· διὰ τί; Τὸ ο πρὸ τοῦ μ, μεθ' οὗ καὶ ἕτερον σύμφωνον, ψιλοῦται· ὀμφὴ, ὄμβρος καὶ ὄμμα.

« Τὸν πεπηρωμένον. » — Τὸ θέμα πηρόω πηρῶ, ὃ σημαίνει τὸ τυφλώττω, συζυγίας τρίτης τῶν περισπωμένων· καὶ γίνεται ἐκ τοῦ πηρὸς ὁ τυφλός·

(1) Moschopulus in eadem regula p. 103 : καὶ Ιρος. Esset Ἶρος, nomen proprium, nec inopportunum exemplum ; sed codex 2599 exhibet : καὶ ἱρὸς ὁ ἱερός.

(2) Codex : διὰ τί· ἐκ τοῦ ὄπτω τὸ βλέπω τά. Quæ erant superflua sustuli.

τὸ δὲ πηρὸς παρὰ τὸ πήθω, τὸ πανθάνω, ὁ μέλλων πήσω· καὶ ἐξ αὐτοῦ πηρὸς ὁ ἐπὶ παντὸς μέρους πεπονθὼς καὶ βεβλαμμένος, ἐξαιρέτως δὲ ἐπὶ τῆς ὄψεως. Τὸ πη, η· διὰ τί; Τὰ εἰς ρος καὶ εἰς λος· καὶ προγέγραφη. Καὶ ἄλλως. Ἐκ τοῦ πήθω τὸ πανθάνω. Τὰ διὰ τοῦ ηθω ῥήματα διὰ τοῦ η γράφεται, οἷον γήθω (1) τὸ χαίρω, νήθω τὸ κλώθω, λήθω τὸ λανθάνω, σήθω τὸ κοσκινίζω, πρήθω τὸ καίω, πλήθω τὸ γέμω, κνήθω, τὸ (2) δινθῶ περισπωμένως τὸ σακκαλίζω· πλὴν τοῦ βείθω τὸ βαρῶ, ὅπερ γράφεται διὰ τοῦ ι, καὶ πείθω τὸ καταπείθω διὰ διφθόγγου. Τὸ ρω, μέγα· διὰ τί; Ἐκ τοῦ πηρῶ πηρῶ, πηρώσω μέλλοντος· ἡ δὲ τρίτη συζυγία τῶν περισπωμένων, ὅπερ προγέγραφη.

« Ὡς παντοδύναμος. » — Τὸ ὡς, μέγα· διὰ τί; Τὸ τῆς παραβολῆς ἢ ὁμοιώσεως ὡς δασύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται. Καὶ ἄλλως. Ὅς ἀντὶ τοῦ οὗτος ὁ ἄνθρωπος δεικτικὸν μετὰ τόνου, καὶ ὃς ἀντὶ τοῦ ὅστις, μικρόν· ὡς δὲ σύνδεσμος χωρὶς τόνου, καὶ ὣς μετὰ τόνου ἀντὶ τοῦ κατὰ τοιοῦτον τὸν τρόπον, μέγα. Παντοδύναμος γίνεται ἐκ τοῦ πᾶς παντὸς καὶ τοῦ δύνω τὸ ὑπεισέρχομαι· ἡ δύνουσα (3) καὶ ἐνεργοῦσα καὶ πράττουσα τὸ συμφέρον. Τὸ δυ ψιλόν· διὰ τί; Τὰ διὰ τοῦ υνω ῥήματα διὰ τοῦ υ ψιλοῦ

(1) Conf. de hoc epimerismo Herodianus Epimer. p. 245.

(2) Quum articulus sit contra scriptoris usum positus, puto excidisse verbi κνήθω explicationem, scribendumque, κνήθω τὸ ξύω, δινθῶ.

(3) Manifestum est nonnihil fuisse a librario omissum. Locus forsan sic fuit conceptus: δύνω τὸ ὑπεισέρχομαι, ἐξ οὗ δύναμις ἡ δύνουσα —. Etymologicum M. huc enim ducit: δύναμις, ait, ἡ παρὰ τὸ δαινύω, ἢ παρὰ τὸ δύνω, ἡ δύνουσα καὶ περάτουσα καὶ διαιροῦσα τὸ ἀνθιστάμενον.

γράφεται, οἷον δύνω τὸ ὑπεισέρχομαι, σεμνύνω, μηκύνω, πλατύνω, καλλύνω, δασύνω, βραδύνω, καὶ τὰ ὅμοια· πλὴν τῶν περισπωμένων, κοινῶ τὸ μολύνω, θοινῶ τὸ εὐωχῶ, καὶ παροινῶ.

« Τῶν ὠπῶν. » — Ἡ εὐθεῖα ὁ ὢψ, καὶ ἡ γενικὴ (1) τοῦ ὠπὸς, ἡ γενικὴ τῶν πληθυντικῶν τῶν ὠπῶν. Γίνεται δὲ ἐκ τοῦ ὄπτω τὸ βλέπω, ὁ μέλλων ὄψω, καὶ, ἀποβολῇ τοῦ ω μεγάλου καὶ ἐπαυξήσει τοῦ ο μικροῦ (2), ὢψ τοῦ ὠπός. Ὁ κανών· τὰ εἰς ψ λήγοντα μονοσύλλαβα διὰ τοῦ π κλίνονται, πλὴν τοῦ λὶψ λιβὸς ὁ ἄνεμος, Νὶψ Νιβὸς ὄνομα κρήνης (3), καὶ φὰψ φαβὸς (4), καὶ φλὲψ φλεβός. Τοῦ ὠπὸς ὁ τόνος, ἢ

(1) E conjectura scripsi ἡ γενική. Codex hoc loco maculosus non potest legi.

(2) Codex, ἀποβολὴ τοῦ ο μικροῦ καὶ ἐπαυξήσει τοῦ ω μεγάλου : quod mutandum fuit. Vult enim dicere ex futuro ὄψω fieri nomen ὢψ, sublato ω finali, et mutato priore ο in ω. Conf. Etymol. M. in ὢψ.

(3) Fons fuit in Thracia, si Photii Lexico fides. Vide not. ad Hesychianam glossam, Νίβα... κρήνην, et Chœroboscum Bekk. Anecd. p. 1402.

(4) Exstat versiculus inter Leonis philosophi carcinos, ab Allatio in Excerptis editos pag. 398, hinc explicandus, ni fallor: Ἀβὰ φάγε μέγα φάβα. Verterim : « Abba, ede valde palumbem. » Carcinis ab Allatio editis addam, occasione se præbente quam quæsivisse puderet, quos inveni anonymos in codice 1720, pag. 73, 2 : Ἡ πύλη ἰταμῶς σώματι ἡ λύπη· Σοφὸς Σαβὰς ἀβὰς σοφός. Addam etiam Allatianis, sed quos ab Arsenio editos puto in libro raro quem Fabricius recensuit Bibl. Gr. t. I, p. 744, carcinos Tzetzæ, e cod. 3058, p. 51, 1 : Ἀθλήσας ἤδη πώλῳ πηδήσας ἦλθα· Νόσον ἔβαλεν ὁ λιμὸς, ὃς ὅμιλον ἔλαβεν ὅσον· Ἀμήσας ἄρδην, ὀροφηφόρον ἤδρασα σῆμα· Ἀλύξας ὤρην ἠνεμωμένην ἤρωσα ξύλα· Ἤδη μοι Διὸς ἄρα πηγὴ παρὰ σοὶ, Διομήδη. Quorum versuum primus, tertius, quintus, sunt sine auctoris nomine in cod. 1720; secundus etiam anonymus in codice 1310, pag. 65, 2. In tertio codex 1720 habet ἤδρασας ἦμα, in quinto ἆρα sine πηγή. Didici, lecto codice 3058, ex versibus Leoni tributis ab Allatio, Ptochoprodromo dandos esse primum, tertium, quintum, sextum, septimum, octavum et nonum. Plura a me notata omitto, aliis qui

ὦπος πρὸς ἀντιδιαστολὴν (1) τοῦ ὠπὸς, ὃ σημαίνει τὸν ὀφθαλμὸν, βαρύνεται. Εἰ δὲ σημαίνει τὴν φωνὴν, πόθεν γίνεται; Παρὰ τὸ ἔπω, ὁ μέλλων ἔψω, καὶ ἀποβολῇ τοῦ ω καὶ τροπῇ τοῦ ε εἰς ο, ὄψ· κλίνεται δὲ καὶ αὐτὸ διὰ τοῦ π. Καὶ Ὅμηρος, « ἀμειβόμεναι (2) » ὀπὶ καλῇ », καὶ « ἀκούουσαι (3) ὄπα ἀρνῶν. » Εἰς τὸ ο ψιλόν· διὰ τί; Ἐκ τοῦ ὀπίσω, τὸ βλέπω. Τὸ ο πρὸ τοῦ π ψιλοῦται, εἰ μὴ ἀναφορικὸν εἴη (4) ἢ ὑποτάσσεται τὸ π (5)· ταῦτα γὰρ δασύνονται, οἷον ὁπόσος, ὁποῖος, ὁπηλίκος, καὶ τὰ ὅμοια. Τὸ ω μέγα, διὰ τί; Τὰ εἰς ωψ ὀνόματα διὰ τοῦ ω μεγάλου γράφεται, οἷον κύκλωψ, μύωψ, κώνωψ, νυκτάλωψ, κέρκωψ (6), καὶ τὰ ὅμοια· πλὴν τοῦ Αἰθίοψ, Πέλοψ, μέροψ, Κέκροψ, Δρύοψ, Δόλοψ, ἔλοψ ὁ ἰχθὺς, ἔποψ, χάροψ, νώροψ ὁ λαμπρὸς, καλαύροψ ἡ ποιμενικὴ ῥάβδος, καὶ τὰ ὅμοια. Τὰ δὲ μονοσύλλαβα ἅπαντα

otium et diligentiam circa eas recentiorum ineptias perdere volent, tradita face; unica tamen observatione defunctus, scilicet in versiculo Leonis, Εἰς ὅλα καλὸς εἶ καλὸς εἶ, delendum esse verborum male repetitorum clausulam καλὸς εἶ, et in ει, non literas duas, sed unum sonum ι, considerandum.

(1) Hæc sunt vitiata. Sententia postulat sic ferme verba concipi: τοῦ ὦπος ὁ τόνος, ὠπὸς ἢ ὦπος· Ὦπος πρὸς ἀντιδ. Scilicet τοῦ Ὦπος, nomen proprium, barytonum est, ut ab appellativo τοῦ ὠπὸς distinguatur.

(2) Il. Α, 604.

(3) Il. Δ, 435.

(4) Etymolog. M. p. 627, 33: τὸ ο πρὸ τοῦ π, μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦται. Arcadius p. 198: ὁπόσος ὁποῖος, καὶ τὰ ὅμοια, ὡς ἀναφορικὰ, δασύνεται. Conf. Lexicon De spiritibus p. 234.

(5) Forsan, ἢ ὑποτάσσεται τῷ π τὸ λ: nam Lexicon De spir. p. 234 ait tenuari τὸ ο πρὸ τοῦ π, πλὴν τῶν ἐχόντων τῷ π ἐπαγόμενον τὸ λ, οἷον ὅπλον. Et Arcadius l. c.: τὸ ο πρὸ τοῦ π ψιλοῦται, εἰ μὴ τὸ λ ἐπάγοιτο. Pariter Etymolog. M., posita de tenuitate τοῦ ο πρὸ τοῦ π regula, addit p. 627, 39: τὸ ὁπλὴ ἀντιπίπτει.

(6) Herodianus, de hoc epimerismo agens p. 192, nomen habet κέρωψ, in κέρκωψ, ut videtur, reformandum.

μεγάλα, οἷον ὼψ ὁ ὀφθαλμὸς, ῥὼψ ὁ θαμνὸς, ἐξ οὗ καὶ ῥῶπες καὶ ῥωπήϊα, θὼψ ὁ κόλαξ καὶ κλίνεται θωπὸς, ἐξ οὗ καὶ θωπεύω, θωπεία ἡ κολακεία, σκὼψ εἶδος ὀρνέου, κλὼψ ὁ κλέπτης, καὶ τὰ ὅμοια· πλὴν τοῦ ὂψ ὀπὸς, ὃ σημαίνει τὴν φωνήν· τοῦτο γὰρ ἐκ τῶν μονοσυλλάβων διὰ τοῦ ο μικροῦ γράφεται.

« Ἤτοι. » — Ποίου μέρους λόγου ἐστί; συμπλεκτικοῦ συνδέσμου, σχήματος συνθέτου. Σύγκειται δὲ ἐκ τοῦ ἢ διαζευκτικοῦ καὶ τοῦ τοὶ διαπορηματικοῦ καὶ διαβεβαιωτικοῦ. Ἐπὶ μὲν τῶν τριῶν ψιλοῦται καὶ ὀξύνεται (1). Ἐπὶ δὲ τῆς βεβαιώσεως ἀντὶ τοῦ ὄντως (2) ψιλοῦται καὶ περισπᾶται· οἱ γὰρ σύνδεσμοι πάντες ψιλοῦνται. Τὸ δὲ ἧ ἀντὶ τοῦ καθὰ, καὶ ἧ ἄρθρον ἐπὶ δοτικῆς τῶν ἑνικῶν, δασύνεται καὶ περισπᾶται. Σημείωσαι δὲ καὶ οὕτως. Ἤτοι καὶ ἤγουν διασαφητικὰ ἐπιῤῥήματα (3), ἢ· εἴτουν δὲ καὶ αὐτὸ διασαφητικὸν ἐπίῤῥημα, δίφθογγον.

« Τῶν ὀφθαλμῶν (4). » — Ὀφθαλμὸς γίνεται παρὰ τὸ ὄπτω τὸ βλέπω καὶ τοῦ ἄλλομαι τὸ πηδῶ, ὀπταλμὸς, καὶ, τροπῇ τοῦ π εἰς φ καὶ τοῦ τ εἰς θ, ὀφθαλμός· δι' οὗ ἄλλεται τὸ ὁρατικόν. Τὸ ο μικρόν· διὰ τί; Τὸ ο πρὸ τοῦ φ διὰ τοῦ ο μικροῦ γράφεται, οἷον ὄφελος, ὀφείλω ῥῆμα τὸ χρεωστῶ, ὀφειλὴ τὸ χρέος, ὄφις καὶ κλίνεται ὄφεως, ὄφρα ἀντὶ τοῦ ὅπως,

(1) Codex, δασύνεται. Locus est mutilus. Dicere voluit grammaticus voculam ἠ tenuari et acui in tribus significationibus, scilicet quum sit disjunctiva, explicativa, dubitativa. Videatur Moschopuli liber Περὶ σχεδῶν p. 106, Etymologicum M. in Ἦ et Ἤ.

(2) Codex, ἀντὶ τοῦ ὅπως.

(3) Codex, διασαφητικὸν ἐπιῤῥήματος.

(4) Inserui τῶν ὀφθαλμῶν, ex themate pag. 330.

ὄφελον (1) ἀντὶ τοῦ ἄμποτε· ὡς μὴ ὤφελον, μέγα· ὄφλω τὸ χρεωστῶ, ὄφλημα τὸ χρέος, Ὀφνεὶ (2) κύριον, ὀφέλλω τὸ αὐξάνω, ὀφφίκιον, ἐξ οὗ καὶ ὀφφικιάλιος ῥωμαϊκὴ λέξις, ὀφειλέτης ὁ χρεώστης, ὀφειλέσιον, ὀφθαλμὸς, καὶ εἴ τι ὅμοιον· πλὴν τοῦ ὠφελῶ, ὠφέλεια, ὠφέλιμος, ὤφειλεν ἀντὶ τοῦ ἐχρεώστει, καὶ ὤφασι ἀντὶ τοῦ ἐθεάσαντο. Εἰς τὸ ο ψιλόν· διὰ τί; Τὸ ο πρὸ τοῦ χ, φ, ψιλοῦται· ὀφείλω, ὀχυρὸς, ὄχλος.

« Τὸ φῶς (3). »—Φως σημαίνει δύο· ὀξυνόμενον μὲν τὸν ἄνδρα, περισπώμενον δὲ τὸ τῆς ἡμέρας φῶς. Ἀμήν (4).

(1) Theodorus Prodr. in Notit. Mss. t. VIII, II, p. 88 : χρυσὶ... ὡς ὤφελον, ὕδωρ καὶ γαῖα γινόμενος, εἰς τὰ ἐξ ὧν συνέστηκας, ἀνελύθης! Reponam ὄφελον.

(2) Ophni est nomen unius e filiis Heli : vide 1 Reg. 1, 3. Herodianus in hoc epimerismo pag. 104 : ὀφνὼς, ἑβραϊκὸν ὄνομα. Reponendum puto Ὀφνεὶ vel Ὀφνί.

(3) Inserui τὸ φῶς.

(4) Etsi apposuerit librarius bonam precationem ἀμὴν, quasi absoluto opusculo, omisit epimerismum verborum thematis ultimorum, αὐτῷ χαρίζεται.

ΕΡΜΗΝΕΙΑΙ ΛΕΞΕΩΝ
ΤΩΝ ΕΝ Τῼ͂ ΑΠΟΣΤΟΛῼ͂ ΠΑΥΛῼ͂
ΕΜΦΕΡΟΜΕΝΩΝ.*

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Ἀπαύγασμα [1, 3]. « Ὅς ὢν ἀπαύγασμα τῆς δόξης » καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. » Τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὰ ἔξω διεκδρομὴν καλεῖ ἀπαύγασμα, οὔτε εἰς ἅπαξ ἀπηλλαγμένος τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε εἰς ἅπαξ συνεσταλμένος (1), προεκκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν, καὶ εἰς ὕπαρξιν ἰδικὴν ἐμφιλοχωροῦσαν. Οὕτως ὁ ἐκ

* E codice 2551, pag. 132, 2. Quas e codice Mosquensi Lectionibus suis Mosquensibus inseruit Matthæius Λέξεις τῶν ἀποστολικῶν ἐπιστολῶν, ab illis quas nunc edo plane sunt diversæ. Sed et alias inter Glossaria minora vulgavit, quibuscum ne meæ istæ conspirent valde vereor. Docuit me Harlesius, Bibl. Gr. t. VI, pag. 230, Matthæianis glossis omnes Epistolas Pauli illustrari, « præter illam ad Philemona; » idque peculiaritatis habent istæ Parisienses, quod ab Epistola ad Hebræos incipiant, et in Epistola ad Titum desinant, omissa illa quæ est ad Philemonem scripta. Quam dubitationem quum non potuissem solvere, quippe qui Glossaria minora frustra quæsiverim, non putavi tamen esse ab editione abstinendum. Liber enim ille est rarissimus, et glossæ istæ adeo breves sunt, ut, licet editæ, nequeant anecdota mihi qui promiserim serio objici ab æquo lectore et quem præmonuerim. Majus meum fuit peccatum, quum, inscius ipse, non monito lectore, pro ineditis inserui t. II, p. 475, 476, epigrammata κ', κγ', quæ jam prostabant inter Joannis Mauropi versus pagg. 15, 24. Anecdotorum collectores nonnunquam sic labimur.

(1) Nitidius foret ἀπηλλαγμένου et συνεσταλμένου. Forsan bis εἰς ἅπαξ, aut bis εἰς ἅπαν.

ἁγίοις Κύριλλος (1)· « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης. »

Χαρακτὴρ [I, 3]. Διὰ τοῦ χαρακτὴρ τῆς ὑποστάσεως τὸ ὁμοούσιον καὶ συναΐδιον τῷ Πατρὶ δηλοῖ· οἷον φῶς ἐκ φωτός (2). Χαρακτὴρ, οἷον ὁμοίωμα (3) τῆς δόξης τοῦ Πατρὸς ὁ Υἱός· ὅμοιος γὰρ, καὶ ἀπαράλλακτος τοῦ Πατρὸς, καὶ οἷον εἷς χαρακτὴρ ἐν διαφοραῖς ὑποστάσεσι. « Καὶ χαρακτὴρ τῆς ὑποστάσεως » αὐτοῦ. »

Εἰσαγάγῃ [I, 7]· ἐγχειρίσῃ. « Ὅταν δὲ πάλιν εἰσ» αγάγῃ. »

Ἀπολοῦνται [I, 11]· μετασχηματισθήσονται ἐκ τῆς νῦν ὄψεως. Δαυίδ· « καὶ ἔργα (4) τῶν χειρῶν σου » εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται. »

Παραρυῶμεν [II, 1.]· ἐκπέσωμεν τοῦ καθήκοντος καὶ τῆς ἐπὶ σωτηρίας ὁδοῦ (5).

Μισθαποδοσίαν [II, 2]· ἀμοιβήν. « Ἔλαβεν ἔνδικον » μισθαποδοσίαν. »

Σήμερον [III, 7]. Τὸ ἀεὶ δηλοῖ. « Σήμερον τῆς φω» νῆς αὐτοῦ ἐὰν ἀκούσητε, μὴ σκληρύνητε. » Τοῦτο λέγει· ὁτεδήποτε καὶ ἕως ἐστὶν τὸ σήμερον ἐὰν ἀκούσητε τὴν φωνὴν τοῦ καλοῦντος Χριστοῦ, μὴ σκληροὶ καὶ δυσήνιοι γένησθε τὰς καρδίας εἰς τὸ μὴ ἀκοῦσαι αὐτοῦ.

Παρακαλεῖτε [III, 13]· οἰκοδομεῖτε, προτρέπεσθε, ὀρθοῦτε. « Ἀλλὰ παρακαλεῖτε αὐτοὺς καθ' ἑκάστην

(1) Cyrillus Alexandrinus scripserat in Epistolam ad Hebræos commentarium. Vide Biblioth. Gr. t. IX, p. 495.

(2) Vide Valcken. Schol. t. II, p. 370.

(3) Glossarium Græcum in sacros N. F. libros ab Albertio editum p. 167: χαρακτὴρ, ὁμοίωσις.

(4) Psalm. CI, 25.

(5) Conf. Glossarium Albertii cum ejus nota p. 169.

» ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται. » Τὸ σήμερον, ἀντὶ τοῦ ἕως τέλους.

Σαββατισμός [IV, 9]· κατάπαυσις. « Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. »

Μετριοπαθεῖν [V, 2]· συμπαθεῖν (1). « Μετριοπαθεῖν » δυνάμενος. »

« Ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ » παραδειγματίζοντας [VI, 6]. » Ἄνωθεν, φησὶ, σταυροῦντας. Τοῦτο λέγει ὅτι ἅπαξ ἐσταυρώθη ὁ Χριστὸς, καὶ ἡμεῖς ἅπαξ συνεσταυρώθημεν αὐτῷ διὰ τοῦ βαπτίσματος· ὁ τοίνυν, φησὶ, οἰόμενος εἶ καὶ (2) δεύτερον βάπτισμα, ὅσον τὸ κατ' αὐτὸν (3), ἄνωθεν σταυροῖ τὸν Κύριον· ἡγεῖται γὰρ δεύτερον ἐσταυρῶσθαι αὐτόν.

Παράκλησιν [VI, 18]· προτροπήν. « Ἰσχυρὰν παράκλησιν ἔχομεν. »

Μετατιθέναι· τὸ ἀλλαγῆναι καὶ ἄλλην νέαν ἀντεισαχθῆναι. « Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης [VII, 12]. »

Ἀπαράβατον [VII, 24]· ἀδιάδοχον, ἀτελεύτητον. « Ἀπαράβατον ἔχει τὴν ἱερωσύνην. »

Κατὰ συνείδησιν [IX, 9]· οἷον ψυχικῶς. « Μὴ δυνάμεθα κατὰ συνείδησιν τελειῶσαι. »

Ὑποστολῆς [X, 39]· ῥαθυμίας. « Ἡμεῖς δὲ οὐκ ἐσμὲν » ὑποστολῆς εἰς ἀπώλειαν. »

Εὐπερίστατον [XII, 1]· εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν παθεῖν δυναμένην (4). « Καὶ » τὴν εὐπερίστατον ἁμαρτίαν. »

Ἀντιλογίαν [XII, 3]· τὸν γέλωτα, τὰς πληγὰς,

(1) Confer Glossar. Albertii pag. 173.

(2) Forsan οἰόμενος εἰκῇ δ.

(3) Codex, τὸ καὐτόν.

(4) Conf. Glossarium Albertii cum nota p. 180.

τοὺς χλευασμοὺς, καὶ ὅσα ἀντέλεγον (1) τοῖς αὐτοῦ διατάγμασι, καὶ τὰς ἐπὶ τοῦ Πιλάτου κραυγάς. « Ὑπομενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀν- » τιλογίαν. »

Ἀντικατέστητε [xii, 4]· ἀντιπαρετάχθητε. « Οὔ- » πω μέχρις αἵματος ἀντεκατέστητε πρὸς τὴν » ἁμαρτίαν. »

Ἐπισκοποῦντες [xii, 15]· ἀκριβῶς προσέχοντες καὶ ἐρευνῶντες. « Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς » χάριτος τοῦ Θεοῦ. » Τὸ ὑστερῶν, ἀντὶ τοῦ μή πω εἴη ἀπολελειμμένος.

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Κατεχόντων [i, 18]· φυλασσόντων. « Τῶν τὴν ἀλή- » θειαν ἐν ἀδικίᾳ κατεχόντων. »

Ἐπιστεύθησαν [iii, 2]· ἐνεχειρίσθησαν. « Πρῶτον » μὲν ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. « Λόγια τὸν νόμον λέγει.

Καταλλαγήν [v, 11]· τὴν οἷον οἰκείωσιν καὶ τὸ διαλλαγῆναι ἡμῖν ὀργιζόμενον πρότερον τὸν Θεόν. » Δι' » οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν. »

Κατηργήθημεν [vii, 6]· ἀπολελύμεθα καὶ ἠλαττώμεθα. « Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου ἀπο- » θανόντες, ἐν ᾧ κατειχόμεθα. »

Κατάλειμμα [ix, 27]· μέρος. « Τὸ κατάλειμμα » σωθήσεται. » Ἡσαΐου ἡ προφητεία (2).

Διαστολή [x, 12]· μέσον (3). « Οὐ γάρ ἐστι διαστο- » λὴ Ἰουδαίου τε καὶ Ἕλληνος. »

(1) Codex, ἀπηλάγον.

(2) Isai. ix, 22.

(3) Conf. Matthæii Lectiones Mosquenses, t. ii, p. 77, n. 30.

Κατάνυξιν· τὴν περὶ τὸ χεῖρον νύξιν καὶ προσοχὴν τῆς ψυχῆς κατάνυξιν καλεῖ· κατανυγῆναι γάρ ἐστι τὸ ἐμπαγῆναί που καὶ προσηλωθῆναι· ἔνιοι δὲ καὶ ἐν καλῷ καὶ ἐν κακῷ προσηλωθῆναι. « Ἔδωκεν αὐτῷ ὁ » Θεὸς πνεῦμα κατανύξεως [xi, 8]. » Ἡσαΐου ἡ προφητεία.

Ἀνταπόδομα [xi, 9]. « Δαυίδ· καὶ εἰς ἀνταπόδομα » αὐτοῖς. » Οὕτω λέγει· ταῦτα πάσχοντες ἁμαρτιῶν τίνουσι δίκας.

Συνέκλεισεν [xi, 32]· ἤλεγξεν ἀπειθοῦντας. « Συν» έκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν. »

Μὴ συσχηματίζεσθε [xii, 2]· μὴ συμμεταβάλλεσθε. « Καὶ μὴ σχηματίζεσθε τῷ αἰῶνι τούτῳ· » ἤτοι τοῖς καιροῖς· ἢ μὴ τυποῦτε ἑαυτοὺς κατὰ τὸ σχῆμα τούτου.

Φόβον [xiii, 7], τὴν ἐπιτεταμένην τιμὴν καλεῖ, οὐ τὸν ἐκ τοῦ πονηροῦ συνειδότος φόβον. « Τῷ τὸν φό» βον, τὸν φόβον. »

Προσλαμβάνεσθαι· καταλλάσσεσθαι ἑαυτοῖς. « Διὸ [xv, 7] προσλαμβάνεσθε ἀλλήλους. »

Διακονία [xv, 31]· ἡ θυσία. « Καὶ ἵνα ἡ διακονία μου » ἡ εἰς Ἱερουσαλήμ. »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ α΄.

Ἀποκάλυψιν [i, 7]· τὴν δευτέραν παρουσίαν. « Ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν » Ἰησοῦ Χριστοῦ. »

Συζητηταὶ [i, 20], οἱ λογισμῷ καὶ ἐρεύναις τὰ πάντα ἐπιτρέψαντες. « Ποῦ συζητηταὶ τοῦ αἰῶνος » τούτου; »

Κατὰ σάρκα [I, 26]· κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον καὶ τὴν ἔξωθεν παίδευσιν (1). « Οὐ » πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ, οὐ » πολλοὶ εὐγενεῖς. »

Βάθη τοῦ Θεοῦ [II, 10]· τὰς βαθυτάτας αὐτοῦ καὶ λανθανούσας ἡμᾶς οἰκονομίας. « Τὸ γὰρ πνεῦμα » πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. » Τὸ δὲ ἐρευνῶ οὐκ ἀγνοίας δεικτικόν ἐστιν, ἀλλὰ τοὐναντίον ἀκριβοῦς γνώσεως.

Καταχρήσασθαι [IX, 18]· τὴν ὅλως χρῆσιν καλεῖ, οἷον τὸ ὅλως λαβεῖν. « Εἰς τὸ μὴ καταχρήσασθαι » τῇ ἐξουσίᾳ ἡμῶν ἐν τῷ εὐαγγελίῳ. » Προσέθηκε, δεικνὺς τὸν διδάσκοντα ὀφείλειν λαμβάνειν τὸν καταπονοῦντα, « εἰμὶ (2) ἀνθρώπινος. »

Παραζηλοῦμεν [X, 22]· πειράζομεν καὶ παροξύνομεν (3). « Ἢ παραζηλοῦμεν τὸν Κύριον; » Ἐντρεπτικῶς αὐτὸ τέθεικε.

Παιδευόμεθα [XI, 32]· νουθετούμεθα. « Κρινόμενοι » δὲ ὑπὸ Κυρίου παιδευόμεθα. »

Διακρίσεις [XII, 10]· τὸ εἰδέναι τίς ὁ προφήτης, τίς ὁ πνευματικὸς, καὶ τίς ὁ μὴ τοιοῦτος (4). « Ἄλλῳ » δὲ διακρίσεις πνευμάτων. »

Ἀντιλήψεις [XII, 28]· τὸ ἀντέχεσθαι τῶν ἀσθενῶν καὶ προστατεῖν αὐτῶν (5). « Ἀντιλήψεις, κυβερνήσεις, » γένη γλωσσῶν. » Τούτου τοῦ χαρίσματος ἦσαν

(1) Lexicon in Epistolas Apostolorum apud Matth. Lectiones Mosq. t. II, p. 60 : κατὰ σάρκα· καθ' ἡδυπάθειαν.

(2) Lege εἰ μὴ, ex c. x, 13, quo transilit librarius, facta lacuna.

(3) Cf. Gloss. Albertii p. 128.

(4) Verba fere sunt Joannis Chrysostomi. Vide Albertium ad Glossar. p. 131.

(5) Conf. Glossarium Albert. p. 132; Lectt. Mosq. t. II, p. 61.

ἠξιωμένοι οἱ Κορίνθιοι, καὶ μέγα ἐπ' αὐτῷ ἐφρόνουν· διὸ καταστέλλων αὐτοὺς ἔσχατον ἀποτέθεικεν.

Ἐν ἀποκαλύψει [xiv, 6]· οἷον εὐσύλληπτά τινα καὶ νοούμενα. « Τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λα- » λήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει »; τουτέστιν ἵνα γινώσκηται (1) ἃ λαλῶ.

Ἀποκάλυψις (2)· ἡ προφητεία (3). « Ὅταν [xiv, 26] » συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, ἀποκά- » λυψιν ἔχει. »

Καύχησιν [xv, 31]· προκοπήν. « Νὴ τὴν ἡμετέ- » ραν (4) καύχησιν. » Καύχησις γάρ ἐστι διδασκάλῳ ἡ τῶν μαθητῶν ἐπίδοσις.

Σῶμα ψυχικόν [xv, 44]· ἐν ᾧ ἡ ψυχὴ τὸ κῦρος καὶ τὴν ἡγεμονίαν ἔχει. « Σπείρεται σῶμα ψυχικόν. »

Σῶμα πνευματικόν [xv, 44]· τὸ τὴν τοῦ Ἁγίου Πνεύματος πλουτοῦν (5) ἐνέργειαν. « Ἐγείρεται σῶμα » πνευματικόν. » Οἰμωζέτωσαν οἱ λέγοντες ὅτι αἱ ψυχαὶ ἐν τῇ ἀναστάσει λήψονται σῶμα λεπτομερὲς καὶ ἀερῶδες· ὧν ἐστι καὶ Ὠριγένης.

Τυχὸν [xvi, 6]· ἴσως. « Πρὸς ὑμᾶς δὲ τυχὸν πα- » ραμενῶ. »

Ἐπιγινώσκετε [xvi, 18]· ἀντὶ τοῦ ἐν τιμῇ αὐτοὺς ἔχετε. « Ἐπιγινώσκετε (6) οὖν τοὺς τοιούτους. »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ β'.

Ἐν ἁπλότητι [i, 12]· ἄνευ δόλου καὶ ἐπικαλύμμα-

(1) Forsan γινώσκητε.
(2) Codex, ἀποκαλύψις.
(3) Hesychianum ἀποκάλυψις, πρόγνωσις, προφητεία, huc potest referri.
(4) Codex sic, ἡμετέραν.
(5) Codex exhibet solœce πλουτῶν.
(6) Codex, hic ac supra, ἐπιγινώσκεται et ἔχεται.

τος καὶ ὑποκρίσεως. « Ὅτι ἐν ἁπλότητι καὶ εἰλικρι-
» νείᾳ Θεοῦ. »

Ἐπιβαρῶ [ΙΙ, 5]· ἐπιπαροξύνω. « Ἵνα μὴ ἐπιβαρῶ » πάντας ὑμᾶς. »

Κατοπτριζόμενοι [ΙΙΙ, 18]· οἷον ἐλλαμπόμενοι τῷ πνεύματι. « Τὴν δόξαν Κυρίου κατοπτριζόμενοι. »

Ἀλλ' οὐκ ἐξαπορούμενοι [IV, 8]· ὥστε ὑμᾶς ἐξαπορηθῆναι, τουτέστι πεσεῖν, ἡττηθῆναι. « Ἀπορούμενοι, » ἀλλ' οὐκ ἐξαπορούμενοι. »

Συνιστῶντες [VI, 4]· ἀποδεικνύντες. « Ἀλλ' ἐν παν-» τὶ συνιστῶντες ἑαυτούς. »

Ἐν ἁγνότητι [VI, 6]· τὴν σωφροσύνην, καὶ τὸ ἀδάπανον εὐαγγέλιον, καὶ τὸ ἐν ἅπασι καθαρόν. « Ἐν ἁγνότητι, ἐν γνώσει. » Γνῶσιν δὲ λέγει τὴν ὄντως γνῶσιν, οὐ τὴν ἀνθρωπίνην, ἐν ᾗ ἐκόμπαζον οἱ ψευδαπόστολοι.

Συγκατάθεσις [VI, 16]· ὁμοίωσις. « Τίς δὲ συγκατά-» θεσις ναῷ Θεοῦ μετὰ εἰδωλείας; »

Παρεσκεύασται [IX, 2]· ἀντὶ τοῦ ἑτοίμη ἐστίν. « Ὅτι Ἀχαΐα παρεσκεύασται ἀποπέρυσιν. »

Οὐ συνιοῦσιν [X, 12]· οὐ νοοῦσιν, οὐκ αἰσθάνονται. « Καὶ συγκρίνοντες αὐτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν. »

Ἀνείχεσθέ μου [XI, 1]· ἀντὶ τοῦ ἠνέσχεσθε. « Ὤφε-» λον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ. » Ἡ τῆς ὑποθέσεως ἀνάγκη ἤγαγεν αὐτὸν ἐπαινεῖν ἑαυτόν.

Ζηλῶ [XI, 2]· ἀντὶ τοῦ περικαῶς φιλῶ. « Ζηλῶ » γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. »

Οὐ κατενάρκησα [XI, 8]· οὐκ ἐνέδωκα, ἢ ἐξέλυσα τὴν ὑπομονήν (1). « Καὶ ὑστερηθεὶς οὐ κατενάρκησα οὐ-» δενός. »

(1) Conf. Glossarium Albertii p. 146; Lectt. Mosq. t. II, p. 61.

Οὐ φραγήσεται [XI, 10]· οὐκ ἐκκοπήσεται, οὐ διαλείψει. « Ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς » ἐμὲ ἐν τοῖς κλίμασι τοῖς Ἀχαΐας. »

Ἐπισύστασις [XI, 28]· τὰς κοινῇ παρὰ (1) τῶν διωκτῶν ἐφόδους· συνίσταντο γὰρ κατ' ἐμοῦ, φησὶ, γνώμῃ κοινῇ. « Ἡ ἐπισύστασίς μου » ἡ λαλοῦντος Χριστοῦ (2).

Καταρτίζεσθε [XIII, 11]· τέλειοι γίνεσθε, ἀναπληροῦσθε τὰ λείποντα. « Καταρτίζεσθε, παρακαλεῖσθε, » τὸ αὐτὸ φρονεῖτε. » Τὸ παρακαλεῖσθε καὶ ὑφ' ἑαυτῶν καὶ ὑπὸ ἄλλων.

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΣ.

Οὐ προσανεθέμην [I, 16]· οὐ παρὰ (3) τῶν ἀνθρώπων ἐδιδάχθην, ἀλλὰ παρ' αὐτοῦ τοῦ Χριστοῦ. « Εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. »

Ἐπόρθουν [I, 23]· καταστρέψαι καὶ ἀφανίσαι προηρούμην τὴν ἐκκλησίαν· ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθουν αὐτήν (4).

Τοῖς δοκοῦσι [II, 2]· τοῖς οὖσι κορυφαίοις. « Κατ' » ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπω εἰς κενὸν τρέχω ἢ ἔδραμον. » Καὶ δοκούντων [II, 6]· τοὺς (5) ἀμφὶ Πέτρον λέγει. « Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι· ὁποῖοι ποτὲ ἦσαν » οὐδέν μοι διαφέρει. » Τοῦτο λέγει· ἐγὼ οὐ διαφέρομαι, εἴτε εὐαρεστοῦντες τῷ Θεῷ, εἴτε οὒ, διὰ τὸ συγχωρεῖν περιτομήν· ἕκαστος γὰρ λόγον δώσει, καὶ

(1) Codex, περί. Glossarium Albertii p. 216 : ἐπισυστάσις φησὶ τὰς παρὰ τῶν διωγμῶν ἐφόδους. Reponas, διωκτῶν.

(2) Sic codex. Est lacuna. Fit, puto, saltus ad cap. XII, v. 4.

(3) Codex, περί.

(4) Cf. Gloss. Albertii p. 149; Lectt Mosq. t. II, p. 61, n. 59.

(5) Codex, τὸν.

οὐκ ἂν αὐτοὺς ὁ Θεὸς ἐρυθριάσει διὰ τὸ εἶναι κορυφαίους· « πρόσωπον γὰρ ὁ Θεὸς ἀνθρώπου οὐ λαμβάνει. » Οἰκονομικῶς δὲ συνεχώρουν τὴν περιτομὴν οἱ ἀμφὶ Πέτρον· οὐ γὰρ εἶπε οἷοί τινές εἰσιν, ἀλλ' ὁποῖοί ποτε ἦσαν.

Προσανέθεντο [II, 6]· ἀντὶ τοῦ προσέθηκαν ἢ ἀφεῖλον. « Ἐμοὶ γὰρ δοκοῦντες οὐδὲν προσανέθεντο. »

Ἐπιδιατάσσεται [III, 15]· συστοιχεῖ (1), ἅπτεται, γειτνιᾷ. « Συστοιχεῖ δὲ τὴν νῦν Ἱερουσαλήμ. »

Κατηργήθητε [V, 4]· ἀπεκόπητε, ἀπεπέσατε. « Κατ» ηργήθητε ἀπὸ τοῦ Χριστοῦ. »

Προκαλούμενοι [V, 26]· εἰς ἔριν δηλονότι. « Ἀλλή» λους προκαλούμενοι. »

Προληφθῇ [VI, 1]· συναρπαγῇ. « Ἐὰν καὶ προλη» φθῇ ἄνθρωπος ἔν τινι παραπτώματι. »

Καταρτίζετε [VI, 1]· διορθοῦτε. « Καταρτίζετε τὸν » τοιοῦτον. »

Κατηχούμενος [VI, 6]· ὁ διδασκόμενος. « Κοινωνεί» τω ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν » πᾶσι. » Τοῦτο δὲ λέγει· μεταδιδότω τῷ διδάσκοντι τροφὰς, εὔνοιαν, τιμήν· κοινωνία γὰρ τὸ πρᾶγμα· ἐκεῖνος πραγματικὰ, σὺ σαρκικά (2).

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Προσαγωγήν [II, 18]· τὴν καταλλαγὴν καὶ τὴν εἰρήνην τὴν πρὸς Θεόν. « Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσα» γωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν » πατέρα. »

Σαπρόν [IV, 29]· ἀργὸν, σκαιὸν, ἢ σεσηπότα καὶ δυσειδῆ. Τί γὰρ αἰσχρολογίας δυσειδέστερον; « Πᾶς

(1) Fit saltus ad IV, 25. (2) Sic cod. Nonnulla desunt.

» λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπο-
» ρευέσθω. »

Ἐλέγχετε [v, 11]· ἀντὶ τοῦ παιδεύετε. « Μᾶλλον
» δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῆ γινόμενα ὑπ' αὐτῶν
» αἰσχρόν ἐστι καὶ λέγειν. »

Ἔγειραι [v, 14]· παῦσαι· « Ἔγειραι ὁ καθεύδων. »

Ἐπιφαύσει [v, 14]· λάμψει. « Καὶ ἐπιφαύσει σοι
» ὁ Χριστός. »

Κοσμοκράτορας [vi, 12]· τοὺς δαίμονας. Κόσμον
γὰρ καὶ ἡ γραφὴ τὰς πονηρὰς καλεῖ πράξεις. « Πρὸς
» τοὺς κοσμοκράτορας τοῦ σκότους. » Καὶ ὁ Χριστὸς
πρὸς τοὺς μαθητάς· « Ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου
» τούτου (1). »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

Σύμψυχοι [ii, 2]· ὁμόψυχοι ἢ ὁμόφρονες. « Τὴν
» αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι. »

Παραβουλευσάμενος [ii, 30]· εἰς κίνδυνον ῥίψας.
« Παραβουλευσάμενος τῇ ψυχῇ. »

Συμμορφούμενος [iii, 10]· ἐξομοιούμενος. « Συμ-
» μορφούμενος τῷ θανάτῳ αὐτοῦ. »

Ἐκτεινόμενος [iii, 14], τὸν σύντονον δρόμον δηλα-
δή. « Τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. »

Συλλαμβάνου [iv, 3]· σύμπραττε εἰς τὸ πρὸς
Θεόν. « Συλλαμβάνου αὐταῖς. »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΣ.

Κολασσαὶ πόλις Φρυγίας, αἱ νῦν λεγόμεναι Χῶναι·
ὅθεν καὶ Κολασσαεῖς (2).

(1) Cf. Joann. xv, 19.

(2) Servanda fuit codicis scri-

Ἔκτισται [I, 16]· ἤρτηται ἡ πάντων ὑπόστασις. « Τὰ » πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται. »

Συμβιβασθέντων [II, 2]· ἑνωθέντων. « Συμβιβα- » σθέντων ἐν ἀγάπῃ. »

Χειρόγραφον [II, 14]· ἡ ἐκείνην τὴν ἰδιόχειρον ἢ ἰδιόφωνον ὁμολογίαν, ἣν ἔλεγεν Μωσεῖ ὅτι πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα· ἢ τὴν (1) ὀφειλομένην τῷ Θεῷ ὑπακοὴν, ἢ ἐκείνην τὴν ἐντολήν· « ᾗ δ' ἂν (2) ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, ἀπο- » θανῇ. » Ἐκ τῆς ἐνανθρωπώσεως οὖν λέλυται τὸ χειρόγραφον. « Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγρα- » φον τοῖς δόγμασιν· » οἷον τῇ εἰς αὐτὸν πίστει.

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗΣ α'.

Εὐδοκοῦμεν [II, 8]· σπουδάζομεν. « Ἱμειρόμενοι » ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν. »

Εὐδοκήσαμεν [III, 1]· εἱλόμεθα, ἠνεσχόμεθα. « Διὸ » μηκέτι στέγοντες εὐδοκήσαμεν καταληφθῆναι ἐν » Ἀθήναις μόνοι. »

Καταρτίσαι [III, 10]· ἀναπληρῶσαι. « Καταρτί- » σαι τὰ ὑστερήματα τῆς πίστεως ἡμῶν. »

Φθάσωμεν [IV, 15]· προφθάσωμεν. « Οὐ μὴ φθά- » σωμεν τοὺς κοιμηθένθας. » Ἢ προλάβωμεν.

Ἀντέχεσθε [V, 14]· ἀντιποιεῖσθε, ὑποστηρίζετε. « Ἀντέχεσθε τῶν ἀσθενῶν. »

Ὁλοτελεῖς [V, 23]· τουτέστιν ὅλους δι' ὅλων. « Ἁγιά- » σαι ἡμᾶς ὁλοτελεῖς. »

ptura. Sic in indice geographico post Codinum p. 405 : Κολασσαὶ, αἱ Χῶναι. Nec aliter in catalogo urbium apud Allatium ad Acropol. c. 24. Vide Smith. Notit. VII Eccles. p. 39.

(1) Codex, ἢ ὅτι τήν.

(2) Cf. Genes. II, 17.

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗΣ β'.

Ἐν τῇ ἀποκαλύψει [ι, 7]· τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν. « Ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου » Ἰησοῦ ἀπ' οὐρανοῦ. »

Ἀποστασίαν, τὸν Ἀντίχριστον λέγει, ὡς ἀφιστᾶν μέλλοντα πολλοὺς ἀπὸ τοῦ Χριστοῦ, ἢ αὐτὴν τὴν ἀπὸ τοῦ Θεοῦ ἀναχώρησιν καὶ αὐτὸ τὸ πρᾶγμα. « Ὅτι [ιι, 3] » ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον. »

Τὸ κατέχον [ιι, 6]· τὸ κωλύον, τὸ ἐμποδίζον. « Ταῦτα ἔλεγον ὑμῖν· καὶ νῦν τὸ κατέχον οἴδατε. » Τί δὲ τὸ κατέχον; πολλοὶ τὸ Πνεῦμα τὸ Ἅγιον φασίν· ἄλλοι δὲ τὴν Ῥωμαίων ἀρχὴν, οἵτινες βέλτιον λέγουσιν. Ἂν γὰρ μὴ αὐτὸ λυθῇ, ἐκεῖνος οὐχ ἥξει.

Πέμψει [ιι, 11]· ἀντὶ τοῦ συγχωρήσει φανῆναι τὴν πλάνην. « Καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐν» έργειαν πλάνης. »

Στέλλεσθε [ιιι, 6]· ὑποστέλλεσθε, χωρίζεσθε (1). « Στέλλεσθε ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως » περιπατοῦντος. »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ α'.

Ἀπεράντοις [ι, 4]· τοῖς μὴ ἔχουσι πέρας τι χρησίον ἢ τοῖς λέγουσιν ἢ τοῖς ἀκούουσι. « Καὶ γενεαλο» γίαις ἀπεράντοις »

Ματαιολογίαν [ι, 6]· τὰς ζητήσεις καὶ γενεαλογίας λέγει. « Ἐξετράπησαν εἰς ματαιολογίαν. »

(1) Conf. Albertii Glossarium pag. 149, cum nota.

Ἀνεπίληπτον [III, 2]· μηδὲν ἑαυτῷ συνειδότα (1). « Ἀνεπίληπτον εἶναι. »

Ἐν ἀναστροφῇ [IV, 12]· οἷον ἐν βίῳ (2) καὶ πολιτείᾳ. « Ἐν λόγῳ, ἐν ἀναστροφῇ. »

Εὐσεβεῖν [V, 4]· τουτέστι διατιθέναι καλῶς. « Μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν. »

Ἔπεχε [IV, 16]· ἀντὶ τοῦ πρόσεχε (3). « Ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ. »

Σπαταλῶσα [V, 6]· τρυφῶσα. « Ἡ δὲ σπαταλῶσα τέθνηκεν. »

Ἐπηκολούθησεν [V, 10]· ἐκοινώνησεν, ὑπηρέτησεν. « Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. »

Καταστρηνιάσωσι [V, 11]· καταβλακευθῶσι (4). « Καταστρηνιάσωσι τοῦ Χριστοῦ. »

Ἔλεγχε [V, 20]· μετὰ σφοδρότητος ἐπίπληττε. « Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε. »

Προκρίματος [V, 21]. « Ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος· » τουτέστι χωρὶς τοῦ προπετῶς τι καὶ ἁπλῶς, καὶ δίχα κεκριμένης βουλῆς, πρᾶξαί σέ τι ἐν τοῖς εἰρημένοις.

Ἀντιλαμβανόμενοι [VI, 2]· μετέχοντες. « Οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. »

Διατριβαί· τῆς νόσου τῶν κακῶν μετάδοσις· ἀπὸ μεταφορᾶς τῆς ψώρας τῆς τῇ παραλήψει μεταδιδομένης. « Διαπαρατριβαὶ [VI, 5] ἀνθρώπων διεφθαρμένων τὸν νοῦν. »

(1) Codex, συνειδότος. Confer Hesychium in Voce.

(2) Hesychius: ἀναστροφῆς, ζωῆς.

(3) Suidæ glossam (ἔπεχε· ἐπίχειςο, ἐπίμενε, φύλασσε) huc omnino retulerim, præeunte paulo dubitantius G. Ernestio ad Suidæ Glossas sacras p. 164.

(4) Cf. Glossarium Albertii pag. 217, cum nota.

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ β'.

Ὑποτύπωσιν [I, 13]· εἰκόνα. ὁμοίωσιν, μίμημα. « Ὑποτύπωσιν ἔχετε ὑγιαινόντων λόγων. »

Περιΐστασο [II, 16]· περισσῶς ἵστασο εἰς τὸ παῦσαι καὶ κωλῦσαι. « Τὰς δὲ βεβήλους κενοφωνίας περι- » ΐστασο. » Ἢ ἀντὶ τοῦ παραιτοῦ.

Προθέσει [III, 10]· οἷον τῇ προθυμίᾳ καὶ τῷ παραστήματι τῆς ψυχῆς. « Τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ » πίστει » Ἀγωγὴν, τὴν ἐν βίῳ πολιτείαν.

Ἐπιστώθης [III, 14]· μετὰ πληροφορίας ἔμαθες. « Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. »

Ἐξηρτισμένος [III, 17]· ἀπηρτισμένος, πεπληρωμένος. « Πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. »

Ἀναλύσεως [IV, 6]· θανάτου· ἢ διὰ τὸ ἀναλύειν ἐξ ἧς ἐλήφθη γῆς, ἢ πρὸς τὸν δημιουργήσαντα Χριστόν. « Καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. »

ΛΕΞΕΙΣ ΤΗΣ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗΣ.

Ἐπιστομίζειν [I, 11]· μὴ λαλεῖν ἐᾷν. « Μάλιστα » οἱ ἐκ περιτομῆς οὓς δεῖ ἐπιστομίζειν. »

Ἐκφέρουσα (1)· ἐκβράσσουσα. Τὸ παρὰ φύσιν τῆς ἐκβολῆς αἰνίττεται· δηλοῖ δὲ τὴν ἄχει τέλους καὶ θανάτου ἐκφθοράν. Ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ ἡ λέξις αὕτη.

(1) Non exstat illa vox in Epistola ad Titum, sed in Epistolâ ad Hebræos VI, 8.

ΠΩΣ ΔΙΑΙΡΗΣΟΜΕΝ ΟΡΘΩΣ ΤΟΥΣ ΓΡΑΦΟΜΕΝΟΥΣ ΕΝ ΒΙΒΛΙΟΙΣ ΤΩΝ ΓΡΑΜΜΑΤΙΚΩΝ

ΣΤΙΧΟΥΣ

ΤΟΥ ΣΗΛΥΒΡΙΑΣ

ΗΓΟΥΝ ΤΟΥ ΧΟΡΤΑΣΜΙΟΥ.*

Φυλαττόμενοι τὸ μὴ τιθέναι τὴν ἔχουσαν τὸν τόνον συλλαβὴν εἰς τὴν ἀρχὴν τοῦ ἐπιφερομένου στίχου, οἷον Ἀλέξιος, οὐ τὸ λέ θήσομεν εἰς τὴν ἀρχὴν τοῦ ἐπαγομένου στίχου, ἀλλὰ τὸ ξι· καὶ ἵνα μὴ, τὴν ἔχουσαν φωνῆεν συλλαβὴν καὶ συμπεπλεγμένην μετὰ συμφώνου διακόψας, τὸ μὲν σύμφωνον ἐν τῷ τέλει τοῦ στίχου θήσεις, τὸ δὲ φωνῆεν ἐν τῇ ἀρχῇ τοῦ λοιποῦ, οἷον Ἀλέξιος, τὸ μὲν Ἀλ τυχὸν ἐν τῷ τέλει τοῦ ὀρδίνου (1), τὸ δὲ ε ἐν τῇ ἀρχῇ τοῦ λοιποῦ, οἷον έξιος· ἢ Ἰσαάκιος, τὸ μὲν σα ἐν τῷ τέλει τοῦ ὀρδίνου, τὸ δὲ λοιπὸν ἐν τῇ ἀρχῇ, δηλονότι άκιος. Εἰ γὰρ ἐνταῦθα μὲν ἄρξῃ ἀπὸ τοῦ ά, ἐκεῖ δὲ ἀπὸ τοῦ έ, ἐπεὶ ἀπὸ φωνήεντος ἄρχονται, ὀφείλεται τούτοις καὶ πνεῦμα, ὡς φωνήεσιν, ὅπερ ἄτοπον. Εἰ δὲ ἀπὸ τῆς ἐντόνου πάλιν συλλαβῆς ἄρξῃ ἐν τῷ ἐπαγομένῳ ὀρδίνῳ, ἀναγνωσθήσεται τάχα Λέξιος.

* E codice 1270, p. 195, 2. Selybriæ urbis illum episcopum Chortasmium, qua ætate fuerit, ignoro. Sed recentissimum esse qui dixerit, a vero non aberrabit. Cur grammaticorum libris regulas de syllabarum in fine versuum divisione proprias esse statuerit non capio, quippe quæ ad omnes omnino omnium auctorum codices pertineant; nisi voluerit maximam præcipue grammaticis describendis, ut linguæ ac scripturæ canonibus, curam a librariis impendi.

(1) *Ordinis*, versus.

Ὅσαι δὲ πάλιν τῶν λέξεων ἔχουσιν ἐν ἑαυταῖς δύο σύμφωνα ὅμοια ἢ ἀνόμοια ἐν συλλήψει ἢ ἐν διαστάσει, δέον καὶ ἐπ' ἐκείνων τὸ μὲν ἕτερον τῶν συμφώνων ἐν τῷ τέλει τοῦ ὀρδίνου τιθέναι, θάτερον δὲ ἐν ἀρχῇ τοῦ ἐπαγομένου (1), οἷον γάν-νυται, σβέν-νυται. Ὡσαύτως καὶ ἐπὶ τῶν δύο ρρ, καὶ δύο κκ, καὶ δύο λλ, καὶ δύο γγ, καὶ δύο δδ, καὶ δύο μμ, καὶ δύο νν, πέφυκε διαιρεῖσθαι. Ὁμοίως καὶ τὸ σταθμησάμενος καὶ τὸ Σαπ-φικὸν καὶ ὅσα τοιαῦτα. Καὶ γὰρ καὶ ἐπὶ τούτων ὁ αὐτὸς λόγος· τουτέστι τὸ μὲν ἓν τῶν συμφώνων ἐν τῷ τέλει, θάτερον δὲ ἐν τῇ ἀρχῇ τοῦ ἐπαγομένου στίχου τίθεται. Καὶ τὸ αἴτιον ὅτι διῃρημένως ἀναγινώσκονται, σταθ μὸς, Σαπ φικὸν, κατὰ τὸν κανόνα τὸν λέγοντα· ψιλὰ ψιλῶν ἡγεῖται, δασέα δασέων, καὶ μέσα μέσων. Καὶ ἅμα δῆλον ὅτι οὐδεμία λέξις ἑλληνικὴ ἄρχεται ἢ ἀπὸ τοῦ θμ (2) ἢ ἀπὸ τοῦ πφ, ὥστε οὐδὲ ὄρδινος.

Ὁμοίως καὶ μονοσύλλαβον σύνδεσμον, μὲν δὲ τὲ καὶ γὰρ, μηδέποτε γράψης ἐν ἀρχῇ ὀρδίνου, ἀλλ' ἐν τέλει τοῦ ὄπισθεν· ὡσαύτως καὶ τὸ γοῦν, οὖν δὴ καὶ ὅσα τοιαῦτα.

(1) Sed aliam regulam sequuntur nunc grammatici ac correctores, scilicet non eas dividi consonantes a quibus syllaba incipiat; quam ipse auctor non ignorasse videtur, ut infra significabit.

(2) Wellerus tamen, Grammat. p. 46, divisit βα-θμός. Nemo opponet, puto, nomen Θμοῦις.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΠΕΡΙ ΛΟΓΩΝ ΚΡΙΣΕΩΣ ΚΑΙ ΕΡΓΑΣΙΑΣ,

ΤΙΝΙ ΤΟΥΤΩΝ ΕΙΔΕΙ ΚΑΙ ΟΠΩΣ ΠΡΟΣΕΚΤΕΟΝ, ΚΑΙ ΤΙΝΟΣ ΑΦΕΚΤΕΟΝ.*

Ἀρετῆς λόγων πέρι καὶ κακίας αὖθις ἄλλων ἄλλοις καὶ μὴ αὐτοῖς εἴδεσι κεχρημένων, μηδὲ ταὐτὰ πάντων σπουδαζόντων, πάντων δ', ὡς ἔπος εἰπεῖν, ὁμοίως ἐφ' οἷς σπουδάζουσιν ἀποσεμνυνομένων, ἐγὼ θαυμάζω εἴπερ, αὐτὸς ἀγνοῶν, γνῶναι ζητεῖς ὁπότερον τούτων ἄμεινον καὶ μακρῷ δή που προέχον, καὶ ᾧγε δεῖ σε τίθεσθαι (1) μᾶλλον, καὶ πρὸς τοῦτο βλέποντα τὸν ζῆλον ἔχειν καὶ τὴν σπουδὴν κατατείνειν. Καὶ γάρ, εἰ μηδ' ἦν ἡμῖν οὐδεμία τοῦ λέγειν ἐπιστήμη, μηδ' ὁ διδάξας ἦν οὐδεὶς καὶ δή γε συντεταχὼς καὶ νενομοθετηκὼς ὅπως ποτὲ χρὴ τοὺς περὶ τὸ λέγειν καὶ ῥητορεύειν ἐσπουδακότας, ἐπὶ τοῦθ' ἥκοντας, αὐτοῦ δὴ τοῦ πράγματος γίνεσθαι, καὶ τούτῳ γ' εὐδοκιμεῖν καὶ ἀρίστους εἶναι καὶ δοκεῖν, ἀποχρώντως ἂν εἶχον οἵ γε πρῶτοι ποιηταὶ τῶν λόγων καὶ δημιουργοὶ, καὶ τοσοῦτον ἐπὶ τούτοις κατωρθωκότες ὥστ' ἐπὶ τὸ πᾶν τοῦ κατ' αὐτοὺς θαύματος ἀφῖχθαι, καὶ μηδὲν τοῖς μετ' αὐτοὺς, κἂν ὁποῖοί τινες ἄρα καὶ γένοιντο θαυμαστοὶ τὰς φύσεις, ἐλλελοιπότες πλέον καὶ κάλλιον

* E codice regio 2105, pag. 304, 2. Auctor e superioribus tomis jam lectoribus innotuit.

(1) De sensu verbi τίθεσθαι vide t. II, p. 360, n. 1. Heliodor. II, 29 : ταύτῃ τῇ γνώμῃ τίθεμαι.

μήθ' εὑρεῖν μήτ' ἐπινοῆσαι· καί γε πάντως ἤρκουν ἐκεῖνοι ἡγεμόνες ἡμῖν εἶναι καὶ διδάσκαλοι παντὸς τοῦ γ' ἐν λόγοις ἀρίστου καὶ βελτίστου. Ἔστι γὰρ πάντως καὶ πρὸς τὰ ἐκείνων βουλομένους ἡμᾶς ὁρᾶν σπουδάσματα, καὶ τὸν ζῆλον πρὸς αὐτὰ καὶ πᾶσαν τὴν σπουδὴν ἔχειν, τρόπον γε τὸν ἴσον ὥσπερ οἱ τὰς εἰκόνας καὶ τὰς μορφὰς γράφοντες πρὸς πίνακας καὶ τύπους τοὺς πάλαι Λυσίππου τινὸς καὶ Ἀπελλοῦ, καὶ εἴ τις ἕτερος κατ' ἐκείνους ζώσας εἰκόνας, καὶ πνοῆς μόνης καὶ κινήσεως ἀπολειπομένας, ἦν μορφῶν καὶ γράφων· καὶ ἔστι δὴ τούτοις οὕτως πλάττουσι καὶ δημιουργοῦσι τὸ δόξαι τυχεῖν τῶν εἰκασμάτων πρὸς ὅτι πλεῖστον θαῦμα πληροῦν αὐτοῖς δήπου καὶ πᾶσαν φιλοτιμίαν. Νῦν δ' ἡμῖν καὶ ῥητορικῆς οὔσης τέχνης, καὶ ἐπιστήμης ἐξ αὐτῶν εὑρημένης τῶν ἐκείνοις τοῖς ἀρχηγοῖς ἀρίστοις δὴ καὶ μεγίστοις ἐσπουδασμένων, ἔτι πρὸς αὐτῇ γε τῇ τέχνῃ, καὶ αὐτὰ δ' εἰσὶν ἡμῖν ἀκριβεῖς χαρακτῆρες καὶ τύποι, τὰ ἐκείνων προγράμματα, καὶ ζῶντες δή τινες πίνακές εἰσι καὶ λαλοῦντες καὶ διδάσκοντες λόγοι· καὶ ὅστις ἂν μᾶλλον, τούτοις προσέχων, εἰκάζων εἴη, καὶ δή γ' ἐφικνούμενος ἢ ἐγγὺς ἰὼν τῆς ἀκριβείας καὶ τοῦ κάλλους τῶν ὁρωμένων, οὗτός ἐστιν ὁ μηδὲ τῆς ἐπιστήμης ἐκπίπτων καὶ ὅ γε περὶ λόγους ἀληθῶς εὐδαίμων καὶ μὴ ψευδομένην δόξαν εἰκῆ καὶ μάτην ἀποφερόμενος.

Καὶ τοίνυν χρὴ πρώτως τὸν ἐπὶ λόγου δημιουργίαν ἰόμενον, αὐτὸ προθέμενον τὸ ζητούμενον πρὸς ὃ καὶ ὁ λόγος, περινοεῖν καὶ μάλα τι νουνεχῶς διασκοπεῖσθαι δι' ἧς ἂν μεθόδου, καὶ πῶς ἐπιχειρῶν καὶ τὸν λόγον διατιθέμενος, τοῦ παντὸς κατὰ τὴν πρόθεσιν ἂν

ἐφίκοιτο, καὶ, ὥσπερ τις δρομεὺς ἀγαθὸς διὰ λείου πεδίου καὶ μηδὲν σκῶλον ἔχοντος μηδ' ἐγκόπτον καὶ συμποδίζον μετὰ τόνου καὶ δρόμου μάλα τι κατατείνων, γενναίως ἔστα τὸ σύμπαν διηνυκώς· καὶ μὴ, πρὶν ἐπισκέψασθαι καὶ καλῶς συνιδεῖν ὅθεν ἀρξάμενος ὅποι δὴ καὶ κατὰ τὸ εἰκὸς συμπεράνοι, καὶ οἱονεὶ πρὶν πᾶν τὸ ἐν μέσῳ σκιαγραφῆσαι καὶ εἰκόνα δή τινα χαρακτηρίσαι καὶ στῆσαι τοῦ λόγου, ἐπιχειρεῖν ἀπερισκέπτως, κατὰ τὸ ἐπελθὸν ὡς ἔτυχε, συντάττειν καὶ δημιουργεῖν· μηδ', ἐπιθέμενον τῷ ποιήματι καὶ τῇ τούτου ἐργασίᾳ, τοῦ κατευθὺ πρὸς τὸν σκοπὸν φέροντος, ἀποπλανώμενον εἰς ἀνωμάλους ἐκτρέχειν καὶ κύκλῳ δὴ περιϊέναι καὶ περιβάλλειν (1), καὶ ἄλλην προθέμενον καὶ κατὰ ταύτην τρέχοντα, ἑτέραν βαδίζειν καὶ πόῤῥω μεθέλκουσαν, καὶ δῆτα συγκεχυμένως καὶ τεταραγμένος ἔχειν τὸν λόγον καὶ τοῖς ἀκούουσιν ἀηδῶς· ἀλλά τι (2), πάντων τῶν ἐπιχειρημάτων πρὸς τὸν σκοπὸν τεινόντων εὐθὺ βάλλοντα, κατευστοχεῖν καὶ μὴ διαμαρτάνειν τοῦ σπουδαζομένου.

Χρὴ δὲ καὶ μὴ μακρὰ καὶ περιττὰ σπουδάζειν λέγειν, καὶ μῆκος ἐξεπίτηδες ἐτώσιον ἄχθος (3) ἐπινοεῖν τῷ λόγῳ, ὡς δή γε θαυμαστὸν μᾶλλον αὐτὸν ἐκ τοῦ περιττεύειν εἶναι, ἀλλ' οὐκ ἐκ τοῦ καλῶς καὶ τοῦ κατ' ἐπιστήμην ἐπιβάλλοντος αὐτῷ συντεθεῖσθαι, καὶ δή γε, εἰπεῖν, μηδὲ πρὸς ὕδωρ μετρούμενον καὶ ῥέον καὶ λῆγον, πρὸς πῦρ δὲ μᾶλλον ἀκάματον καὶ ἀναλίσκον καὶ ἀποτεφροῦν, εἶναι τὴν ὕλην τοῦ λόγου, εὐπρήστου δή τινος καὶ δαψιλοῦς ταύτης δεόμενον ἐμπεφορῆσθαι, καὶ πῦρ

(1) Plato Symp. § 45 : κομψῶς κύκλῳ περιβαλλόμενος.

(2) Conf. t. I, p. 456.

(3) Hom. Il. Σ, 104.

δὴ πνέειν ῥητορικὴν τοῦτον δὴ τὸν τρόπον μάλα τι συμβαίνειν εἶναι καὶ λέγεσθαι. Πλάτων δ' οὐχ οὕτως· ἀλλὰ τί; Διελὼν τὰ τῶν λόγων ἐν Φαίδρῳ εἴς τε τὰς εὑρέσεις καὶ τὰς διαθέσεις αὐτῶν, ἐπὶ μὲν τῶν ἀναγκαίων τὰς διαθέσεις μᾶλλον ἢ τὰς εὑρέσεις τούτων ἐπαινεῖ, ἐπὶ δὲ τῶν ἄλλων καὶ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν εὕρεσιν ἔστιν ἐπαινῶν (1), καὶ ἀεί γε τὸ καλῶς διατίθεσθαι περὶ πλείονος ἐστὶ τιθείς, καὶ Λυσίου γ' ἐπιλαμβάνεται καὶ σκώπτει γ' εἰς ἐκεῖνον κατὰ τοῦτο τὸ μέρος.

Καὶ ταῦτα μὲν τοῦ μή τί γε εἰκῇ καὶ μάτην συμπεφορῆσθαι καὶ κακῶς διατεθεῖσθαι τὸν λόγον· ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων τὸ σαφὲς καὶ τὸ καθαρὸν χρὴ σπουδάζειν καὶ μεταδιώκειν, ὡς τοῦ γ' ἐναντίου βαρβαρικῆς μᾶλλον καὶ οὐχ ἑλληνικῆς φωνῆς ὄντος. Ὡς γὰρ ἐπ' ἐκείνων (2) λεγόντων οὐκ ἔστιν ἡμῖν Ἕλλησιν οὖσιν ἐπαΐειν, οὕτως οὐδὲ τούτων ἐπαισθάνεσθαι πολλὰ φθεγγομένων καὶ ῥητορευόντων. Καὶ οὔτ' ἐν βουλευτηρίοις παρὰ τοῖς βουλευταῖς, οὔτ' ἐν δικαστηρίοις παρὰ τοῖς δικασταῖς, οὔτ' αὖ παρ' ἄλλοις σπουδασταῖς ὅσοι τῶν λόγων, χώραν ἕξει τοῦ λέγειν ὅ γε μετὰ τοιαύτης ἥκων ἐπαχθοῦς γλώττης· πῶς γάρ; ὅς γ', εὐθὺς παριών, ἑρμηνέως δεῖται καὶ τοῦ γε ῥητορεύοντος ἀντ' αὐτοῦ· ἀλλὰ τί μᾶλλον (3); ἀπελαθήσεται πόῤῥω που μακρὰν ἐς Σκύθας. Εἰ δέ τις ἐκβιάσεται καὶ γ' ἐπὶ δικαστήριον καὶ δικαστὰς ἕλξει, καὶ αὐτὸς ἥξει, γρα-

(1) Plato Phædro § 26.

(2) Videlicet τῶν βαρβάρων. Eadem brevitate Plato Alc. 1, § 39 : τὰ μὲν Λακεδαιμονίων, ὡς πρὸς Ἑλληνικοὺς μὲν πλούτους, μεγάλα, ὡς δὲ πρὸς Περσικοὺς καὶ τοῦ ἐκείνων βασιλέως, οὐδέν· ubi est ἐκείνων pro τῶν Περσῶν.

(3) Malim : ἀλλά τι μᾶλλον· ἀπελ... vel ἀλλά τοι μᾶλλον ἀπ.

φὴν ὑποσῖὰς καὶ φεύγων ὡς παρανομῶν περὶ λόγους, πατραλοίας ὥσπερ τις καὶ μητραλοίας, ἐς τοὺς πρώτους πατέρας ἐνυϐρίζων καὶ τοκέας τῶν λόγων, καὶ μητέρα τὴν ἐπισῖήμην ἐν οὐδενὶ δή που τιθεὶς καὶ φαυλίζων, ἅτε μὴ τοῖς ἐκείνων προσέχων μηδὲ κεχρημένος παραγγέλμασι καὶ παιδεύμασι, τἀναντία δ', ὡς ἔπος εἰπεῖν, ἐκείνοις καθάπαξ τιμῶν καὶ σπουδάζων. Καί γε τὸν κατ' αὐτοῦ τρέχοντα καὶ διώκοντα ὥσπερ πρὸς ὕδωρ ἔσῖι λέγειν καὶ τοῦτο κατὰ δικασῖικοὺς νόμους, οὕτω δὴ καὶ αὐτὸν πρὸς ὕδωρ δεήσει λέγειν· ἐπ' ἐκείνου μὲν σαφῶς εἰρηκότος τὸ πᾶν δή πού γ' ἐν βραχεῖ ῥυήσεται, δήλου τοῖς δικασῖαῖς τοῦ κακουργήματος γεγονότος· τούτου δὲ λέγοντος πολλάκις καὶ μὴ σαφῶς ἀεὶ λέγοντος, καὶ συχνὰ παρὰ τῶν δικασῖῶν ὅ τι δή ποτε καὶ λέγων ἔσῖιν ἀνερωτωμένου, πρὶν ἢ τούτους γνῶναι (οὐδὲ γὰρ ἐγένετο σαφὲς οὐδέν), τὸ πᾶν αὐτῷ εἰκῇ καὶ μάτην, οὐκ εἰς ἀκοὰς ἐγχυθέν, ἀλλ' ἔξω δή πού γε παραῤῥυέν, οἰχήσεται. Καί, ὅ γε λοιπὸν τῆς ψήφου, ἐπὶ τὰς δίκας ἀχθήσεται, καὶ τίσει ταύτας κατὰ τοὺς ἄλλους κακούργους. Καὶ ὅρα δὴ τοῦτον ἀγόμενον ὑπὸ δημίων.

Σὺ δ', εἰ βούλει σεσῶσθαι καὶ ἀρισῖεύειν ἐπὶ λόγοις, ὅλος γενοῦ τῆς ἐπισῖήμης καὶ τῶν ταύτῃ δεδογμένων καὶ νενομοθετημένων, ὧν δὴ καὶ τὸ πᾶν, ὡς εἰπεῖν, αὐτοῦ γ' ἔσῖιν εἵνεκα τοῦ ἐπὶ τῆς ἑρμηνείας σαφοῦς· καὶ τῆς φωνῆς γενοῦ καὶ γλώτῖης τῶν ἀρίσῖων ἐκείνων καὶ μεγάλων, καὶ ὧν οὐδὲν μεῖζον, παλαιῶν ἀνδρῶν. Καί, ἵν' ἐπιτυγχάνῃς, ἔσῖω σοι δὴ πᾶσα λέξις ἀκριϐῶς ἀτῖικὴ, καὶ κατ' ἐκείνους ὀρθῶς ἔσῖω συντεταγμένη, καὶ ὁμαλῶς καὶ γνησίως καθ-

ικνουμένη τοῦ πράγματος, καθάπερ τὸ ἐκ τῶν νεφῶν κατὰ γῆς ἰὸν πράως ὕδωρ, μὴ πλῆττον, μηδὲ παρασῦρον, ἀλλ' ἠρέμα κατὰ βάθους ἐστὶ δυόμενον. Καὶ οὕτω δὴ τὸ τῶν λέξεων ἐκ τῶν καθωμιλημένων ἔστω σοι μᾶλλον καὶ σαφεστέρων, μὴ παραχρωμένῳ ταύταις, ἀλλ' ἐγκαίρως οὕτω χρωμένῳ καὶ δεξιῶς, καὶ μάλα τι ἁρμοζόντως ἐπιτυγχάνοντι καὶ μὴ διαμαρτάνοντι, ὡς μηδ' ἄν, εἴ τις σφόδρα βούλοιτο μετακινεῖν καὶ μετονομάζειν καὶ μεθαρμόζειν, πόλλ' ἐπισκεψάμενος, ἔχειν εὑρεῖν καὶ εἰπεῖν βελτίω καὶ κυριωτέραν τῆς παρὰ σοῦ προσφυῶς γ' ἐνσημανθείσης, καὶ ταύτης ἐκείνην ἀλλάξασθαι. Ὡς ἂν δὴ καὶ συμβαίνοι καὶ σοί, κατὰ Πλάτωνα, τα ὀνόματα μάλα τί γ' εἶναι σαφῆ καὶ στρογγύλα δή, καὶ ἀκριβῶς ἀποτετορνῶσθαι (1), καὶ συνύφαινε καὶ συντίθει αὐτὰς (2) δὴ καὶ τά γ' ἐν ταύταις δηλούμενα, πρὸς ἅπερ ἔγωγ' ἔφην παραδείγματα καὶ αὐτὸς βλέπων, καὶ κατά τινα συνάπτων καὶ ῥυθμίζων μουσικὴν ἁρμονίαν.

Καὶ δή γε διατείνων, μὴ πάνυ τι ἔσο ὑπερθετικῶς παρατείνων καὶ διὰ πολλῶν ταμιευόμενος τὰς ἀποδόσεις, ἀλλ' ἐπισύναγε ὡς οἷόν τε καθιστῶν καὶ συντέμνων. Τὰ γὰρ μακροτενῆ ταῦτα ταῦτ' ἐστὶ καὶ τὰ μάλιστα λωβῶντα καὶ λυμαινόμενα τήν τε συνθήκην (3) καὶ ἁρμονίαν καὶ τὸ σαφὲς τοῦ λόγου.

(1) Plato Phædro 23 : σαφῆ καὶ στρογγύλα καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνευται. Cf. t. I, pag. 352, n. 2.

(2) Paulo remotius est αὐτὰς a nomine suo λέξεων, ut supra κυριωτέραν τῆς ab λέξις.

(3) De accusativo post λυμαίνομαι vide t. II, p. 360, n. 6. Moschopulus Π. σχ. pag. 179 : λυμαίνομαι, τὸ φθείρω, ὃ παρὰ μὲν τοῖς Ἀττικοῖς δοτικῇ συντάσσεται, παρὰ δὲ τοῖς ἄλλοις Ἕλλησιν αἰτιατικῇ. Obiter superiora Moschopuli verba vitiata sanabo : λύτρα, τὰ ἐπὶ λυτρώσει καὶ ἐλευθερίᾳ τινὸς διδόμενα

Καὶ γοῦν ἔστω σοι καὶ τὸ ἀναπαύειν ἐφ' ἑκάστου τῶν ἐπιχειρημάτων, καὶ τό γ' ἔσχατον εἰς ἀκοὰς ἧκον καὶ ἐνιζάνον ἄνετον, καὶ χάριέν τι καὶ τερπνὸν ἔχον, καὶ μὴ νωθρὸν καὶ κατηναγκασμένον καὶ σὺν μόχθῳ γ', εἰπεῖν, ἁπάντων καὶ πόνῳ.

Καὶ τό γ' ἐπεισάγειν αὖθις ἔστω μετὰ τῆς αὐτῆς εὐκολίας ἐλευθέρως ἰὸν, καὶ οἱονεὶ ποιοῦν τρέχειν πρὸς τὴν ἁρμονίαν.

Καὶ γ' ἐν περιβολαῖς μὴ μακροῖς δή τισι κατὰ κάμηλον ὀρχουμένην καὶ πρὸς ἑαυτὴν συστρεφομένην, ἀλλ' ἐν βραχέσι συμπέραινε κώλοις· καὶ μηδ' ἐπὶ πολὺ ταύταις χρῶ.

Καὶ σχηματισμὸς ἔστω σοι μετ' εὐκολίας ἀνέτως πυκνῶς (1) ἐξαλλάττων.

Καὶ ἤθους ἐπιμελοῦ καὶ δή γε κάλλους, ἔκ τε τῆς χάριτος τῶν ὀνομάτων, ἔκ τε τοῦ ξενίζοντος τῶν νοημάτων.

Καὶ γάνος τὸ ἐκ τούτων ὅτι μάλιστα ἐπὶ παντὸς τοῦ λόγου τρεχέτω, γοητεῦον καὶ καταθέλγον τοὺς ἀκούοντας καὶ κατέχον, καὶ μὴ ἐῶν ῥᾳδίως ἀναχωρεῖν καὶ ἀπαλλάττεσθαι, ἑκάστου θηρεύοντος, ὡς εἰπεῖν, καὶ χειρουμένου τῶν ἀκροαμάτων, καὶ μή τί γε μηδαμῶς τοὺς περιτυγχάνοντας, ὡς ἐπὶ λειμῶνος, ἀπανθεῶνος ὄντος τοῦ ἀπαντῶντος, ἄνθη ζητεῖν ἢ ὁμαλόν τι καὶ λεῖον καὶ τῇ ἀφῇ προσηνὲς ἢ τῇ γεύσει ἡδὺ ἢ τῇ ὄψει τερπνὸν, ἔπειθ', ὅποι ἂν βλέψειαν, ἐπιφρίσσον καὶ ἠγριωμένον ὁρᾷν, ὅτου δ' ἂν ἅψαιντο,

ἐπὶ τῷ ῥύσασθαι θανάτου τινά. Rescribendum e cod. 2599 :....διδόμενα· ἄποινα δὲ τὰ διδόμενα ἐπὶ τῷ... Conf. schol. ad Il. A, 13.

(1) Forsan καὶ πυκνῶς, vel ἀνέτως.

πλήττοντος ἅπτεσθαι, καὶ δή γε τῇ γεύσει πολεμίου, καὶ φεύγειν μὲν ὡς σκυθρωπὸν τὸ θέαμα, μισεῖν δὲ καὶ φεύγειν καὶ τὴν ἐκ τῶν κέντρων πληγήν.

Μηδ᾽ αὖ κατὰ τοὺς λοιποὺς βούλου καὶ αὐτὸς περὶ λόγους σοφίζεσθαι καὶ κακουργεῖν, νοήματα μὲν ἀποτίκτων τόκους Αἰθίοπας, εἶτ᾽ ἐγκρύπτων, ζοφώδεσι ῥάκεσι, φράσεσιν ἐκ σκότους, περιστέλλων καὶ συγκαλύπτων ὄψιν αἰσχράν.

Τί ἔτι; μῦθοι τοῖς παλαιοῖς ἐκείνοις ἐφ᾽ οἷς λέγουσιν ἐγκαταμίγνυνται πρὸς ἡδονὴν ἅμα καὶ θαῦμα τῶν ἀκουόντων, καινοτέρων δή τινων ὄντων τῶν διηγημάτων καὶ τῶν ἀκουσμάτων· σὺ δ᾽, εὐσεβὴς ὤν, εἰς ἱστορίας ἀρχαίας ἀνάφερε τῶν τότ᾽ ἐν θεογνωσίᾳ ζησάντων θαυμαστῶν καὶ δικαίων ἀνδρῶν, ὑπερφυῶν δή τινων ὄντων τῶν ἐκείνοις καταπραχθέντων θαυμάτων ἅμα καὶ κατορθωμάτων.

Ἀλλὰ μὴν καὶ ῥήσεις ποιητῶν Ἕλληνες ἐπεισάγουσι, μαρτυρούντων αὐτῶν τοῖς λόγοις· ἔχεις καὶ σύ, καὶ λάμβανε κατὰ χρείαν ἐκ τῶν ἱερῶν Γραφῶν καὶ βίβλων, ἔστι μὲν ὅτε καὶ λέξεσιν αὐταῖς, τοῦτο βέλτιον εἶναι τῆς χρήσεως δοκιμαζούσης· ἐν οἷς δὲ μὴ τοῦτ᾽ ἀνάγκη, ἔμοιγε δοκεῖ βέλτιον αὖθις τὸ μεταποιεῖν καὶ ἐξαλλάττειν, καὶ ὡς μὲν ὑπεμφαίνειν ὅθεν ἐκπορίζῃ, ὡς δ᾽ ὑποκλέπτειν καὶ γνήσιον ποιεῖν τῆς συναφείας τοῦ λόγου καὶ τοῦ αὐτοῦ τόκου, καὶ δοκεῖν πως ἐθέλειν λανθάνειν μετασχηματισμοῖς δή τισι καὶ μετεγκλίσεσι, καὶ λέξεσιν ἐξαμειβομέναις μέν, μηδὲν δὲ τοῦ βελτίστου τῶν προτέρων γε ἀπολειπομέναις. Ὡραΐζει γὰρ δὴ καὶ τοῦτο καὶ καλλύνει τὸν λόγον, καὶ τοῖς ἀκροαταῖς εὐθὺς ἐφευρίσκουσιν ἡδονὴν ὅτι πλεί-

σίην ἐμποιεῖ. Καὶ τοίνυν ἀκούοντες γνησίως ἅμα καὶ ἀγαπητικῶς προσφύονται τῷ λόγῳ.

Ταῦτ' ἐγὼ περὶ λόγους καὶ μεμελετηκὼς εἰμὶ καὶ σπουδάζων· ταῦτα δὴ καί σοι συμβουλεύω. Εἰ δέ τι τούτων ἔχεις σὺ πλέον καὶ ἄμεινον περινενοηκὼς ἢ καὶ ἐξευρηκὼς, καὶ τούτῳ δὴ μᾶλλον καὶ προσανέχεις, ἐρρέτω δὴ φθόνος, καὶ τοὺς ἀγνοοῦντας ἡμᾶς δίδαξον (1).

(1) Parili sententia claudit Chumnus Epistolam 30am ineditam : εἰ δ' ὑμεῖς ἄλλο τι βέλτιον καὶ ἄμεινον ἔγνωτε, μὴ ἀποκνήσητε καὶ ἡμᾶς διδάξαι. Crederes in mente habuisse Horatianum : « si quid » novisti rectius istis, Candidus » imperti. »

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΠΡΟΣ ΤΟΥΣ ΔΥΣΧΕΡΑΙΝΟΝΤΑΣ ΕΠΙ ΤΟΙΣ ΕΛΕΓΧΟΙΣ ΤΩΝ ΑΣΑΦΩΣ ΚΑΙ ΚΑΚΟΤΕΧΝΩΣ ΡΗΤΟΡΕΥΟΝΤΩΝ, ΚΑΙ ΤΑΝΑΝΤΙΑ ΠΛΑΤΩΝΙ ΚΑΙ ΤΟΙΣ ΑΥΤῼ ΔΟΚΟΥΣΙΝ ΑΣΤΡΟΝΟΜΟΥΝΤΑΣ.*

Ἔστι δὴ θρασύτητος, καὶ ἤθους αὖθις ἀνελευθέρου ἐπιβουλευόντων καὶ δεινὰ ποιούντων ἀνθρώπων, καὶ ἄλλα μὲν πλεῖστα γνωρίσματα τοῖς σκοπεῖν βουλομένοις· ἔστι δὲ πλέον τῶν ἄλλων καὶ τὸ ῥᾳδίως οἷς ἂν βούλοιντο, μηδὲν ἀδικοῦσιν, ἀπροόπτως, εἰκῆ καὶ μάτην, ἐπιφύεσθαι καὶ ἐπιπηδᾷν, μηδὲν συνορῶντας ὅ τι ἂν ἐντεῦθεν αὐτοῖς ἀπαντήσοι, πότερον χρηστὸν ὂν καὶ σεμνὸν ὂν καὶ λυσιτελὲς, ἢ μή. Καὶ τοίνυν εἴ τις ἂν περὶ ἀρετῆς λόγον ἢ κακίας ποιοῖτο, τὴν μὲν ἐξυμνῶν, τὴν δ' ἐλέγχων, ἑκατέρωθεν πλήττονται, μή τινος βάλλοντος ἐς αὐτούς. Τί γάρ σοι πρᾶγμα ἢ τί τῶν δεινῶν, σωφρόνως διαιτωμένῳ καὶ νήφοντι καὶ τὰς φρένας ἐῤῥωμένῳ, εἰ ἐγὼ γράφω κατὰ μεθυόντων, τοὺς σπουδαίους ἐπαινῶν καὶ πάνυ τι διεγηγερμένους; τί δ', εἰ κατὰ φθονούντων, σὺ δὲ

* E codice 2105, p. 309, 2. Scholium est p. 309, 1, huc pertinens : ὁ ἐφεξῆς τρίτος λόγος, τὸ πᾶν εἰρωνευόμενος, καὶ τοῦτον δὴ τὸν τρόπον τὸν ἀγῶνα διαφέρων, μεθ' ὅτι πολλοῦ τοῦ κάλλους καὶ τοῦ ἤθους ἐξειργασμένον· ἔστι δὲ καὶ καπευστοχῶν καὶ δριμύτατα βάλλων καὶ δάκνων δήπου γε καὶ πλήττων. Quamvis ad plures adversarios videatur ex lemmate hæc oratio esse directa, in unum tamen peculiariter invehitur Nicephorus Chumnus, hominem Aristotelicum, et astronomicæ doctrinæ ostentatorem, ac multorum librorum auctorem, cujusque verba passim ipsa adducuntur ac refelluntur.

πᾶσι πάντα βούλει τὰ χρηστὰ καὶ βέλτιω, καὶ πάντ' ἂν πράξαις αὐτοὺς ἐν τοῖς ἀμείνοσιν εἶναι; τί δ', εἰ καλὰ φιλαργύρων, σὺ δ' ἐλευθέριος καὶ μεγαλόψυχος καὶ μεταδοτικὸς, καὶ πᾶς χρυσός σοι καὶ ἄργυρος κατάπτυστος, καὶ νεμεσᾷς τοῖς γε χρηματιζομένοις; Ἀλλὰ μὴν ἅμα τε ἀχθεσθήσῃ τούτων κακῶς ἀκουόντων, καὶ δῆλος ἔσῃ ταῖς αἰτίαις ταύταις ἁπάσαις ἐνισχημένος. Καὶ τοίνυν, εἰ βούλοιο, μηδενὸς πρὸς σὲ διισχυριζομένου μηδ' ἀγωνίζεσθαι προελομένου, σὺ τὸν ἀγῶνα θρασὺς ὢν ἀνῃρῆσθαι, ἐκεῖνο δὴ πρῶτον καὶ γυμνῇ τῇ κεφαλῇ (1) σπούδασον ἐκ παντὸς τρόπου δεικνύναι, ὡς καλὸν μὲν τὸ μεθύειν, καλὸν δὲ καὶ τὸ βασκαίνειν, ἄριστον δὲ καὶ τὸ χρηματίζεσθαι, καὶ τό γ' ἐξ ἀμηχάνων λαμβάνειν καὶ συνάγειν λυσιτελέστατον τοῖς αὐτὸ δὴ τοῦτο μεταδιώκουσι καὶ προαιρουμένοις. Εἰ δ', εἰ μή τι ἄλλο, τὰς γε κοινὰς δόξας περὶ τῶν τοιούτων δεδιὼς, αἰσχύνῃ τοῖς τοιούτοις ἀποσεμνύνεσθαι, τί ἅ γε φεύγεις, ὡς διαβολὴν παρὰ πᾶσιν ἔχοντα τὴν ἐσχάτην, τούτοις περιπίπτων οὐ συνίης;

Ἐμοὶ χθὲς καὶ πρότριτα βιβλίον ἐποιήθη, λόγος περὶ ἀρετῆς λόγων καὶ κακίας (2), καὶ τίνι τούτων εἴδει προσεκτέον καὶ ὅπως, καὶ τίνος αὖθις ἀφεκτέον· καὶ οὕτω δή μοι ἁπλῶς, εἰπεῖν, καὶ ἀφελῶς συνετέθη,

(1) Proverbium est. Scriptor a Bandinio prolatus in recensione cod. VIII plutei VIII Laurent.: ὁπόσα γὰρ μεθ' ὑποστολῆς καὶ οἷον ὑπ' ὀδόντα πρότερον, ἀναίδην ἐλέγετό τι καὶ, ὅ φασι, γυμνῇ κεφαλῇ. Platonius De differ. charact.: ἁπλῶς καὶ, κατὰ τὴν παροιμίαν, γυμνῇ τῇ κεφαλῇ τίθησι (Κρατῖνος) τὰς βλασφημίας κατὰ τῶν ἁμαρτημάτων. Utitur hoc proverbio Niceph. Chumnus Epistola inedita 43; utitur et ejus filius epistola inedita quarta: οὐ γὰρ ἔνεστ' εἰπεῖν ὡς οὐ μέτεστι τούτῳ καὶ ἀνδρίας, ὅς γε γυμνῇ τῇ κεφαλῇ, τὸ τῆς παροιμίας, οὕτω χωρεῖ κατὰ τῶν ἀδικούντων.

(2) Ipsa quæ præcedit oratio.

ὥστε μηδὲ περιεργάσασθαί με, μηδ' ἐπὶ νοῦν βαλέσθαι, μήτε μὴν συλλογίσασθαι δυσχεραίνοντά τινα εἶναι καὶ χαλεπαίνοντα τῷ συντάγματι καὶ ποιούμενον ἐν δεινῷ, ἐπεὶ μηδ' ἦν πρὸς τὸν δεῖνα ἢ τὸν δεῖνα κατευθὺ τεῖνον καὶ βάλλον, καὶ ὑπόθεσιν τοῦτον πεποιημένον· ἀλλὰ τί; παιδεία τις ἦν καὶ νουθεσία τοῖς περὶ λόγους ἐσπουδακόσιν, ἄριστά τε καὶ κάλλιστα, κατά γε τὸ ἐμοὶ δοκοῦν, συντάττειν καὶ δημιουργεῖν, ὅροις δή τισι καὶ κανόσι κεχρημένους τοῖς ἐκ τῆς ἐπιστήμης, καὶ πρὸς τοὺς πάλαι θαυμαστοὺς ἐκείνους ῥήτορας καὶ ἡγεμόνας ἡμῖν τῶν λόγων τὸν ζῆλον ἔχοντας καὶ τὴν σπουδὴν πᾶσαν.

Καὶ δή γ' ἐπῆλθέ μοι τοῦθ' οὕτω συντάξαι καὶ σπουδάσαι, κατὰ τρόπον τόνδε.

Καθηγεμὼν ἐμοὶ καὶ παιδευτὴς καὶ μυσταγωγὸς ὑπῆρξε καὶ διδάσκαλος μέχρι παντὸς τοῦ κατ' αὐτὸν βίου (εἴθε δ' ἦν κἀμοὶ καὶ διὰ βίου παντός! καὶ ἠγάπων ἂν αὐτῷ αἰεὶ παῖς εἶναι καὶ μαθητής) ὁ πολὺς ἐκεῖνος τὴν σοφίαν, πολὺς καὶ τοὺς λόγους, τὸ μέγα θαῦμα τοῦ καθ' ἡμᾶς βίου, ὁ πάνυ Γρηγόριος, ὃν πατρὶς μὲν ἤνεγκε Κύπρος (1), εἶτ' ἦν τῆς οἰκουμένης ἁπάσης χειροτονηθεὶς ἀρχιερεὺς (2) καὶ διδάσκαλος. Ἐκείνῳ συνέβη περὶ λόγους, ὡς μὲν ταὐτὰ τῷ ὁμωνύμῳ (3) καὶ πάντων ἐπέκεινα καὶ τῶν πάλαι λόγου δυνάμει καὶ σοφίας ἄλλης τε πάσης καὶ τῆς γε ἀνωτάτω, καὶ ὅση θεολογικὴ καὶ ὕψη καὶ βάθη ἐρευ-

(1) De Gregorio Cyprio quum agerem t. 1, p. 313, hæc Chumni verba adduxi.

(2) Innuitur Gregorii patriarchæ Constantinopolitani dignitas. Peculiaris est illius patriarchæ titulus, ὁ οἰκουμενικός. Conf. Crusii Turcogr. pag. 507, &c.

(3) Gregorio scilicet Nazianzeno.

νᾷν (1) οἶδε τῶν ἀποκρύφων τῆς ὑπερουσίου φύσεως καὶ θειότητος, ὡς δ' ἐναντία ἐκείνῳ καὶ κατὰ διάμετρον εἰπεῖν (2) διεννηοχότα καὶ ἀλλήλων διεστηκότα. Ἐκεῖνος γάρ, οἷον πυρίπνους τις ὢν ἐξ ἐπιπνοίας τοῦ Πνεύματος, καὶ ἐπ' ἐκκλησίας ἦν λαλῶν, καὶ πάντ' ἦν ἀναλίσκων καὶ ἀποτεφρῶν (3) τὰ ταῖς ἀντιθέτοις γλώτταις καὶ δεδογμένα καὶ κακῶς τοῖς ὀρθοδοξοῦσι παρεισφθειρόμενα. Καὶ κάλλος ἦν ἐπὶ τῆς γλώττης ἐκείνῳ καὶ χάρις, ὡς ἐπ' οὐδενὸς τῶν ἄλλων καὶ μεγάλ' ἄττα ἐπὶ λόγοις φρονούντων παλαιῶν ἐκείνων καὶ θαυμαστῶν ἀνδρῶν ἔστιν εὑρεῖν. Ἦν δ' ἐπὶ τοῖς λόγοις ἐκείνῳ καὶ ῥυθμὸς πάντ' ἄριστος (4), πρὸς ὃν ἐν ὑστέροις τινὲς ἀπιδόντες, καὶ ἦχον ἤχῳ παραβάλλοντες, τῶν ἄλλων καλῶν ὑπερφυῶν δή τινων ὄντων μηδὲν μήτε συνιδεῖν, μήτε ζηλῶσαι καὶ μιμήσασθαι, δυνηθέντες, ἐκ τοῦ παντὸς ἔπεσον, ἐπὶ μόνην συμφόρησιν λέξεων, καὶ τούτων ἀγεννῶν καὶ ἀχρείων καὶ μηδὲν τῶν πραγμάτων ἐφικνουμένων, τὸ πᾶν τῆς σπουδῆς προσδεδαπανηκότες, ὥσπερ τινὲς νεοσσοὶ πτερώματος παντὸς δίχα πρὸς ἀετὸν δι' αἰθέρος

(1) Respexit Pauli verba I ad Cor. II, 10 : τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ.

(2) Refero εἰπεῖν ad συνέβη. Puto tamen verbum aliud excidisse cum συνέβη jungendum, significareque εἰπεῖν, « ut ita dicam », quo modo εἰπεῖν sæpius Chumnus adhibet ; sic interpuncta sententia : καὶ κατὰ διάμετρον, εἰπεῖν, διεννην. . . Cf. n. seq.

(3) Eadem verba junxit pag. 358. Conferam Epistolæ locum inter ineditas decimæ tertiæ : παραπεπτάσμεθα, μὴ φαρέτρας μόνον ὅλας δεινὰ κρυπτούσας. . . εὐθὺς κενοῦν, ἀλλὰ καὶ ποταμούς δή τινας ἐκ πυρὸς, εἰπεῖν, ἕλκειν, ὁμοῦ μὲν καταχλύζοντας, ὁμοῦ δ' ἀποτεφροῦντας πονηρὰς αὐτῶν καὶ γλώσσας καὶ πράξεις. Conf. pag. 245, n. 1, locus Gregoræ.

(4) Non παντάριστος. Cf. t. II, p. 294, n. 3; t. III, p. 181, 16. Basilius Epist. extr. 216 : τὸν πάντα ἄριστον ἄνδρα Τερέντιον.

περιϊπτάμενον κατ' ἴχνος βαίνειν καὶ διώκειν διαπλανώμενοι· καὶ τοσοῦτο μόνον ἐκεῖνοι τοῦ γε ζήλου καὶ τοῦ μεταθέειν ἀπώναντο. Οἱ δὲ νῦν, ἐφ' οὗπερ ἔφην ἐμοῦ παιδευτοῦ καὶ διδασκάλου, πόσον καὶ οἷον κακῶς ἐζηλωκότες εὐδοκιμήκασιν!

Οὗτος, πάντα παρεωρακὼς τὰ τῶν ὧν ἔφημεν νέων καὶ κακοδαιμόνων ῥητόρων, ἐκεῖ γε πρώτως ἔβλεψεν, ὅποι δὴ ῥητορικῆς ἐπιστήμη καὶ τέχνη ἐπὶ τοῦ ἀρίστου καὶ καλλίστου, καὶ τοῦ γενναίου καὶ ἀσφαλοῦς ἕστηκε, καὶ πρὸς ῥήτορας ἐκείνους εἶδε τοὺς πάλαι, Πλάτωνας, Δημοσθένεις, Ἀριστείδας (1), οἷς γε δὴ καὶ ἐπὶ πλέον αἰεὶ προσανεῖχε, καὶ τοῖς ἐκείνων προσφυῶς ἡμιλλήσατο.

Καὶ ταύτην ὁδὸν περὶ λόγους ἀγαθὴν τέμνων, τρέχειν τοῖς ἄλλοις ὑπέδειξε. Καὶ οἱ μὲν εὐφυῶς ἔχοντες, ἱκανῶς καὶ πρὸς τὸν δρόμον, κάτοπιν ἔδραμον τοῦ προτρέχοντος, μή τί γε παντάπασι τοῦ παντὸς ἀπολιμπανόμενοι· οἱ δὲ μή τί γε φύσεως τυχόντες ἀποχρώσης, καὶ μελέτης καὶ (2) ῥητορικῆς ἐπιστήμης οὐχ ἱκανῶς ἐσχηκότες (τούτων δ' εἴ τίς τινος ἀπολείποιτο, καὶ, Πλάτων φησὶ (3), τοῦ παντὸς ἔστιν ἀπολιμπανόμενος), ἐπὶ τραχύτητας ὠλίσθησαν καὶ κρημνούς, τὴν ἐναντίαν παντάπασι κατὰ διάμετρον, ὡς ἔφημεν (4), τοῖς πρώτοις μὲν τούτων, νέοις δ' ἐκείνοις ῥήτορσι μετὰ τοὺς πρώτους καὶ ἀρίστους,

(1) In orationibus Gregorii Cyprii, quas edidi t. I, nonnulla imitationis Aristideæ vestigia indicavi.

(2) Inserui καὶ.

(3) Plato Phædr. § 120 : εἰ μέν σοι ὑπάρχει φύσις ῥητορικῷ εἶναι, ἔσῃ ῥήτωρ ἐλλόγιμος, προσλαβὼν ἐπιστήμην τε καὶ μελέτην· ὅτου δ' ἂν ἐλλίπῃς τούτων, ταύτῃ ἀτελὴς ἔσῃ.

(4) Pag. 368, 3. — Forsan excidit καὶ ante κατά.

τοὺς παλαιοὺς ἐκείνους φημὶ, μετὰ πολλῆς γε τῆς πλάνης καὶ τῆς τοῦ καλοῦ ἀποπτώσεως, δραμόντες, ἀσάφειαν ἀμύθητον ὅσην ἐν τοῖς λόγοις ἐπιτηδευσάμενοι, καὶ ζοφώδη τινὰ καὶ ὁμιχλώδη νοήματα γεννῶντες, ταῦτ' ἐκ σκότους αὖθις περιβάλλουσι φράσεων, ἑλληνικῆς ὄντα πόῤῥω που γλώττης καὶ φωνῆς, καὶ μηδὲν ταύτῃ σαφῶν μηδὲ γνωρίμων οὐσῶν. Εἶτα διαβάλλουσι μὲν ἐκείνους τοὺς πάλαι, ὡς κατ' αὐτοὺς ῥητορεύοντες· διαβάλλουσι δὲ τὸν ἐμὸν διδάσκαλον, ὡς αἴτιον αὐτοῖς τῆς πλάνης ταύτης γεγεννημένον.

Τί γοῦν ἐγώ; βοηθῶ μὲν ἐκείνοις· βοηθῶ δὲ καὶ τῷ καθηγεμόνι τῶν λόγων ἐμοί. Καὶ γοῦν ἡ ἄμυνα ἐκ τῆς σφῶν ἐκείνων φωνῆς καὶ γλώττης.

Καὶ ἄγετε (1) δή μοι, Μοῦσαι τῶν νῦν ῥητόρων, τὰ παρ' ὑμῶν καὶ τὰ παρ' ἐκείνων παράλληλα θέμεναι, ἁμιλλήσασθε μέχρι παντός. Κἂν τι πλέον καὶ ἄμεινον ἐρεῖν ἔχητε, ὑμῶν ὁ στέφανος, καὶ δή γε κρατεῖτε· εἰ δὲ τό γ' ἐξισοῦσθαι καὶ παραπλήσια φθέγγεσθαι ἀπόχρων ἐστὶν ὑμῖν εἰς φιλοτιμίαν, ἐπιδείξασθε, καὶ ἀπόχρη γ' ὑμῖν νικᾶν τοὺς ἄλλους κἂν τούτῳ. Πλάτων γοῦν οὗτος (2)· Δημοσθένης ἐκεῖνος· ὅδ' Ἀριστείδης, καὶ κατάλογος οὐκ ἀγεννὴς ὁ τῶν βεβοημένων ἀνδρῶν τούτων· καὶ πάλαι κείμενοι ἀεὶ λέγουσιν ἐν ταῖς βίβλοις, ἃς δὴ χρὴ ἀνελίττεσθαι, καὶ λέγειν μὲν ἐξ αὐτῶν, λέγειν δ' ἐκ τῶν ὑμετέρων, καὶ ἡμᾶς, εἴ γ' εἰς ἀκροατὰς δέχεσθε, ἀκροᾶσθαι.

(1) Platonis imitatur locum nobilissimum e Phædro: ἄγετε δὴ, ὦ Μοῦσαι.....

(2) Adesse fingit Platonis et aliorum volumina, unde, ut apud judices, loca recitentur.

Καὶ τοίνυν ἀκροώμεθα, Πλάτωνος μὲν οὐκ ἀμαθῶς, οὐδέ γε Δημοσθένους, οὔτ' ἄλλου του τῶν κατ' ἐκείνους· ὑμῶν δ' ἐπαΐομεν οὐδὲν οὐδενός. Πῶς δὴ τοῦτο; ἀμαθεῖς, ἴσως ἐρεῖτε, ὄντες καὶ οὐχ ἑπόμενοι. Ἀλλὰ μὴν Πλάτωνί γε καὶ Δημοσθένει καὶ τοῖς ἄλλοις πᾶσι τοῖς κατ' ἐκείνους ἑπόμεθα. Τί λοιπόν; ἢ δεῖ γε κρείττω ὑμᾶς καὶ ὑψηλότερα τῶν ἐκείνοις ἐγνωσμένων εἰδέναι καὶ φθέγγεσθαι, καὶ οὕτως ἡμᾶς ἀποτυγχάνειν, ἐκείνων ἐπιτυγχάνοντας· ἤ, τό γε λειπόμενον, αὐτοί γ' ἡμᾶς διδάξατε, εἴ τι σαφὲς εἰπεῖν ἔχετε καὶ διδάξαι.

Ἀλλὰ μὴν καὶ παρ' ἃς ἡμεῖς ἴσμεν περιόδους, ἀφημερινὰς (1) ὅσας καὶ τριταίας καὶ τεταρταίας, ὑμεῖς φατὲ καὶ πάνυ τι διϊσχυρίζεσθε ἑτέρας περὶ λόγους εἰδέναι καὶ περὶ αὐτὰς κατατείνεσθαι, ἡμῖν καθάπαξ ἀγνοουμένας, οὐκ οἶδα πότερον κρείττους πάσης ἰατρικῆς τέχνης οὔσας καὶ θάνατον ἐμποιούσας τοῖς μὴ θνήσκουσι λόγοις· ἢ φαρμάκοις τισὶν ἐξεμετικοῖς ἔστιν ἀποκενῶσαι τὸ πολὺ τῆς συμφορηθείσης φθαρτικῆς ὕλης, καὶ ὑμῖν ἀπαλλαγὴν πρᾶξαι τῆς καχεξίας καὶ τοῦ πάθους, καὶ δοῦναί τι ἐλεύθερον καὶ ὑγιὲς ἀναπνεῦσαι;

Φεύγομεν, λέγετε, καὶ τὰ περιττὰ καὶ μακρὰ καὶ διεστραμμένα τῶν ἐν τοῖς λόγοις πλοκῶν, τὰς τῆς γραμματικῆς δεδιότες ἕλιξεις, μὴ ταύταις ἁλῶμεν· ὑμεῖς δὲ θαῤῥοῦντες ἐμφιλοχωρεῖτε καὶ ἀπομηκύνεσθε καὶ πολλῷ γε ῥέετε τῷ θράσει· ἔστιν ὅτε καὶ νεανιευόμενοι, καὶ τὰ αὐτὰ πολλάκις ἀναλαμβάνοντες, ὡς ἱκανῶς ἔχοντες ἄλλως καὶ ἄλλως ταῦτα διατιθέναι, καὶ ταυτο-

(1) Codex ita.

λογοῦντες, ἐφήδεσθε, μή τί γε τοῦτο μηδὲ τοῦ Πλάτωνος ἀποδεχομένου ἐν τοῖς πρὸς Φαῖδρον διαλόγοις τὰ τοῦ Λυσίου προβεβλημένον (1)· εἴ τί γε χρὴ τὰ παρ' ὑμῶν τοῖς Λυσίου παρεξετάζειν, παντάπασιν ἀπολειπόμενα καὶ μηδὲν ὄντα πρὸς τὴν ἐκείνου ῥητορικήν. Ἐγὼ γὰρ οὕτω γε ὑμᾶς οἶδα ῥαδίως τῶν τοιούτων καὶ σώους ἀπαλλαττομένους, ὥστε δὴ καὶ συχνὰ περιολισθαίνοντας ὡς περὶ τέλμα γε εἶναι σκώληκας ἰλυσπωμένους (2), καὶ πολλὰ ὑμῶν εἶναι τὰ θραύσματα καὶ συντρίμματα, αὐτῆς δὴ ταύτης, ἧς λέγετε, γραμματικῆς ἐπιλαμβανομένης συχνὰ καὶ δή γε στιζούσης.

Οὐ μὴν ἀλλὰ καὶ καπηλίδας παρεισάγετε, λευκὰς καὶ διαφανεῖς τὰς φιάλας προβαλλομένας καὶ τὸν ἐν αὐταῖς εὐώνως πιπρασκόμενον οἶνον· καὶ οὔ τί γ' ὑμεῖς βούλεσθε κατ' ἐκείνας τοὺς λόγους πιπράσκειν ὀβολῶν δή τινων ὀλιγίστων· ἀλλ' ἐν σκότει γ' ἐνθαλαμεύοντες ἀποκρύπτετε, καὶ μεγάλων ἀξιοῦτε τούτους τιμῶν, οὐκ ἐκ τοῦ λαμπροὺς καὶ τιμίους αὐτοὺς εἶναι, ἀλλ' ἐκ τοῦ συγκαλύπτειν καὶ τόποις ἀφεγγέσι συγκρύπτειν· ἡμᾶς δὲ, τοὺς ἡμῶν αὐτῶν διαλευκαίνοντας καὶ μάλα τι εὐκρινεῖς κιρνῶντας,

(1) Plato Phædro § 23: καὶ δὴ οὖν μοι ἔδοξεν.... δὶς καὶ τρὶς τὰ αὐτὰ εἰρηκέναι, ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ αὐτοῦ... καὶ ἐφαίνετο δή μοι νεανιεύεσθαι ἐπιδεικνύμενος ὡς οἷός τε ὤν, ταὐτὰ ἑτέρως τε καὶ ἑτέρως λέγων, ἀμφοτέρως εἰπεῖν ἄριστα.

(2) Cleomedes II, c. I, p. 112, Epicurum ad suas ire meretriculas jubet, inter quas multa faciat fœda, καθάπερ τις σκώληξ ἐν πάνυ πονηρῷ τε καὶ κοπρώδει βορβόρῳ καλινδούμενος. Ibi in Bakii nota locum legi Clementis Alexandrini, quo utar: οἱ δὲ, σκωλήκων δίκην, περὶ τέλματα καὶ βορβόρους, τὰ ἡδονῆς ῥεύματα, καλινδούμενοι. Junxit τέλμα et ἰλυσπᾶσθαι Ælianus H. A. VIII, 14.

ἀχρείους γε ποιεῖν τούτους λέγετε καὶ ἀξιοῦτε καταπεπατῆσθαι. Καὶ θαυμάζω δὴ ἐγὼ καὶ ἄγαμαι ὑμᾶς τοῦ σοφίσματος, οὐ τῆς ἀληθείας οὕτω γε πειθούσης, ἀλλ' ὅτι σοφιστικῶς εὖ μάλα λέγετε. Καὶ γὰρ οὐ τούτου γ' εἵνεκα κρύπτετε, καὶ φεύγετε τὸν τῶν καπηλίδων τρόπον, ἀλλ' ὅτι μηδεὶς οὐδενὸς ἂν πρίαιτο, οὐδ' ἂν πολλοὺς αὐτοὺς προβάλησθε καὶ κατὰ ποταμοὺς ἐκχέητε ἄν.

Εἶτα τί; μετὰ τὰς τὰ εὔωνα ταῦτα καπηλευομένας, Θουκυδίδης ὑμῖν ἱστορῶν εἰσάγεται καὶ δημηγορῶν, λεόντειόν τι ἐπιδεικνύμενος, καὶ διαβάλλεταί γε· τὰ γὰρ πιθήκων κινήματα καὶ βατράχων πηδήματα παραβάλλετε τοῖς ἐκείνου σκιρτήμασιν.

Εἶτα ὁ Δημοσθένης, καὶ οἱ τούτου λόγοι, οὓς ἔστι μὲν καλέσαι Δημοσθενικούς, ἔστι δὲ καλέσαι πολιτικούς· ἄμφω γὰρ ταῦτα λέγετε καὶ εἶναι αὐτοὺς καὶ ὀνομάσθαι. Καὶ διαφέρει μηδέν, πολιτικοὺς εἰπόντας, αὐτοὺς γ' εἰπεῖν τοὺς Δημοσθενικούς, καὶ αὖθις, Δημοσθενικοὺς εἴ τις ἐρεῖ, τοὺς ἀκούσαντας μηδένας ἄλλους εἶναι νομίσαι ἢ πολιτικούς. Καὶ καλῶς λέγετε καὶ πρὸς ἡμῶν γε ταῦτα, εἴ γε καὶ τοῦτο προσθείητε, ἀληθὲς ὄν, ὅτι καὶ καθαροὺς καὶ σαφεῖς καὶ εὐκρινεῖς οὐδένας ἄλλους λόγους ἔστιν εὑρεῖν οὔτ' εἰπεῖν ἢ αὐτοὺς τοὺς τοῦ Δημοσθένους λόγους. Πῶς γὰρ (ὦ πρὸς τῆς ἀληθείας καὶ πρὸς αὐτῶν τῶν λόγων!) ἔστι πρὸς πόλιν ὅλην καὶ πρὸς δῆμον ὅλον διαλεγόμενον, καὶ ταῦτα περὶ πραγμάτων ἐχόντων αὐτῷ τῷ λέγοντι καὶ ἀποτυγχάνοντι κίνδυνον, ἀσαφεῖς τοὺς λόγους ποιεῖσθαι, καὶ μὴ μόνον ἀηδεῖς τοῖς ἀκούουσιν, ἀλλά τι καὶ ἐπαχθεῖς; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι.

Καὶ ἄγε δ' εἰς (1) μέσον, καὶ, ὡς ἐπὶ τοῦ δήμου τότε τῶν Ἀθηναίων, ἐφ' ἡμῶν νῦν τῶν περὶ λόγους ἐχόντων, ἀνάγνωθι· λέγε δὴ καὶ τὰ τῶν νῦν ῥητόρων τῶν εἰς ἐκεῖνον, ὥς φασι, βλεπόντων, καὶ δή γε λεγόντων καὶ ῥητορευόντων. Κἂν οὕτως ἐκείνου γ' ἐκπίπτωμεν ὡς καὶ τούτων διαμαρτάνομεν, λῆρος τὸ καθ' ἡμᾶς πᾶν, καὶ τὰ τοῦ Δημοσθένους καὶ τούτων κρατείτωσαν· εἰ δ' ὕβρις εἰς ἐκεῖνον πολλὴ καὶ σφόδρα πολλὴ τὸ ταῦτα λέγειν καὶ μανία δή πού γε σαφὴς, σιγᾷν πάντως ἄμεινον ἢ περὶ τῶν τοιούτων ἐθέλειν ἀγωνίζεσθαι καὶ διϊσχυρίζεσθαι, καὶ τά γ' ἐναντία παντάπασι καὶ τὰ μηδὲν ὄντα ἢ φαῦλα ὄντα σπουδάζειν ἐξισοῦν τοῖς οὖσι καὶ λαμπρῶς οὖσι, καὶ τοῖς γε τοσοῦτον πλεῖστον ὅσον πάντων, εἰπεῖν, προέχουσι καὶ μεθ' ὑπερβολῆς ὑπερέχουσι, καὶ μηδενὸς αὐτῶν μήτ' εἰς μίμησιν μήτ' ἐγγὺς μηδαμῶς ἥκοντος.

Ἀλλὰ μὴν καὶ ῥήτορας λέγετε γενέσθαι πάλαι ποτὲ ἀφελεῖς καὶ ὑπτίους, καὶ τὰ ἐκείνων τῶν ἀγροικιζομένων διαφέρειν μηδὲν, καὶ πᾶσιν ἐξ ἴσου ἐκκεῖσθαι λόγων εἰδόσι σεμνότητα καὶ μή· ἕτεροι δ' αὖθις αὐτοὺς παρωσάμενοι τὰ παρ' ἑαυτῶν εἰσήγαγον, σεμνὰ δή τινα καὶ βέλτιστα καὶ τοῖς συνιεῖσιν ἐπὶ πολὺ ἀριστεύοντα. Καὶ τί δὴ τοῦτο ἡμῖν πρὸς τὴν νῦν ἀγωνίαν, εἴ τινες τῶν πάλαι κρείττους τῶν χειρόνων ἐγένοντο, καὶ τὰ ἐκείνων σαθρὰ μεταβαλόντες τοῖς παρ' ἑαυτῶν ἐξευρημένοις ἐτόνωσαν; οὔ τί γε καλῶς, οὐδ' ἰσχυρὸν ἡμῖν τοῦτο προφέρετε. Συμβαίνει γὰρ ταὐτὸν, ὥσπερ ἂν εἴ τινες ἔκλυτον οἶνον καὶ γλίσχρον καὶ ἀηδῆ γ' ἐξιώμενοι (ἐκ γὰρ τοῦ σοῦ γυμνασίου

(1) Forsan δὴ εἰς.

ϗ τῶν σῶν καπηλίδων τῷ παραδείγματι χρήσομαι), φαρμάκοις δὴ τισιν αὐστηροτέροις ἀναμίξαντες ἀγαθὸν χρῆσθαί γε αὐτὸν ἐποιήσαντο, οἱ δὲ παραλαβόντες καὶ ταὐτὸ νομίσαντες τὸ αὐστηρὸν τῷ πικρῷ, τῇ ἀλόῃ τοῦτον κεράσαντες, ἐδίδουν πιεῖν τοῖς τὴν γεῦσιν ὑγιαίνουσι ϗ μάλα τι εἰδόσι τί μὲν αὐστηρὸν, τί δὲ πικρὸν, καὶ τὸ μὲν προσιεμένοις, τὸ δ' ἀπαναινομένοις καὶ τὴν πικρίαν γε φεύγουσιν.

Οὐ μὴν ἀλλὰ ταῦτα μὲν, μέρος ἓν ὧν ἐγκαλούμεθα, τῆς ἀγροικίας ἕνεκα καὶ ἀμαθίας ἡμῶν, οὕτως ἐσμὲν ἐν βραχέσιν ἀπολυσάμενοι· εἰ μὲν οὖν ἀποχρώντως· εἰ δ' οὖν, ϗ τὰ πλείω προσθήσομεν. Οὐ γὰρ πολλὰ λέγειν καὶ φιλονεικεῖν ἡμεῖς, ἀλλ' ἱκανῶς ἀποδεικνύναι μόνον, σπουδάζομεν. Δεύτερον δὲ τῶν εἰς ἡμᾶς ὑβρισμάτων, ὅτι τοῖς Ἀριστοτέλους βραχέα τινὰ ϗ πλημμελῶς ὁμιλοῦμεν, ϗ μηδ' ἔστιν ἡμῖν τὰ ἐκείνου βιβλία μήτ' ἐξ ὀνόματος πάντ' εἰπεῖν, μήτ' εἰς ἀριθμὸν θεῖναι. Σὺ δ' ἔχεις τὰ ὀνόματα εἰδὼς, ἔχεις δὲ τὸν ἀριθμὸν εἰπεῖν; Ὡς ὑπέρευγε τοῦ πλεονεκτήματος καὶ αὐχήματος! ὑπέρευγε ϗ τῆς φιλοτιμίας! καὶ δεῖ γε σὴν εἰκόνα ϗ στήλην χρυσῆν, οὐκ εἰς Δελφοὺς, ὡς οἱ ἐννέα τῶν Ἀθηναίων ἄρχοντες, ὑπὲρ ὅτου ἂν ϗ χαρίσασθαι βούλοιντο, ἀλλ' ἐπὶ τοῦ Περιπάτου πρὸς θαῦμα στῆσαι. Καὶ στῆθι σφυρήλατος, τοιούτου γ' ἐπιγράμματος μετέχων· « Οὗτός ἐστιν » ὁ πάντ' ἐξ ὀνόματος τὰ τοῦ Ἀριστοτέλους βιβλία » εἰδὼς ἀριθμεῖν ϗ καλεῖν. » Πρόσθες ὅτι ϗ πλοῦτος ἐστί σοι ταῦτα λαμπρὸς πανταχόθεν ἐρανιζομένῳ καὶ ἀποτιθεμένῳ. Καὶ αὖθις πρόσθες ὅτι δὴ ϗ μετεγράφεις ϗ μετατάττεις ταῦτα ϗ μεταποιεῖς, ὡς

καὶ πλεῖστοι δή τινες ἄλλοι (1) σπουδὴν ἐποιήσαντο, οὐκ οἶδ' ὅ τι βουλόμενοι καὶ τί γε πραγματευόμενοι, πλὴν τοῦ δόξαι ἀριστοτελικοὺς αὐτοὺς εἶναι, οἱ μὲν καὶ ὡς ἀληθῶς ὄντες, οἱ δὲ δόξαν ἐψευσμένην εἰκῆ καὶ μάτην θηρεύοντες.

Ἔτι ῥησειδίοις τοῦ Ἀριστοτέλους φασὶ λέγειν σε περιτυχόντας ἡμᾶς, τούτοις δὴ καὶ συμπλέκεσθαι καὶ προσπαλαίειν καὶ ἀντιθετικῶς αὐτοῖς φέρεσθαι, καὶ εἶναι δήπουθεν τοῦτο τετυφῶσθαι καὶ μεμηνέναι ἄντικρυς καὶ παραφρονεῖν. Καὶ τί δή σοι βούλεται τὸ ῥησειδίοις; πότερον μηδένα μὲν ἔχουσι νοῦν, μηδέ τι συλλελογισμένον καὶ ἀποδεδειγμένον ἐν σφίσιν αὐτοῖς, ἀλλὰ πρὸς ἦχον μόνον καὶ πληγὴν ἀέρος ἐξενηνεγμένοις, ὁποῖα δὴ καὶ τὰ τῶν ἄλλων νῦν, ἵνα μὴ λέγω τὰ σά; ἢ δὴ καὶ νοήματά εἰσι καὶ ἐπιχειρήματα ἐν αὐτοῖς, ἀποδείξεις ἔχοντα πραγμάτων ζητουμένων, καὶ μή τί γε τοῖς πᾶσι δεδογμένων, κατὰ τὸ δοκοῦν αὐτῷ γ' Ἀριστοτέλει; Εἰ δὴ τοῦτο, πάντως δὲ τοῦτο, τί μὴ αὐτὸ λέγεις τὸ τοῦ Ἀριστοτέλους δόγμα, πρὸς ὃ δὴ καὶ αὐτός εἰμι ἀντιλέγων, καὶ δή γε συνηγορεῖς μὲν αὐτῷ, ἐλέγχεις δ' ἐμέ;

Οἷον τί λέγω; Πέμπτον φησὶν ἐκεῖνος (2) σῶμα πρῶτον καὶ ἁπλοῦν, τὸ τοῦ οὐρανοῦ, εἶναι σῶμα, ὅτι δή, τῶν ἄλλων πάντων εὐθὺ φερομένων ἄνω ἢ κάτω, βαρέων ἢ κούφων ὄντων, οὗτος δὴ μόνος φέρεται κύκλῳ καὶ ἀεὶ περιδινεῖται, ἀεικινήτου καὶ τῆς σφαιρικῆς καὶ κυκλικῆς κινήσεως οὔσης· ἐγὼ δ' οὐ τίθε-

(1) Vide Fabricium Biblioth. Græc. t. III, p. 292, de fatis codicum Aristotelis.

(2) Vide Aristotelem pluribus hanc sententiam tractantem libris De cœlo.

μαι (1) τῷ δόγματι τούτῳ (2), οὐδ' εἶναι λέγω ἕτερον οὐδὲν τῶν πρώτων καὶ ἁπλῶν τεσσάρων σωμάτων, οὐδέ γε πέμπτον, καὶ πρὸς ἔπος, εἰπεῖν, ἁπάντων εἰμὶ (3), καὶ λύων τὰς ἐκείνου θέσεις, ἀναλύων ἅμα καὶ τὰς ἀποδείξεις. Τί γοῦν μὴ καὶ αὐτὸς τὸν ἴσον τρόπον ἐμὲ διελέγχεις; καὶ πολλή σοι δή που ῥαστώνη, ἐμοῦ γε πρὸς Ἀριστοτέλην ἀγωνιζομένου ἢ καὶ πρὸς Πλάτωνα, ὑπὲρ ἀμφοῖν σε τοὺς ἐλέγχους εὖ μάλα καὶ κράτιστα πρὸς ἐμὲ ποιεῖσθαι. Καὶ δὴ γενοῦ γ', εἰ βούλει, ταύτης τῆς ἀγωνίας, καὶ πρὸς τὰ ἐμὰ βάλλε συντάγματα τοῦτον τὸν τρόπον, πολλά γε ὄντα· Περὶ κόσμου φύσεως (4), Περὶ τῶν πρώτων καὶ ἁπλῶν σωμάτων, Περὶ γῆς, ὅτι ταύτης κατώτερον οὐδὲν καὶ ὅσον δὴ ταύτης ἐπέκεινα πᾶν ἐστιν ἄνω, Περὶ ὕλης καὶ ἰδεῶν, ὅτι μήτε τὰ εἴδη πρὸ τῆς ὕλης, μήτε ἡ ὕλη τούτων χωρὶς, ἀλλ' ὁμοῦ ταῦτα, Περὶ λογικῆς καὶ νοερᾶς ψυχῆς, Περὶ σωμάτων ἐγέρσεως, Περὶ θρεπτικῆς αὖθις καὶ αἰσθητικῆς ψυχῆς καὶ τῶν κατὰ ταύτας κινήσεων, Περὶ ἀέρος πατασσομένου καὶ τῇ πληγῇ ταύτῃ ψυχραινομένου (5), καὶ Περὶ τοῦ καθ' ἡμᾶς δή πού γε εὐσεβοῦς δόγματος, οὐ πίστει μόνον, ἀλλὰ καὶ φυσικαῖς ἀποδείξεσιν ἀποδεδειγμένου,

(1) De πείθομαι in assentiendi sensu jam non semel est a me monitum : vide pag. 356. Chumnus Epist. inedita 155 : τοῖς τοῦ Πλάτωνος λόγοις πειθόμενος ὀρθῶς καὶ μάλα τι ὀρθῶς ἔχουσι, καὶ πείσομαι τούτων.

(2) Puto Aristotelis opinionem impugnasse Chumnum in opusculo De primis ac simplicibus corporibus, quod exstat in codice 2105.

(3) Eadem loquutione rursus utetur sub libelli finem.

(4) Exstat et hic Chumni libellus, sed initio truncatus, in eodem codice. Ibidem insunt et reliqua quæ memorat opuscula sua Chumnus. Cf. t. 1, p. x.

(5) Quem librum edam p. 392.

ὕδωρ ἐπάνω τοῦ στερεώματος καὶ ἀποτετάχθαι κατὰ τὴν πρώτην γένεσιν καὶ διαμένειν καὶ διὰ παντὸς εἶναι. Καὶ πολλά γ' ἔστι σοι βουλομένῳ καὶ δὴ δυναμένῳ, ἐπὶ τοιαύταις καὶ τοσαύταις ταῖς πραγματείαις καὶ τοῖς περὶ ταύτας ἐμοῖς γε σπουδάσμασιν, εὑρεῖν τά γ' ἡμαρτημένα· καὶ ῥᾳστά γε διελέγξαις ἂν καὶ ἡμᾶς σωφρονεστέρους ποιήσαις, καὶ τοῦ γε λοιποῦ παύσαις ἂν μήτε Πλάτωνι προσδιαλέγεσθαι, μήτ' Ἀριστοτέλει, μήτ' εἴ τις ἕτερος ἐστι μετ' ἐκείνους καὶ κατὰ σὲ τῆς ἐκείνων σοφίας καὶ μετεωρολογίας ἐμπεπλησμένος (1).

Οὐ μὴν ἀλλὰ ταῦτα μὲν ταύτῃ (2)· ἐγκεκλήμεθα δὲ καὶ ἀπόνοιαν, καὶ μάλα τι ἐγκεκλήμεθα, ὅτι τῶν ἄλλων αἰεὶ ταῖς βίβλοις προσφυομένων καὶ ταύταις γ', εἰπεῖν, προσιστηκότων, ἡμεῖς, ὀλίγα καὶ βραχέα ταύταις ἐγκύπτοντες (3), νομίζομεν ἢ κατωρθωκέναι τι σοφὸν καὶ εἰδέναι, ἢ κατορθῶσαι. Καὶ πολλή γ' ἐστὶν ὑμῖν ἡ φιλοτιμία περιρρέεσθαι μὲν πολλοῖς τοῖς ἱδρῶσι, μήτε δ' ἐκσπᾶσθαί γ' ἐθέλειν

(1) Loquutio est Platonica: Platoni enim, Phædro § 120, Pericles, qui fuit Anaxagoræ discipulus, μετεωρολογίας ἐμπλησθεὶς dicitur.

(2) Plutarchus Demosth. 4: ταῦτα μὲν ταύτῃ, κατὰ Πλάτωνα. Postrema duo verba deleri jubet Wyttenbachius, quod non sit credibile in re tantula auctorem formulæ fuisse a Plutarcho laudatum. Equidem aliter sentio. In laudato Platonis nomine aliquid ἀφιλοῦς sentire mihi videor, non indignum oratione Plutarchea. Non ignoro criticum magnum cum Wyttenbachio facere; sed non juro in verba magistrorum.

(3) Fatetur Chumnus, Epistola inedita 77, paucos se possidere libros: κἀγὼ δ' ὁμολογῶ κακὸς εἶναι σπουδαστὴς περὶ λόγους, μὴ ὅτι πλεῖστα καὶ κάλλιστα κτησάμενος βιβλία.... Ἀμαθὴς εἰμὶ καὶ παιδείας ἐστερημένος, τῶν παιδευόντων βιβλίων οὐκ εὐπορήσας..... Σοφίας ἐκπίπτω καὶ τῆς ἀσφαλοῦς ἐπιστήμης, τῶν ἄλλων ἐπὶ ταύτῃ λαμπρὰν δόξαν κεκτημένων ἐκ τοῦ τελέως ἔχειν τῶν βιβλίων.

μήτ' ἀπαλλάττεσθαι τῶν βιβλίων· ἐγὼ δ' ἐκεῖνο πυνθάνομαι καὶ, ἀγνοῶν δή που, μαθεῖν βούλομαι, τίνος γ' ἕνεκεν τὸ μοχθεῖν ὑμῖν τοῦτο καὶ πρὸς τί γ' ἐστὶ φέρων ὁ πόνος. Ἐπὶ παντὸς γὰρ τοῦ σπουδαζομένου, καί γ' ἐπιτηδεύματος ἐπὶ παντὸς καὶ πάσης ἐπὶ τέχνης καὶ ἐπιστήμης, δύο τινῶν ὄντων τῶν κατὰ τὸν τρόπον, τοῦ μὲν οὗ εἵνεκα, τοῦ δ' εἵνεκά του, καὶ ἐπὶ λόγων πάντως καὶ τῆς κατ' αὐτοὺς ἐπιστήμης ὁ αὐτός ἐστι λόγος. Καὶ χαλκευτικὴ μὲν εἵνεκά γ' ἐστι τοῦ χαλκεῦσαι καὶ χαλκευτὰ εὖ ποιῆσαι, καὶ οἰκοδομικὴ τὸν τρόπον τοῦτον οἰκοδομῆσαι, καί γ' ὑφαντικὴ καὶ σκυτοτομικὴ ὡσαύτως· καὶ χαλκεὺς μὲν οὐδεὶς, ὃς μὴ χαλκεύει μηδ' ἔστι δυνάμενος τὰ τῆς τέχνης, οὐδ' οἰκοδόμος, ὃς μὴ ἔστιν οἰκοδομῶν μηδέ γε δεδύνηται ἐξ οἰκοδομικῆς εὖ ἔχον ἔργον παρέχειν· καὶ αἱ λοιπαὶ τῶν τεχνῶν τοῦτον ἔχουσι τὸν τρόπον, καὶ οἵ γε ταύταις μεμελετηκότες καὶ κεχρημένοι οὕτως ἔχουσι καὶ κατὰ τὸν αὐτὸν τρόπον. Καὶ τοίνυν καὶ τοῦ ῥητορεύειν ἐπιστήμης οὔσης, καὶ τοῦ γε πείθειν ἐν λόγοις καὶ περὶ ὧν ἂν βούλοιτό τις ἀποδεικνύναι, ἐκεῖνός γ' ἐστι πάντως (1) ὁ καὶ ἐπιστήμην ταύτην εὖ μάλα μεμελετηκὼς, καὶ δή γε μεμαθηκὼς εἴτ' ἐν πλείονι εἴτ' ἐν βραχεῖ χρόνῳ, εἴτε πάνυ πεπονηκὼς, εἴτε ῥᾷστα κατωρθωκὼς, ὅς γε δὴ καὶ τὰ τῆς ἐπιστήμης ταύτης δεδύνηται, καί γ', ἐφ' οἷς λέγει καὶ ποιεῖ, ταῦτ' ἔστιν ἐπιδεικνύμενος ἐφ' οἷς δή πού γε καὶ κατορθοῖ. Καὶ ἀγαθός γ' ἐστι καὶ σοφὸς, οὐχ ὅστις εἰκῆ καὶ μάτην μοχθεῖ, ἀλλ' ὅστις γ' ἐστι, ποιητής φησι (2), « πολλὰ

(1) Videtur nomen ῥήτωρ hic periisse, vel ante ἐκεῖνος.

(2) Pindar. Ol. II, 154 : σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ. Quæ Pindari

» φυᾷ εἰδώς· » καὶ αὖθις ὁ αὐτός (1)· « τὸ δὲ φυᾷ » κράτιστον ἅπαν. »

Καὶ τοίνυν ταῦθ' οὕτως ἔχει. Τί δὲ καὶ λοιπὸν τῶν ἐγκλημάτων; ἐπ' αὐτὸ καὶ γὰρ ἥκομεν ἤδη τὸ κεφάλαιον, οὗ γε χάριν καὶ ὁ πᾶς πόλεμος, καὶ οὐκ ἀνήσειν φασὶν οἱ παίοντες, μέχρις ἂν ἁπάσας τὰς εὐθύνας εἰσπράξωνται. Ἔστι δὲ τοῦτο τί; ἡ τῆς ἀστρονομικῆς ἐπιστήμης θεωρία, ἣν δὴ πασῶν τῶν ἄλλων θεωριῶν καὶ ἐπιστημῶν, πάντων δὲ καὶ τῶν μαθημάτων ὑψηλοτέραν οὖσαν καὶ προέχουσαν, καὶ τοῦ Πλάτωνος ταῦτα δὴ ταύτῃ προσμαρτυροῦντος, ἔγωγ', αὐτὸς ἀφυὴς ὢν καὶ δυσμαθὴς πρὸς ταύτην, οὔτε νομίζω χρῆμα τοσοῦτον ὅσον δὴ καὶ Πλάτων φησὶν, ἀλλὰ καὶ φαυλίζων εἰμὶ, καὶ μοίρας οὐ τῆς ἀρίστης καὶ θαυμαστῆς καὶ βελτίστης τιθέμενος. Ἐγὼ δ' ὅτι μὲν κατώτερός εἰμι πάντων τῶν οὐρανίων καὶ χαμαὶ βλέπω, καὶ μή τί γε τῶν ἐκεῖ σαφὲς καὶ καθαρὸν ἰδεῖν δεδυνημένος, ὁμολογῶ καὶ πάνυ τι ὁμολογῶ, καὶ οὐκ ἂν παραιτησαίμην· ἀλλ' οὔ τί γε τοῦτο ἀδίκημα, δυστύχημα δὲ μᾶλλον ἐμὸν καὶ τῆς ἐμῆς οὐκ ἀγαθῆς περὶ τὰ τοιαῦτα φύσεως. Διά τοι τοῦτο καὶ πόῤῥω που καὶ μακρὰν τῶν περὶ τῶν οὐρανίων φιλοσοφούντων αὐτὸς ἵσταμαι. Ὅτι δὲ τήν τ' ἐπιστήμην ταύτην, καὶ τοὺς περὶ αὐτὴν ἐσχολακότας καὶ δή γε τὸ πᾶν ἐξηκριβωκότας, οὐκ ἐξυμνῶν εἰμὶ καὶ μετὰ Πλάτωνος θαυμάζων, ἀλλ' ἐν μέρει τιθεὶς σπουδῆς φαύλης, ὡς οἱ κατηγοροῦντες εἰσὶ διαβάλλοντες, τῆς τοιαύ-

verba recitari ab Apfine De memoria p. 2, edit. Morelli, nescio an fuerit a Lyrici interpretibus notatum. Quod si omiserint, rerum cardo non in hoc vertitur.

(1) Pindar. Ol. IX, 152.

της δὴ πού γε μανίας οὐκ ἂν αὐτὸς φαίην ἂν οὔτ' εἶναι οὔτε γενέσθαι ποτὲ, ἀλλὰ καὶ πρὸς τὴν ἐπιστήμην θαυμάζων ἐκπέπληγμαι, καὶ, εἴ τίς ποτε τῶν πάλαι ἢ τῶν νῦν, ὡς ὁ Πλάτων βούλεταί γε, ἐπέτυχεν, εἰ μὴ καὶ μοίρας τοῦτον θείην ἔγωγ' εἶναι τῆς κρείττονος, καὶ αὖθις λέγω, μαινοίμην ἄν.

Καὶ ἡμεῖς μὲν οὕτω περὶ τῆς κατὰ τοὺς ἀστέρας θεωρίας ἐπεγνωκότες ἐσμέν· σοὶ δὲ, τὰ πάντα ῥᾳδίως καὶ θρασέως τολμῶντι, οἷον δὴ καὶ τοῦτο καὶ ὅσον τετόλμηται! Βλασφημεῖν ἡμᾶς λέγεις εἰς τὸ ὕψος· τίνων δὴ τούτων; Κρόνου καὶ Διὸς καὶ Ἄρεως, Ἑρμοῦ τε καὶ Ἀφροδίτης καὶ τῆς αὐτῶν πλάνης, καὶ Κριοῦ καὶ Ταύρου καὶ τῶν ἄλλων τῶν κατὰ τὸν ζωδιακὸν κύκλον καὶ λεγομένων καὶ φαινομένων; Καὶ ὅρα δὴ ὅποι σε φέρον παρήνεγκε τὸ θρασὺ τῆς γλώττης. Ποῦ γὰρ καὶ περὶ τίνος ῥηθέντος τοῦδε τοῦ ῥήματος καὶ τολμήματος, σὺ, μετακλίνας καὶ μετεννηνοχὼς, ἀξιοῖς λέγεσθαι; παῦσαι βλασφημῶν, ἡμῖν ἐπὶ τοῖς τοιούτοις ἐγκαλῶν βλασφημίαν τοῖς ἀπαιδεύτοις, ὡς ἐπιγράφεις, τῷ κομψῷ καὶ χαρίεντι λόγῳ, κοσμῶν καὶ μάλα τι κοσμῶν ἡμᾶς γε τοῖς σκώμμασιν. Ἀλλ' ἴσως ᾔσθου γε καὶ αὐτὸς χαλεποῦ δήπουθεν ὄντος καὶ πάνυ τι χαλεποῦ (1) τοῦ τολμήματος, καὶ παραιτούμενος μὲν, μή τι δὲ πάντη θέλων ζημιωθῆναι τὸ λαμπρὸν τοῦτο

(1) Amat hanc orationis conformationem Chumnus, ut, asseverandi causa, nomen vel verbum repetat, adjecto πάνυ τι vel μάλα τι: cf. modo κοσμῶν..., et supra pp. 378, 13; 380, 18; atque t. 1, p. 294, 16, &c. Ipse in libro de anima, quem edidit Creuzerus, pag. 456: οὐχ ὑμῖν μόνον, ἀλλὰ καὶ ἡμῖν δέδοκται, καὶ οὐδέποτε οὐ μὲν οὖν παυσομένην ἀνομολογοῦμεν αὐτήν· codex 2105, p. 48, 1:...... ἡμῖν δέδοκται, καὶ μάλα τι καὶ ἀληθῶς δέδοκται, καὶ οὐδ. οὐμενουν παυσ...

πρὸς ὕψος καὶ ὑπερήφανον νόημα, οὐκ ἀφίης τὸ βλασφημεῖν, καὶ τὸ τοξεύειν εἰς οὐρανὸν αὖθις προστίθης (1), ὑπομιμνήσκων τάχα καὶ τὸν σὸν ἡμῖν ἀπειλῶν Τοξότην, ὡς εἴπερ ἡμεῖς εἴς τι τῶν ἐν τοῖς ἄστρασι ζώων, κριὸν τυχὸν ἢ τὸν ταῦρον, τοξεύσομεν, αὐτὸς καθ' ἡμῶν εὐθὺς ἐπαφήσει πεπυρωμένα γε ὄντα ἐξ αἰθέρος τὰ βέλη, καὶ βάλοι ἂν συχνὰ τὴν φαρέτραν ὅλην κενῶν (2). Ἴσως καὶ τὸν νῦν ἀγῶνα σὺ θαῤῥεῖς, βλέπων ὡς εἰς ἐγκάθετον ὁπλίτην αὐτόν· ἀλλ' οὔ τί γε ἡμεῖς ὀῤῥωδοῦμεν· ὁ γὰρ Ὑδροχόος εὐθὺς ἐπαρήξοι γ' ἄν, ἐναντία τῷ Τοξότῃ κενῶν καὶ χέων.

Εἶεν. Ἀλλ' ἐκεῖνο ποῦ θήσεις (3), καὶ τίνος ἂν μᾶλλον νομίσαις (4) βλασφημίας, ἢ τοξείας οὐκ ἐφικνουμένης καὶ δῆτα πάμπαν ἀποτυγχανούσης; τὸ ποῖον λέγω; εἴπερ, Πλάτωνος λέγοντος (5) περὶ ὀρθότητος ὀνομάτων ὅτι δεῖ ταῦτα κατάλληλα καὶ λόγον ἔχειν τινὰ πρὸς ἃ λέγονται, ἡμεῖς ἀγνοοῦντες Κρόνον μὲν ἀντὶ Διὸς λαμβάνομεν, Δία δ' ἀντὶ Κρόνου. Καὶ τί γένοιτ' ἂν ἐντεῦθεν ἐν τοῖς οὐρανίοις, ἡμῶν οὕτως ὑποτοπαζόντων καὶ κακῶς δοξαζόντων; Ἄρης μὲν γὰρ, ἐρυθρότατος ὢν τῶν ἄλλων πάντων, εἰκότως ἂν τοῦτό γε καὶ κληθείη, μεστὸς ὢν ἀεὶ θυμοῦ, καὶ ζέοντος αὐτῷ τοῦ περὶ τὴν καρδίαν αἵματος· καί γ' Ἑρμῆς, κατώτερος ὢν ἡλίου καὶ πρὸς ἡμᾶς ἐγγύτερος, καὶ εἴη γ' ἂν ὁμοῦ θ' Ἑρμῆς καὶ ἑρμηνεὺς ὑμῖν τῶν ἀνωτέρω καὶ τῶν ὑπ' αὐτῷ· καὶ Ἀφροδίτη δ' αὖ,

(1) Proverbium est de quo t. 1, pag. 398.

(2) Conf. p. 368, n. 3.

(3) Eadem formula Diogenes Laert. 1, 104 : ποῦ οὖν πλείονας ποῦ τίθης; Chumnus Epist. inedita 95 : ποῦ τίθης (πρὸς θεοῦ!) τὸ ἡμέτερον;

(4) Deesse ἄξιον videtur.

(5) In Cratylo.

τῶν ἀειλαμπῶν ἄλλων ἀστέρων πρὸς τῇ γῇ μᾶλλον οὖσα, τῆς θαλάττης δοκεῖ πως ὡς μητρὸς ἐξέχεσθαι, μεμνημένη τῶν ἐξ αὐτῆς ὠδίνων, καὶ μή τί γε βουλομένη ταύτης πόῤῥωτέρω ἀποφοιτᾷν καὶ δῆτ' ἀπαλλάττεσθαι.

Καὶ ταῦτα δή πού γε τῶν ὀνομάτων τάχ' ἄν τις φαίη τοῦτον δὴ τὸν λόγον ἔχειν, καὶ κατὰ Πλάτωνά που ὀρθῶς ὠνομάσθαι· περὶ Κρόνου δὲ καὶ Διός, τί ἐρεῖτε; καὶ τίς ὁ λόγος τοῦ τρόπου καὶ τῆς χώρας καὶ τῆς πορείας αὐτῶν; Καὶ αὖθις εἴ τις αὐτοὺς ἀγνοῶν ἐναλλὰξ θεῖτο, Δία μὲν ἀνώτερον Κρόνου, Κρόνον δὲ Διὸς κατώτερον, πόθεν ἂν καὶ διδαχθείη, καὶ τίνος ἐκ λόγου, ποίας δὲ καὶ ἐξ αἰτίας ἔσται, κατὰ δὴ τὴν ὀρθότητα τῶν ὀνομάτων, τὸν μὲν Κρόνον ὀρθῶς, τὸν δὲ Δία δοξάζων, καὶ μή τί γ' εἰς αὐτοὺς ἐξαμαρτάνων καὶ βλασφημῶν κατὰ τοῦτο, ἢ μὴ καλῶς μηδ' ὀρθῶς τοξεύων; Ἀλλ', οἶμαι, καλῶς ἂν εἶχεν ὑμῖν μᾶλλον μή τί γε μηδαμῶς τὰ λαμπρὰ ταῦτα καὶ καθαρὰ φῶτα καὶ κάλλη τοῦ οὐρανοῦ τούτοισι καταχραίνειν τῶν αἰσχρῶν ὀνομάτων, καὶ εἰσποιεῖν καὶ ταυτίζειν τοῖς ὑποχθονίοις ζοφώδεσι δαίμοσιν. Ὅλως δ' ἡμῶν περὶ τῶν τοιούτων μηδένα λόγον πεποιημένων (οὐδὲ γὰρ εὕροις ἂν οὐδαμοῦ τῶν ἡμετέρων συγγραμμάτων καὶ συνταγμάτων, ἐπεὶ μηδὲ μέλει γ' ἡμῖν περὶ οὐδενὸς τούτων, ὅτι μηδὲ περὶ ἄλλου του τῶν μηδὲν χρησίμων, καὶ περιττῶν καὶ κενῶν), ἀλλ' ἐν ἑτέροις τὴν σπουδὴν ἐχόντων, τί τοὺς παρ' ἡμῶν, οὓς ἐπὶ σεαυτὸν αὐτὸς ὠθεῖς, ἀντιπάλους λόγους αὖθις φεύγων καὶ τὴν πρὸς αὐτοὺς πάλην, ἐπὶ τοὺς ἀστέρας ἀναχωρῶν ἀποτρέχεις πλανωμένους καί σε μάλα τι πλανῶντας, καὶ

δῆτ' ἐπὶ τὴν σὴν κατ' αὐτοὺς προσχωρεῖς ἡμαρτημένην καὶ οὐκ ἀπλανῆ δόξαν, ἑπτάπολον, ὡς εἰπεῖν, ἀστρονομικὴν ἀσπίδα προβεβλημένος, κατὰ τὴν Ὁμηρικὴν ἐκείνην Αἰάντειον ἑπταβόειον (1) ἄρρηκτον βύρσαν· καὶ δή γ' ἐκ ταύτης ἀστεράπτων καὶ βροντῶν, καὶ περὶ αὐτὴν καὶ ὑπ' αὐτὴν αἰεὶ στρεφόμενος καὶ περιειλούμενος ἐπὶ παντός δή πού γε λόγων ἀγῶνος, στρόμβων δίκην πληττομένων καὶ περιτρεχόντων μὲν, μὴ μεταχωρούντων δὲ, ἀλλ' αἰεί γ' ἐπὶ τοῦ αὐτοῦ μενόντων καὶ μή τί που μηδαμῶς ἐξισταμένων (2).

Ἀλλὰ λέγε μοι δὴ τὰ τοῦ Πλάτωνος, ὧν σὺ μηδὲν μηδαμῶς μήτ' εἰδὼς μήτ' ᾐσθημένος μήτ' εἰς ἐπιστήμην ἀφιγμένος, ἐκ τοῦ ἐναντίου παντὸς τῶν σοι σπουδαζομένων ἡκόντων, ὑπὲρ σεαυτοῦ γελοίως κέχρησαι τούτοις· ἀλλὰ λέγε· « Ἀστρονομίαν (3) » ἀγνοεῖτε, ὅτι σοφώτατον ἀνάγκη τὸν ἀληθῶς ἀστρονόμον εἶναι, μὴ τὸν καθ' Ἡσίοδον ἀστρονομοῦντα » καὶ πάντας τοὺς τοιούτους, οἷον δυσμάς τε καὶ » ἀνατολὰς ἐπεσκεμμένον, ἀλλὰ τὸν ὀκτὼ περιόδων » τὰς ἑπτὰ περιόδους, διεξιούσης τὸν αὐτῶν (4) κύ- » κλον ἑκάστης οὕτως, ὡς οὐκ ἂν ῥᾳδίως ποτὲ πᾶσα

(1) Hom. Il. H, 220.

(2) Meminit Gregorii Naz., apud quem extrema orat. III: *μὴ προβαίνειν τῷ καλῷ, . . . ἀλλ' ἐν ταὐτῷ μένειν, κακία δοκεῖ, στρόμβων τὸ πάθος περιτρεχόντων, οὐ προϊόντων, καὶ στάσιμον κινουμένων, ἵν' οὕτως εἴπω, τῇ βίᾳ τῆς μάστιγος.*

(3) Plato Epin. p. 990. Critici, qui Epinomidem Platoni abjudicant, objici sibi Chumni auctoritatem non facile patientur. Gravius illis certamen erit cum Jo. Tidemano, qui doctissima de deo Platonis dissertatione, p. 184, id argumentum egregie tractavit.

(4) Codex, *αὐτῶν*. Atque ita legitur Epistola 155, qua Chumnus eumdem Platonis locum recitavit.

» φύσις ἱκανὴ γένοιτο θεωρῆσαι, μὴ θαυμαστῆς με-
» τέχουσα φύσεως. »

Ἀκούεις τοῦ Πλάτωνος; οὐ δέχεται, φησὶν, ἀστρονομοῦντα τὸν Ἡσίοδον, οὐδ' ἄλλον τινὰ τῶν κατ' ἐκεῖνον δυσμάς τε καὶ ἀνατολὰς ἐπεσκεμμένον· ἀλλὰ τί; φύσιν ἄλλην ἐπιζητεῖ τῆς ἐκείνου φύσεως θαυμαστοτέραν. Ἡσίοδον· τίνα; τὸν μετὰ τὸν Ὅμηρον τὸ τῶν Μουσῶν δαφνοφάγον (1) θρέμμα, καὶ οὗ γ' ἡ ποίησις οὐκ ἐξ ἀνθρώπου τινὸς διδάξαντος, ἀλλ' αὐταῖς ἦν ταῖς Μούσαις αὐτοδιδάκτως ἐξειργασμένη (2). Λάβε μοι καὶ τὸν χρόνον ὅτ' ἦν Ἡσίοδος· λάβε μοι καὶ τοὺς τότε σπουδαστὰς τοῦ μαθήματος, καὶ ὧν ἐκεῖνος ἀστρονομούντων ἤκουσεν, ὅτι καὶ τῶν παλαιῶν πάλαι καὶ δή γ' Αἰγυπτίων καὶ Συρίων, τῶν πρώτως δηλονότι ἐξευρηκότων, καὶ πανταχοῦ γῆς, Πλάτων φησὶ, μυριετεῖ καὶ ἀπείρῳ τῷ χρόνῳ βεβασανισμένα (3) ἐκδεδωκότων. Σὺ δὲ πόθεν ἔχεις, καὶ παρὰ τίνος λαβὼν, παρὰ τίνος καὶ διδάξαντος μεμαθηκώς; « χαλεπὸν μὲν γὰρ οὐδὲν » Πλάτων φησὶ (4), « τούτων κατανοῆσαί τινα, φράζοντός τινος,

(1) Juvenalis nota est periphrasis, qua poetam designavit VII, 18 : « nectit quicumque canoris Eloquium vocale modis, » laurumque momordit. » Vide ibi Grangæum. Huc allusit Regnardus Menechm. Prol. : « Qui » ne mâche chez vous qu'un laurier insipide, Court risque de » mâcher à vide. » Scarro alicubi poetam vocavit « un mâche- » laurier. »

(2) Ab ipsis scilicet Musis poeticam acceperat ingenii facultatem : vide Theog. 30, ubi θρέψασθαι legisse Chumnum patet ex præcedenti nomine δαφνοφάγον.—Dion Chrysostomus Orationis LV initio : ὁ μὲν γὰρ (Ἡσίοδος) φησὶν ὅτι, ποιμαίνων ἐν τῷ Ἑλικῶνι, παρὰ τῶν Μουσῶν ἔλαβεν ἐν δάφνης ὄζῳ τὴν ποίησιν, ἵνα μὴ πράγματα ἔχοιμεν ζητοῦντες αὐτοῦ τὸν διδάσκαλον.

(3) Plato Epinom. p. 987.

(4) Plato ibid.

» ἀλλὰ μαθόντα, ὡς λέγομεν, ἡγεῖσθαι δεῖ. » Καὶ τοίνυν αὖθις λέγω· λάβε μοι καὶ τὸν τῶν Ἑλλήνων χώραν, ἐγγὺς ἰόντα, Πλάτων φησὶ (1), τοῦ ἀνεφέλου καὶ φαεινοῦ Συρίας καὶ Αἰγυπτίων, καὶ οἰκειοῦντα τοὺς ἀστρονομοῦντας τῷ σκέμματι, ἧς ἐπισκέψεως χωρὶς οὐκ ἔστιν ἀσφαλῶς ἀνύτειν τοὺς ἐπιβάλλοντας. Καὶ οὐδὲ σύγε πάντως, ὁ τὴν ἄρκτον οἰκῶν καὶ ταῖς ἐκ Πόντου ζοφώσεσιν ἐπιπολὺ σκιαζόμενος, καὶ μηδὲ τοὺς ἀειφανεῖς, εἰπεῖν, τῶν ἀστέρων κατοπτεύειν ἔχων, ἐν πλείοσι τῇ παχύτητι τοῦ ἀέρος καὶ ταῖς νεφέλαις ἐγκρυπτομένους.

Καὶ ὅρα δὴ λοιπὸν ὡς οὐδαμόθεν ἥκει σοι τὸ μάθημα, οὔτ' ἐξ ἡγεμόνων τῆς ἐπιστήμης καὶ τῶν ταύτην εἰδότων ἢ ἐξευρηκότων, οὔτ' ἐκ τοῦ πολλά σε χαίνειν ἐς οὐρανοὺς ἄνω (2) καὶ τοὺς ἀστέρας περιεργάζεσθαι. Ἀλλ' ἐνταῦθα δὴ καὶ τὰ κράτιστα τῆς ἀπολογίας καὶ ἡ μετὰ πειθανάγκης ἀπόδειξις. Καὶ σκοπεῖτε ὡς θαυμαστή. Σοῦ γε φησί με ζητοῦντος (3) ἐπὶ τοῦ κίονος ἑστάναι, καὶ δή γ' ἐπὶ τούτου βλέποντος, τί καὶ πολυπραγμονεῖς τὴν ἀνάβασιν; Ἐγώ σε βλέπω; μὴ σύ γ', ἐπὶ τῆς σκιᾶς ἑστὼς κάτω κειμένης, ἄνω δοκεῖς ἐπὶ τοῦ κίονος ἵστασθαι, καὶ κλέπτεις τὴν ὄψιν, ἡλίου ἐκλείποντος ἢ καὶ σελήνης, ἐξ ὧν τὸ σκιάζεσθαι, τοῦ φωτὸς ὑποχωροῦντος τοῖς σώμασι καὶ στηλογραφοῦντος τὰ σχήματα· ὅτι δὴ καὶ τὸ πᾶν τοῦ καθ' ὑμᾶς σπουδάσματος πρός τοῦτ' ἐστι

(1) Plato Epinom. pag. 987.

(2) Aristoph. Nub. 172: Ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς Καὶ τὰς περιφοράς, εἶτ' ἄνω κεχηνότος...

(3) Hæc non esse prorsus integra videntur; saltem sunt obscura, quum adversarii libellus, qui respicitur, non possit conferri.

τέλους πάντως ἧκον, σκιὰν γῆς καὶ σκιὰν ἐκ σελήνης, τὴν μὲν τὰς πρὸς τὴν σελήνην ἡλιακὰς αὐγὰς ἀποφράττουσαν, τὴν δ' αὖθις, ζοφώδους καὶ ἀφεγγοῦς ὄντος τοῦ τῆς σελήνης σώματος, ἐπιπροσθοῦσαν τῷ ἡλίῳ καὶ ἀφαιρουμένην τὴν πρὸς ἡμᾶς ἔλλαμψιν· ὥστε δὴ καὶ ἀστρονομίαν ὑμεῖς ζητοῦντες οὐ ταύτην, οὐδὲ σκιὰν αὐτῆς, ἀλλὰ σκιὰν μόνον γῆς καὶ σκιὰν ἐκ σελήνης ἐφεύρετε, ἀγνοοῦντες, ὡς ἔοικε, πρότερον καὶ τὸν τῆς νυκτὸς λόγον, ὅτι ἐκ σκιᾶς γῆς, ἀγνοοῦντες καὶ τὸ ἀφεγγὲς καὶ ζοφῶδες τοῦ σώματος τῆς σελήνης, ἣ δὴ, κατόπτρου δίκην, τὰς τοῦ ἡλίου φαύσεις εἰσδεχομένη, κατὰ ταύτας ἐστὶ καὶ φωτίζουσα, τῶν ἡλιακῶν ἀκτίνων τῇ πυκνότητι τοῦ σώματος ταύτης ἀνακλωμένων, καὶ μή τί γε τῶν ἀπαυγασμάτων ὅλων ἐφικνεῖσθαι δεδυνημένων καὶ διὰ ταύτης ὅλης χωρεῖν. Εἰ γὰρ ἦν τοῦτο, οὔτ' ἐπεσκίαζεν ἂν τῷ ἡλίῳ, οὔτ' ἔκλειψις ἐγένετ' ἂν αὐτοῦ, οὐδ' ἦν οὐδεμία, ὥσπερ οὐδ' ἐκ τοῦ ἀέρος, ἀραιοῦ ὄντος παντάπασι καὶ διαφανοῦς, ἔστιν ἐπισκιάζον οὐδ' ἐπισκοτοῦν οὐδέν. Ἀλλ' οὗ γ' ἔφημεν σώματος τῆς σελήνης πυκνοῦ ὄντος, ὅπερ ἡ σκιὰ τῆς γῆς αὐτῇ γ' ἐστὶ τῇ σελήνῃ, ἡμῶν μέση καὶ ταύτης γεγενημένη, καὶ τὰς δοκούσας ἐκλείψεις αὐτῆς ποιοῦσα, τοῦτ' αὖθις ἡ σελήνη τῷ ἡλίῳ ἐστὶν, αὐτοῦ καὶ τῆς γῆς μέση γεγενημένη, καὶ δή γε δοκεῖ ποιεῖν ἐκλείπειν αὐτόν· καὶ αὔξει μὲν τοῖς φωτισμοῖς ἡ σελήνη καθ' ὅσον ἐστὶ καὶ συνοδεύουσα τῷ ἡλίῳ, φθίνει δ' αὖθις ἐφ' ὅσον καὶ παραμείβει· ὥστε καὶ μηδὲν πλέον εἶναι τὴν τοῦ ἡλίου ἔκλειψιν ἐπισκιαζούσης τῆς σελήνης γιγνομένην εὑρεῖν καὶ τὴν τῆς σελήνης αὖθις ὑπὸ τῆς σκιᾶς τῆς

γῆς, ἢ τὴν πανσέληνον προθεωρῆσαι καὶ τὰς κατὰ μικρὸν παραμείψεις ταύτης καί γε μειώσεις τοῦ φωτισμοῦ (1).

Οὕτως ἡμεῖς ἀγροίκως καὶ ἀφελῶς περὶ τῶν τοιούτων ἴσμεν. Σὺ δὲ καὶ πονήματα δή γε σά, βίβλους ἀστρονομικάς, ἀξιοῖς ἀντὶ πολλῶν ταλάντων σταθμᾶσθαι· τίνος οὕτω τιμῶντος; οὐδενός, πλὴν σοῦ. Ὅτι μὲν γὰρ φόρτος πολὺς καὶ δέρματα πολλά, λέγω κἀγώ· φιλότιμος γὰρ εἶ σύ, πλεονάζων καὶ συνείρων ἐπὶ πλεῖστον ταῦτα καὶ συντιθείς, οὔ τι δὲ τοσούτου γε ἄξια ὅσου δή, πρίν, ὡς ἔπος εἰπεῖν, ἢ ταῖς γραφίσι κατακεντηθῆναι καὶ μετὰ τῶν ἀχρήστων ἀριθμηθῆναι. Καὶ τοίνυν ἀποδόμενος, οὐδὲν ἂν λάβοις· τίνος γὰρ ἄν τις τιμήσαιτό γε, ὧν οὐδεμία χρεία καὶ κέρδος οὐδέν, καὶ οἷς νοῦς ἔνεστιν οὐδεὶς ὑγιής, καὶ χρήσαιτ' ἄν τις αὐτοῖς οὐδεὶς οὐδαμῆ; ἢ σὺ δεῖξον τίς ἐστιν ὁ καὶ βραχὺ γοῦν χρησάμενος, ἢ καὶ ὁτιοῦν αὐτῶν ἀπονάμενος. Ἀποσείσαιτ' ἂν μᾶλλον πᾶς, καὶ ἀπεσείσατο, ἠναγκασμένος ἄχθος βαστάσαι, καὶ δῆτ' ἰλιγγιῶν (2) καὶ μὴ φέρειν δεδυνημένος.

Ἀλλὰ μὴν σὺ ὅτι καὶ ἐκλείψεις λέγεις εἰδέναι καὶ προλέγειν, νῦν μὲν ἐπιτυγχάνων, νῦν δ' ἀποτυγχάνων, καὶ αἰθέριός τις νομίζεις καὶ ὑπερνεφὴς εἶναι καὶ τοῖς ἄστρασι συνδιαιτᾶσθαι, καὶ γῆς ἁπάσης καὶ θαλάττης καὶ πελαγῶν ὑπερφέρειν, καί, κατὰ Δαίδαλον, βούλοιο ἂν πτέρυγας ἐκ κηροῦ σεαυτῷ περιτιθέναι, καὶ ἄνω δὴ τρέχειν καὶ τῷ ἡλίῳ προσαπαν-

(1) Notula est in margine : σημείωσαι ὅτι ταυτόν ἐστιν ἔκλειψιν ἡλίου καὶ σελήνης εὑρεῖν, καὶ φθίσιν αὐτῆς εὑρεῖν σελήνης καὶ μείωσιν. Sustuli καὶ post αὐτῆς.

(2) Codex, ἰλιγκιῶν.

τᾶν ἐκ σκιᾶς ἥκοντι καὶ σκότους, καὶ σφοδρότερον ἢ πρότερον καταφλέγοντί γε οἷς ἂν ἐντύχοι.

Καὶ τοῦτ' ἔστι λοιπὸν, ὃ δὴ πλέον καὶ σοφώτερον Ἡσιόδου καὶ τῆς κατ' ἐκεῖνον ἀστρονομίας περινενοηκότες καὶ δή γ' ἐξευρηκότες ἐστέ· ὧν δ' ἑπτὰ περιόδων ὁ Πλάτων ἔφη, ταύταις καὶ τὸ πᾶν τοῦ ἀστρονομεῖν ὁρισάμενος, τούτων ὑμῖν, κατὰ τὸν ἐκείνου λόγον, ἐμέλησεν οὐδὲν οὐδαμῶς. Ἀλλὰ μὴν καὶ περὶ τῆς ὀγδόου μὴ μόνον οὐχὶ ταὐτά γ' ὑμῖν καὶ Πλάτωνι δέδοκται, ἀλλά τι καὶ πᾶν τοὐναντίον. Καὶ γὰρ ὑμεῖς μὲν λέγετε· ἃς ἔφημεν ἑπτὰ περιόδους πάσας τὴν αὐτὴν φερομένας, ἥ γε ἀνωτάτω καὶ πρώτη, ἐκ τῶν ἐναντίων ἀπαντῶσα, σφοδροτέρας οὔσης καὶ εὐμεγεθεστέρας τῆς ἐκείνης κινήσεως, καὶ ταύτας μεθ' ἑαυτῆς βίᾳ συμπεριάγει· Πλάτων δ' οὐχ οὕτως· ἀλλὰ τί; λέγοντος ἄκουσον· « Ἕνα (1) » δὲ τὸν ὄγδοον χρὴ λέγειν, ὃν μάλιστά τις ἄνω » κόσμον προσαγορεύοι, ὃς ἐναντίος ἐκείνοις ξύμπασι » πορεύεται, ἄγων τοὺς ἄλλους, ὥς γε ἀνθρώποις φαί- » νοιτ' ἂν ὀλίγα τούτων εἰδόσιν. »

Ἀκούεις; ὀλίγα σε Πλάτων φησὶν εἰδέναι, ἴσον δ' εἰπεῖν καὶ μηδὲν, μὴ μόνον περὶ τῶν ἑπτὰ, ὡς ἔστιν ἑκάστη τὸν ἑαυτῆς κύκλον διεξιοῦσα, μηδὲν εἰδότα, ἀλλά τι καὶ περὶ τῆς ἀνωτάτω καὶ πρώτης ἀγνοοῦντα ὡς ἔστι κινήσεως ἔχουσα καί γε μὴ κατὰ ταὐτὰ ταῖς ἄλλαις περιϊοῦσα· τοῦ (2) οὐρανοῦ κρινόμενος, γῆς

(1) Plato loco jam citato Epin. pag. 987.

(2) Quum ista sint male connexa, puto, inter περιϊοῦσα, finem versæ paginæ 319, 2, et τοῦ initium rectæ paginæ 320, 1, folium medium periisse. Epistola quidem Chumni inedita 155 hunc locum respicit; sed nil habet quo lectio juvetur.

δ' ἑκατονταπλάσιον, ὡς φατὲ, μέγεθος ὢν, τούτῳ μὲν ὑπερμεγέθει δή τινι καὶ ἀπείρῳ ὄντι, καθ' ὃν ἔφημεν τρόπον, τῷ κύκλῳ, καὶ δὴ καὶ τοὺς ἄλλους πάντας ἐπισυρομένῳ, μίαν ἡμέραν ἐκμετρεῖτε, συναπτομένης ταύτῃ καὶ τῆς νυκτὸς, καὶ ταύτην ἀποχρῶσαν εἶναι λέγετε τῇ πάσῃ περιαγωγῇ τούτου, τοὺς δ' ἄλλους ἐν πολλοῖς δή τισι καὶ πλείστοις τοῖς ἔτεσι μόλις λέγετε τὰς περιδινήσεις συμπεραίνειν· οὐκ ἔστι δὴ ταῦθ' ἁπλῶς οὕτως τίθεσθαι, καὶ πείθειν. Καὶ Πλάτωνι δότε περὶ τῶν τοιούτων, εἴ γ' ὑμῖν δοκεῖ, βέλτιον ὑμῶν καὶ ἄμεινον εἰδέναι.

Οὐ μὴν ἀλλὰ ταῦτα μὲν ἐγὼ, τὰ μὲν πρὸς ἀπολογίαν ὧν διαβέβλημαι, καὶ μάτην ἐπῄει μοι κακῶς ἀκοῦσαι, τὰ δ' ὡς ἔτυχε βιασάμενα παρεμπίπτοντα τῷ λόγῳ, καὶ ἃ μηδ' ἦν ἐμοὶ παραιτεῖσθαι. Καλῶ δ' ἐπὶ τούτοις δικαστὰς καὶ διαιτητὰς, οὐ νέους τινὰς ἀμαθεῖς καὶ παῖδας ἀπαιδεύτους, ἢ καὶ ἄνδρας δοκοῦντας μὲν, ἴσα δὲ παισὶ φρονοῦντας, ὡς ὁ ὑβρίζων λέγει, μὴ συνιεὶς μηδὲν τῶν ἐκ φιλοσοφίας ἡμῖν ἐγνωσμένων, ἀλλ' οὓς ἐγὼ τῶν νῦν ὄντων πολλοὺς ὄντας οἶδα, σοφίας μετειληχότας καὶ λόγων ἐπιστήμης πάνυ μεμεστωμένους, καὶ ὕστερον ἔν γε τῷ παντὶ χρόνῳ τοὺς σώφρονι νῷ τῷ λόγῳ συνεσομένους καὶ ἅμα ταῖς ἀντιθέτοις συνεσομένους γλώτταις (1), μακρὰ δὴ νήματ' ἀραχνῶν (2) ἀποπτυούσαις ἢ καὶ διανη-

(1) Quos in posterum judices et arbitros sibi poscit, non jam possunt adversariis interesse sermonibus, qui, ut videtur, perierunt.

(2) Jo. Chrysostomus, Eclog. p. 252, subtiles Platonis disputationes *ἀράχνια* vocat : ibi Matth. Et olim Zeno dialecticas rationes comparabat *ἀραχνίοις*. Vide Menag. ad Diog. Laert. VII, 161; Stanley. ad Æschyli Suppl. 894.

θούσαις, καὶ μήκιστα μηκίστων (1) συνυφαινούσαις δή πού γε καὶ τεχνουργούσαις. Ἀξιῶ δὲ καὶ τοὺς βουλομένους ἡμᾶς διελέγχειν καὶ δή γε πειρωμένους εὐθύνειν τὸν ἴσον διελέγχειν τρόπον, πρὸς ἔπος, εἰπεῖν, ἀπαντῶντας (2), καὶ μὴ, τοῖς παρ' αὐτῶν τηνάλλως λεγομένοις ἄλλους ἐνεχομένους, ἢ καὶ μηδένας ἴσως, καὶ δή γε τούτους πλήττοντας, ἡμᾶς δοκεῖν πλήττειν.

(1) Aristides Monod. de Smyrna p. 456 : ὢ μήκιστα μηκίστων ἰδὼν καὶ ἀκούσας ἐγώ! Chumnus Epist. inedita 154 : ζῆθι δὲ καὶ εἰς μήκιστα μηκίστων αἰώνων. Idem Epist. 8 : ζώοις ἐς ὅσον οἷόν τε μήκιστον μηκίστων αἰώνων.

(2) Conf. p. 377, n. 3.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΠΕΡΙ ΤΟΥ ΑΕΡΟΣ,

ΤΙΝΙ ΛΟΓῼ ΚΑΙ ΑΙΤΙᾼ, ΘΕΡΜΟΣ ΩΝ ΤΗΝ ΦΥΣΙΝ, ΨΥΧΡΟΣ ΡΙΠΙΖΟΜΕΝΟΣ ΓΙΝΕΤΑΙ· ΚΑΙ ΠΕΡΙ ΓΕΝΕΣΕΩΣ ΧΑΛΑΖΗΣ· ΚΑΙ ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΕΜΩΝ ΚΑΙ ΤΗΣ ΛΟΞΗΣ ΤΟΥΤΩΝ ΦΟΡΑΣ ΚΑΙ ΚΙΝΗΣΕΩΣ.*

Ἀπορεῖς καὶ γνῶναι ζητεῖς, τί δήποτ' ἀὴρ φύσεως ὢν ὑγρᾶς καὶ θερμῆς, ὁ αὐτὸς, ῥαπιζόμενος καὶ πληττόμενος, ἄλλος μέν ἐστι πρὸ τῆς πληγῆς, ἄλλος δ' ἐστι μετὰ τὴν πληγὴν, τῆς μάστιγος ὥσπερ ψυχραινούσης αὐτόν.

Τούτου τὴν αἰτίαν καὶ αὐτὸς πολλάκις ἐζήτησα. Καὶ γὰρ ἔδει τοὐναντίον πᾶν, ταῦτα πάσχοντος τοῦ ἀέρος, ἐκ τῆς ἄγαν δηλονότι συνολκῆς καὶ συνωθήσεως, ἐπὶ πλέον αὐτὸν ἑαυτοῦ γίγνεσθαι καὶ τῆς κατ' αὐτὸν θερμότητος, ἅτε καὶ τὴν φύσιν ὄντα θερμόν. Ἔστι δὲ καὶ κινήσεως σωματικῆς ἐπὶ πάσης θερμαίνεσθαι μᾶλλον ἢ ψύχεσθαι, εἰ μή τι τὸ κινούμενον ὑπὸ πάνυ τι ψύχοντος ἔξωθεν πάθοι· ὡς ἐπ' ἀνέμων καὶ τῶν σφοδρῶν πνευμάτων ὁρῶμεν, καπνώδους μὲν μετεχόντων οὐσίας, ἐξ ἀναθυμιάσεως γεννωμένων ξηρᾶς, φλέγοντος τοῦ ἡλίου τὴν γῆν, ἀποτικτομένης, χειμῶνος δ' ὥρᾳ τὸ ψυχρὸν πασχόντων, ἐπὶ δὲ

* E codice 2105, pag. 91, 2. Oratio fuit, si ipsi auctori credendum, extemporalis. Scripsit enim in epistola ineditarum quarta hoc ipse testimonium : ἔχεις ἰδοὺ μετὰ τοῦ περὶ τοῦ ἀέρος λόγου, καὶ τὰς ἐπιστολὰς αἷς μήπω συνεγένου, αὐτοσχεδίους τοῦτον καὶ ταύτας.

θέρους αὖθις θερμαινομένων. Ἔστι δὲ καὶ αὐτὸς ἀὴρ ἐν ὥραις αὐταῖς τὰ ἴσα πάσχων· ἀλλά τι καὶ στερρῶν καὶ πυκνῶν σωμάτων μέσος γεγενημένος, καὶ τούτοις ἐνισχημένος καὶ δῆτ' ἐνειλούμενος καὶ συστρεφόμενος πυκνὰ καὶ θλιβόμενος, πῦρ γίνεται τῇ συντόνῳ ταύτῃ κινήσει, καὶ καυστὸν ὂν τὸ ἐκθλίβον ἔστιν ὅτ' ἀπηθάλωσε, πάνυ τι κατατήξας, ταῖς συνεχέσι τῶν πληγῶν, εἰπεῖν, καὶ τῇ ἐκθλίψει μᾶλλον τοῦτο δεδυνημένος. Καὶ ἐπὶ τῶν φυσητήρων οὕτως ὁρῶμεν. Συναγόμενος γὰρ τῇ διατάσει τούτων, εἶτ' ἐκθλιβόμενος τῇ συνολκῇ καὶ συνιζήσει, πνεῦμα δὴ γίνεται, καὶ τῷ πυρὶ ἐμπνέων τροφὴ πρόσεισι δεξιά. Καὶ τοίνυν, ὅπερ ἐλέγομεν, ἔδει ταῖς ῥιπίσι μαστιγούμενον καὶ ἐλαυνόμενον τὸν ἀέρα θερμαίνεσθαι μᾶλλον ἢ ψύχεσθαι· ὅτι δὲ μὴ τοῦτο, ἔμοιγε δοκεῖν, ἔχει γ' αἰτίας οὕτως.

Ὑγρὸς ὁ ἀὴρ, ὅπερ ἔφημεν, καὶ θερμός· πῦρ δὲ θερμὸν καὶ ξηρόν· ὕδωρ δ' ὑγρὸν καὶ ψυχρόν (1). Μέσος γοῦν ἀμφοῖν, ὕδατος καὶ πυρὸς, ἀὴρ γεγενημένος, χεῖρας, ὡς εἰπεῖν, κατ' ἄμφω, τὴν μὲν τῷ ὕδατι, τὴν δὲ τῷ πυρὶ ἐπιβάλλει, καὶ δρᾷ μὲν ὀλίγον ἐκ τῆς συμπλοκῆς ἐν τούτοις, πάσχει δὲ πλεῖστον, ὅτι καὶ πάντων σωμάτων οὗτος τὸ ἀραιότατον καὶ δῆτα χαῦνον καὶ σκεδαστὸν καί γ' εὐπαθέστατον· πῦρ δὲ, καὶ κατὰ Πλάτωνα, τμητικώτατον, κατὰ τοῦτό γ' ἔστι καὶ δραστικώτατον, διὰ πάντων χωροῦν καὶ πανταχῇ διῆκον ὀξύτητι καὶ λεπτότητι φύσεως· ὕδωρ δ' ἀέρος παχυμερέστερον καὶ πυκνὸν καὶ κάτω βρῖθον καὶ βαρύ· τέμνεται δ' ὅμως ὑπὸ πυρὸς καὶ πάσχει,

(1) Aristot. De gener. II, 3.

καὶ τὰ τμήματα τούτου καὶ τὰς ἀτμίδας πῦρ ἄνω φέρει· ὅς δὴ τόπος καὶ πυρὸς ἐστὶ τόπος. Τούτου καὶ ἀὴρ συμμετέχει· καὶ τοίνυν ἔστιν ὁ ὑπὲρ κεφαλῆς ἡμῶν (1) πᾶς μικτὸς, καὶ σῶμά γ', εἰπεῖν, ἔστιν ἓν οὐχ ἁπλοῦν, ἀλλὰ σύνθετον, ἔκ τε τῆς ἑαυτοῦ φύσεως καὶ οὐσίας καὶ τῆς ὑδατώδους συνεστῶς ὑγρότητος, ὡς καὶ τὰ λοιπὰ τῶν ὑγρῶν καὶ μικτῶν σωμάτων ἔστιν ἐξ ὧν δὴ καὶ σύγκειται. Καὶ αὐτό γ' ἔστιν αὖθις τὸ ὕδωρ ἐπὶ τῶν λεβήτων, μετὰ πυρὸς ἓν οἱονεὶ σῶμα γιγνόμενον.

Καὶ γοῦν κατὰ ταύτην τὴν θέσιν, ὡς μὲν ἔστι θερμὸς ὁ ἀὴρ, ὡς δὲ ψυχρὸς, τὸ μὲν τῇ οἰκείᾳ φύσει, τὸ δὲ τῇ μεθέξει τοῦ ὕδατος· ὁ δ' ὑπὲρ τοῦτον ἄνικμος καὶ αὖος πάντη, καὶ καθαρὸς θερμὸς, πλήσεως πάσης πτηνῶν καὶ φορᾶς ἀνέμων καὶ πνευμάτων λοιπῶν ὑπερκείμενος, καὶ κίνησιν καὶ αὐτὸς τὴν αὐτὴν τῷ κύκλῳ τοῦ αἰθερίου περιφερόμενος σώματος· καὶ οὐδὲ ζῶον οὐδὲν πέφυκεν ἐν τούτῳ ζῆν, οὐ μᾶλλον ἢ ἐν πυρί.

Ὅτι γοῦν ὁ προσγειότερος οὗτος ἀὴρ οὐχ ἁπλοῦς, ἐξ ἀμφοῖν δ' ἔστι συνεστὼς, ἐξ ἑαυτοῦ δηλονότι καὶ τῆς μιγείσης καὶ συγκραθείσης αὐτῷ ἐξ ἀτμίδων ὑδατώδους ποιότητος, καὶ πάσχει δὴ ῥᾶστα τἀναντία, εὖ μὲν μάλα ψυχραινόμενος, εὖ δ' αὖ μάλα θερμαινόμενος, τῇ κυκλοφορικῇ τοῦ ἡλίου κινήσει καθυπείκων αἰεὶ, ἀπιόντος ἀφ' ἡμῶν καὶ ἐπανιόντος αὖθις ἡμῖν, καὶ ἔστιν ἀεὶ ἐν πάθει καὶ οὐ κατὰ φύσιν τὴν οἰκείαν, μὴ συμμεταβάλλων μόνον κατὰ τὰς ἐξαγωγὰς καὶ μεταβολὰς τῶν ἠριθμημένων ὡρῶν, ἀλλά τι καὶ τού-

(1) Conf. t. 1, p. 364, n. 3.

των ἐφ' ἑκάστης ἄλλοτ' ἄλλως συχνὰ καὶ πολλάκις, καὶ παχὺς ἐστὶν ἐξ ἧς ἔφημεν τῶν ἀτμῶν μίξεως καὶ τῆς τοῦ ὕδατος κράσεως, οὐκ ἀπήλλακται δὲ πάμπαν οὔτε τὸ ὕδωρ τῆς οἰκείας φύσεως ψυχρᾶς οὔσης, οὔτ' αὐτὸς ἀὴρ τοῦ ἀραιοῦ καὶ λεπτοῦ δῆτα καὶ θερμοῦ· τῆς γοῦν ῥιπίδος πατασσούσης, ὕδωρ μᾶλλον ἐστὶ τὸ πατασσόμενον ἢ ἀήρ, ἅτε δὴ καὶ παχυμερέστερον καὶ ῥᾷστα τῷ τύπτοντι ἐγκαταλαμβανόμενον καὶ ἁλισκόμενον καὶ πληττόμενον· ἀὴρ δ', ὥσπερ διηθούμενος, διαῤῥεῖ καὶ διαχεῖται καὶ τὴν πληγὴν ὑπεκφεύγει. Ὅτι γοῦν τὸ ὑφιστάμενον καὶ ὑπομένον καὶ μαστιζόμενον ἐστὶν ὕδωρ, διὰ τοῦτ' ἔστι καὶ οἷς ἂν ἐμβάλοι ψυχρόν, ὑποκεχωρηκότος ἤδη τῇ τοιαύτῃ πληγῇ καὶ κινήσει τοῦ κατὰ φύσιν ὄντος τῷ ἀέρι θερμοῦ· ὡς καὶ τοῦ πυρὸς τοῦ θερμανθέντος ὕδατος ἐκστάντος καὶ ὑποκεχωρηκότος κινήσει τῇ ἰδίᾳ, ἢ καὶ ψυχροῦ τινος ἔξωθεν ὠθοῦντος, ἔστιν ὅτε τὸ ἐναπολειφθὲν ἔστιν αὖθις ὕδωρ ψυχρόν.

Ἀλλὰ μὴν καὶ ἐπὶ τῶν χαλαζῶν τὸν αὐτὸν ἔχει τρόπον.

Θέρους γὰρ ὥρᾳ καὶ σταθερᾶς ἐπὶ μεσημβρίας, φλέγοντος τοῦ ἡλίου καὶ κύκλῳ ταῖς ἀκτῖσι πανταχόθι βάλλοντος τοῦ ἀέρος, τὸ ἐνὸν αὐτῷ καὶ διεσκεδασμένον ὕδωρ ὡς πρὸς ἓν θερμὸν τὸ περιέχον, μετὰ καὶ πνεύματος ἐκεῖθεν γεννωμένου, ἐλαῦνον συνάγει, καὶ ἀντιπεριΐστησι, καὶ νέφος ποιεῖ, καὶ ἀποψύχει καὶ πήγνυσι καὶ κρυσταλλοῖ, καὶ κρυσταλλωθὲν καὶ τῇ συνόδῳ προσαραχθὲν τῷ πνεύματι καταθράττεται· καὶ ψόφος ἐντεῦθεν μέγας καὶ σφοδρὸς βροντῶν δοῦπος, καὶ πάταγος ἑστώσης ἀκοῆς κρείττων καὶ ταύτην ἐκπλήττων, σωμάτων στεῤῥῶν ἐξ ὕδατος

ἀντιτύπῳ καὶ σ̓τερρῷ πνεύματι συῤῥηγνυμένων· εἶθ᾽ ὡς ἔτυχε κλασμάτων καὶ θραυσμάτων ἐκεῖθεν τέμνεται μεγέθη καὶ σχήματα παντοῖα, καὶ δῆτ᾽ ἀποπίπτοντα φέρεται κάτω. Εἰ δὲ μὴ τῆς τοιαύτης μετεῖχεν ὁ ἀὴρ ὑδατώδους ὑγρότητος καὶ ψυχρότητος, πόθεν ἂν ἦσαν ἡμῖν ἐκ θέρους καὶ καύσωνος αὐτοί γε οἱ κρύσταλλοι; πόθεν καὶ τὰ τῶν χαλαζῶν ἅπερ ἔφημεν σχήματα καὶ γένη;

Ἀλλὰ τί γε καὶ παντὶ δῆλον, καὶ ἀποχρώντως, οἶμαι, δέδεικται ἡ αἰτία τοῦ ἐν τῷ ἀέρι ψυχροῦ, ἐνόντος μὲν, λανθάνοντος δὲ, πάσχοντος δ᾽ ἅπερ ἔφημεν τοῦ ἀέρος δήλου γιγνομένου. Ἔστι δὲ καὶ πνευμάτων πέρι καὶ τῆς λοξῆς τούτων φορᾶς καὶ κινήσεως ὁ αὐτὸς, εἰπεῖν, τρόπος καὶ λόγος.

Τοῦ γὰρ ἡλίου τῆς καθ᾽ ἡμᾶς χώρας ἐκτραπέντος καὶ ἀποφοιτήσαντος, καὶ ὃν ἀνέμιξεν ἀέρα μεθ᾽ ὕδατος πόῤῥω που καταλιπόντος τῆς τῶν οἰκείων ἀκτίνων ἀντανακλωμένων θερμότητος, καὶ ἅμα πνοὰς ἀνέμων ἀφιέντος ὑπερφυσώσας ἠρέμα τῆς γῆς, αὐτό γε τὸ τοῦ ὕδατος κατὰ φύσιν ψυχρὸν, ἀπαλλαγὲν τοῦ βιάζοντος καὶ θερμαίνοντος πάθους, εἰς ἑαυτὸ αὖθις ἐπάνεισι, καὶ ἄρχεται ἤδη ἐγκαταδυναστεύειν καὶ κρατεῖν· καὶ κατισχύει, καὶ τὰς πανταχόθι τοῦ ἀέρος ἐνεσπαρμένας νοτίδας συνάγον ἀθροίζει, καὶ νεφέλας ἡμῖν συνίστησι, καὶ ὄμβρους ἐξ αὐτῶν ἀπογεννᾷ καὶ ἀποτίκτει, καὶ ῥήγνυσι χιόνων πλῆθος καὶ τὸν ἀέρα ἐμπίπλησι τῆς ἑαυτοῦ φύσεως, καὶ πληροῖ τῆς κρατούσης ἤδη τούτου δυνάμεως. Καὶ οὕτω δὴ κραταιωθὲν, ἀντιφράττει τῇ τῶν πνευμάτων παρόδῳ, καὶ συνωθεῖ ἐπὶ τὰ κάτω, καὶ βιάζεται τὴν προσ-

γειοτέραν λοξὴν φέρεσθαι κίνησιν, αὐτῶν μὲν ἄνω θεῖν πεφυκότων, τοῦ ψύχους δ' ἐκεῖθεν ἀντωθοῦντος, καὶ τῇ τοῦ ἀέρος πυκνωθέντος ἤδη καὶ παχυνθέντος ἐπιμᾶλλον ἀποτειχίσει ἀπείργοντος, καὶ πείθοντος ὑπεκκλίνειν καὶ κάτω φέρεσθαι. Καὶ φέρονται οὕτως ἄνεμοι, ὁμοῦ μὲν σφοδρῶς ἐλαυνόμενοι, ὁμοῦ δὲ σφοδρῶς ψυχραινόμενοι.

Καὶ τοίνυν ἐγὼ ταύτην αἰτίαν τίθεμαι τοῦ τ' ἐκ ῥιπίδος καὶ πληγῆς ψυχραινομένου ἀέρος, μὴ πρότερον ὄντος τοῦτο, τῆς τε τῶν ἀνέμων καὶ πνευμάτων μεθ' ὅτι πλείστου τοῦ ψύχους τοιᾶσδε φορᾶς καὶ κινήσεως· οὐκ οἶδα δ' εἰ ὀρθῶς ἢ μή· ὁπότερον δὲ τούτων αὐτὸς ἂν διδάξας, αὐτὸς ἂν καὶ πείσαις.

ΤΟΥ ΑΥΤΟΥ

ΑΝΤΙΘΕΤΙΚΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΠΑΛΑΙ ΣΟΦΟΥΣ ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΥ ΚΑΙ ΤΗΣ ΑΥΤΗΣ ΑΠΟΡΙΑΣ ΕΤΕΡΩΣ ΚΑΙ ΜΗ ΤΑΥΤΑ ΕΙΡΗΚΟΤΑΣ.*

Ἃ μὲν ἐγὼ περὶ ἀέρος πληττομένου, θερμοῦ τὴν φύσιν ὄντος, καὶ τῇ πληγῇ ταύτῃ δοκοῦντος ἐς ψυχρὸν μεταβάλλειν, περινενοηκὼς εἰμὶ καὶ δῆτα διεξιὼν, καὶ τὸ δοκοῦν ἄπορον λύων, ἐν μέσῳ κείσθω παντὶ τῷ βουλομένῳ πολυπραγμονεῖν καὶ δοκιμάζειν καὶ δή γε βασανίζειν· χόλος γὰρ οὐδεὶς, οὔτ᾽ ἀποτροπὴ, οὐδέ γε νέμεσις οὐδεμία· ἀλλὰ καὶ χάριν ἡμεῖς ὁμολογήσαιμεν ἂν, εἴ τις περιεργασάμενος, καὶ εὑρηκὼς ἐν ὅσοις ἀποσφαλέντες ἐσμὲν καὶ τοῦ ὀρθοῦ παρενηνεγμένοι, ἐλέγχει καὶ ἀποδεικνύει. Καὶ γοῦν, μετὰ τοῦ ἐν ταῖς Παροιμίαις σοφοῦ ταῦτα καὶ ἡμεῖς ἀγαπήσαιμεν ἂν (1), οὐχ ὡς σοφοὶ δή τινες καὶ αὐτοὶ, ἀλλ᾽ ὅτι τῆς ἀληθείας, καὶ τοῦ γε πεπαιδεῦσθαι καὶ δεδιδάχθαι ταύτην, ἐσμὲν ἐρασταὶ, καὶ ἀγαπῶμεν ἐν τούτῳ μᾶλλον ἢ ἀνεξετάστους εἶναι λογογράφους καὶ φιλοτίμους παιδευτὰς ὧν ἀγνοοῦμεν.

Ἀλλὰ τὰ μὲν παρ᾽ ἡμῶν καὶ ἡμέτερα οὕτως ἐχέτω. Χρὴ δ᾽, οἶμαι, καὶ ἡμᾶς τοῖς πρὸ ἡμῶν, καὶ κλέος ἐχόντων (2) τὸν ἴσον προσενηνέχθαι τρόπον, καὶ μὴ τὴν

* E codice 2105, pag. 94, 2. Vide Chumni Epistolas infra pag. 407.

(1) Respectu, puto, ad Proverb. XII, 1: ὁ ἀγαπῶν παιδείαν, ἀγαπᾷ αἴσθησιν· ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων.

(2) Codex ita. Malim ἔχουσι.

ἐκείνων δεδιέναι δόξαν καὶ τό γ' ἐκ τοῦ πάλαι χρόνου κρατῆσαν καὶ νενικηκὸς πρεσβεῖον. Ἀπέστω δὲ καὶ φθόνος πᾶς, καὶ πόῤῥω που κρίσεως τῆς ὀρθῆς καί γε τῆς ἀληθείας ἀπεληλάσθω. Πρὸς δὲ, καὶ τῷ χρόνῳ μηδεὶς τῶν εὖ καὶ καλῶς βουλομένων ψηφίζεσθαι δουλευέτω, μηδὲ προσεχέτω τούτῳ πλέον ἢ ταῖς ἐπιστήμαις καὶ ταῖς ἐξ αὐτῶν ἀληθείαις. Ὅτι γοῦν δίκαιον, ἔστω δὴ καὶ τοῦθ' οὕτως ἔχον.

Ἀλλ', ὅπερ ἐλέγομεν, φασί τινες, οἵ γε καὶ τοὺς περὶ φύσεως λόγους προσφυῶς εἰσὶ καὶ μεμελετηκότες καὶ ἐξηκριβωκότες, καὶ δῆτα τοῖς πάλαι ποτ' εὐκλεέσι προσεστηκότες καὶ προσχόντες περὶ (1) φύσεως τὰ μεγάλα πεφιλοσοφηκόσιν, ἀρίστως μὲν ἡμᾶς καὶ πάνυ τι ἀρίστως ἐπισκέψασθαι καὶ συννενοηκέναι καὶ δῆθ' εὑρεῖν καὶ ἀποδοῦναι τὴν τοῦ περὶ ἀέρος πληγέντος ἀπορήματος ὅπερ ἔφημεν λύσιν, οὐ μὴν δὲ καὶ ταυτὴν (2) τοῖς πάλαι γ' εἰρημένοις καὶ δῆτα δεδογμένοις σοφοῖς τοῖς τότε. Ἐπῆλθε καὶ γὰρ ἐκείνοις ἕτερον εἰπεῖν παρὰ τὸ νῦν ἡμῖν καὶ δεδογμένον καὶ λελεγμένον. Ἔστι δὲ τοῦτο τί;

Τὸν ἀέρα φασὶν ἐμπίπτοντα τοῖς σώμασι καὶ τῶν ἄλλων μὲν ζώων, ἐπιμᾶλλον δὲ καὶ πλέον τοῖς σώμασι τῶν ἀνθρώπων, δέρματος λεπτοῦ ἐπὶ τῆς σαρκὸς διατεταμένου, ἀραιοῦ ὄντος καὶ εὐρυτέρων μετέχοντος πόρων, τῆς ἐκ τούτων θερμότητος ἀπολαύειν· πάντα γὰρ ζῶα ἐν τῷ θερμῷ ζῆν πέφυκε καὶ συνεστάναι· ὅθεν, καὶ ὅτῳ ἂν οὗτος προσγένηται τῶν

(1) Forsan, articulo iterato, τοῖς περί.

(2) Nolim ταυτὴν, pro τὴν αὐτὴν, excidisse scriptori elegantissimo. Cf. quæ fuerunt notata t. II, p. 428, n. 4.

σωμάτων, πρὸς ἐκείνου τὸ θερμὸν, πλέον δήπουθεν ὂν, ἐξ ἐλάττονος μεταβάλλει, καὶ τοῦτον δὴ τὸν τρόπον, τοσοῦτον θερμανθεὶς, αὖθις ἀντιθερμαίνει. Τῆς γοῦν ῥιπίδος κατασεισθείσης, ἐκεῖνος μὲν ἐλαύνεται καὶ ἐξωθεῖται· ἕτερος δὲ ψυχρὸς αὖθις ἐμβάλλει, μή τί γε παθὼν ἐκ τοῦ βληθέντος σώματος τὰ ἴσα. Καὶ γὰρ καὶ ἐπὶ τῶν ἱματίων ὁ αὐτός ἐστι λόγος. Γυμνοὶ γὰρ ἡμεῖς αὐτὰ περιθέμενοι, ψυχρῶν αὐτῶν εὐθὺς αἰσθανόμεθα· τῆς δ' ἐξ ἡμῶν θερμότητος ὅλων γεγενημένων, οὐκέτι τοῦτο· ἀλλ' ἡμῶν αὐτῶν μᾶλλον θερμοτέρων ἐσμὲν ᾐσθημένοι, καὶ πλέον ἢ τὸ πρότερον, καί γε πρὸ τῆς ἀναβολῆς τούτων, ὑφ' ἡμῶν μὲν αὐτῶν θερμανθέντων, ἡμᾶς δ' αὖθις ἀντιθερμαινόντων.

Καὶ οἱ μὲν οὕτως· ἐγὼ δ' ἐκεῖνο καὶ μᾶλλον θαυμάζω, εἰ τοσοῦτον ὁ λόγος ἔξω που τῆς ἀληθείας φέρων καὶ ἔξω πίπτων τοσαύτης ὑπὸ τῶν ἐντυγχανόντων ἔτυχε συγγνώμης, ὥστε καὶ ἐκ τῶν πάλαι ποτ' εἰρηκότων μέχρι τοῦ νῦν πρεσβεύεσθαι καὶ κρατεῖν καὶ τὴν ἰσχὺν περισώζειν. Πῶς γὰρ, ὦ 'γαθοὶ καὶ φύσεως αὐτῆς αἰτίας καὶ λόγους καὶ τρόπους εὖ μάλα περιεργαζόμενοι καὶ περινοοῦντες, ἀέρα τὸν ἀεὶ χεόμενον καὶ περιολισθαίνοντα, καὶ σώματα τὰ στερεὰ περιρρέοντα, καὶ γοῦν ἀχρείως, εἰπεῖν, ἐμπίπτοντα ἅμα καὶ ἀποπίπτοντα τούτων, καὶ σκεδαννύμενον καὶ μηδαμοῦ στῆναι δεδυνημένον, τοῦτον ὑμεῖς ἐπ' αὐτῶν ἐγκαθιδρύετε τῶν σωμάτων καὶ παραμένειν βιάζεσθε, καὶ διαπνοαῖς τισιν ἐξ αὐτῶν πυρφόροις οἱονεὶ ἐξοπλίζετε, ταὐτὰ δρῶντες τοῖς ἕψουσι λίθους; Ἀλλὰ μὴν καὶ ταύτην φεύγοντες τὴν παροιμίαν ἐπὶ

τῶν ἀδυνάτων οὖσαν (1), ἱμάτια παρεισάγετε καὶ ὑποδύεσθε ταῦτα θερμαινόμενα καὶ ἀντιθερμαίνοντα, μηδὲν ὄντα ταῖς ἀληθείαις πρὸς τὴν ἀπόδειξιν τοῦ ζητουμένου· στερεὰ γὰρ σώματα ταῦτα· καὶ οἷγε τούτων ἰστοὶ πολλὰ πρότερον εἰσὶ δεδυνημένοι καὶ ὑποστῆναι καὶ καρτερῆσαι καὶ παθεῖν. Καὶ γὰρ ὑπομένουσι χεῖρας ἐντεινούσας καὶ νηθούσας, καὶ εἱρμοὺς ἐξυφασμένους, καὶ τομὰς καὶ διαιρέσεις, καί γε διατρήσεις καὶ ἐμπερονήσεις ῥαφίδων· καὶ δῆτ' ἐκ σινδόνων εἰς ἱματισμοὺς εἰσὶ μετεσκευασμένοι, ἐπιτηδεύμασι καὶ τέχναις τισὶ συῤῥαφέντες πρώτως· εἶτα τοῖς σώμασι περιχυθέντες, καὶ τούτοις δὴ προσφύντες, τὸ ἐξ αὐτῶν θερμὸν συγκλείουσι, καὶ ἀποπνίγοντες ἐν ἑαυτοῖς δαπανῶσιν· ἀναπεπταμένοι δ' εἰς ἀέρα οὐκ ἂν ἠδυνήθησαν οὐμενουν τοσοῦτον.

Ἀλλὰ μήπω περὶ τούτων· ἀλλά τι περὶ φύσεως ἀέρος δεῖν οἶμαι προδιαλαβεῖν, καὶ τῶν ἑτέρων ἁπλῶν καὶ πρώτων σωμάτων, καὶ τῆς γε γενέσεως καὶ φθορᾶς αὐτῶν (συνεμπίπτει γὰρ τῷ λόγῳ καὶ ταῦτα θεωρῆσαι), μετὰ δὲ τοῦτο, τοῖς ἐλέγχοις προσχωρῆσαι τῶν ἑτέρως περὶ ἀέρος ἢ ὡς ἡμεῖς ἀποδείκνυμεν εἰρηκότων.

Ἔστι μὲν οὖν ὁ ἀὴρ τὴν φύσιν ὅλην καὶ τὴν οὐσίαν ὑγρὸς, ὡς καὶ τὸ πῦρ ἐστι θερμὸν, καὶ ἡ γῆ ξηρὰ, καὶ τὸ ὕδωρ ψυχρόν. Τεσσάρων γὰρ οὐσῶν τῶν πρώτων φυσικῶν δυνάμεων κατ' ἐναντίων διπλῆν δυάδα, θερμοῦ καὶ ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, ἐξ ὧν δὴ καὶ τὰ ἁπλᾶ ταῦτ' εἰσὶ σώματα καὶ τά γ' ἐξ αὐτῶν σύνθετα, ἕκαστον τούτων μιᾶς τὸ ὅλον ἐστὶ τῶν εἰρημένων δυνάμεων· πῦρ μὲν θερμοῦ, γῆ δὲ ξηροῦ, ὕδωρ

(1) De quo proverbio vide t. I, p. 398, n. 1.

δὲ ψυχροῦ, ὑγροῦ δ' ὁ ἀήρ. Εἰ δὲ μὴ ἐξ ἑνὸς τούτων ἕκαστον ἦν, οὐδ' ἁπλοῦν ἂν ἦν· ἐπεὶ καὶ τὸ διαφέρον ἔστιν οὐδὲν πρὸς σύνθεσιν ἐκ δύο ἢ πλειόνων εἶναι. Ἔστι μὲν οὖν οὕτως, καθὰ δὴ καὶ φαμὲν, ἕκαστον ἁπλοῦν· ἐπεὶ δὲ τὸ τῶν ἐναντιοτήτων διπλοῦν (θερμὸν γὰρ καὶ ψυχρὸν, καὶ αὖ ξηρὸν καὶ ὑγρόν· καὶ τὸ μὲν πῦρ ἔστι θερμὸν, ὁ δ' ἀὴρ ὑγρὸς, τῶν δὲ λοιπῶν ἕκαστον ἐστὶν ὅπερ ἐστὶ, δεῖ δὲ ταῦτα καὶ συνιέναι, καὶ συνείργοντα συντιθέναι τὰ ἐξ αὐτῶν συγκείμενα σώματα), εἰσὶ καὶ ταῦτα πρὸς ἄλληλα τὰ μὲν ἐναντιώτατα, ὡς ὕδωρ καὶ πῦρ, γῆ καὶ ἀὴρ, τὰ δὲ καὶ ὡς μὲν ἐναντίως, ὡς δὲ γνησίως ἔχοντα· ὕδωρ γὰρ ψυχρὸν ὂν μετέχει καὶ τοῦ ὑγροῦ, καθ' ὃ δὴ καὶ τῷ ἀέρι κοινωνεῖ· ἀὴρ δ' αὖθις τῷ πυρὶ, κατὰ μὲν τὸ ὑγρὸν οὐδαμῶς, ἀποκλίνων δὲ πρὸς τὸ θερμὸν, αὐτῷ γε καταλλάττεται τῷ πυρί· καὶ πῦρ ὁμοίως, κατὰ τὸ ξηρὸν, τῇ γῇ· καὶ τῷ γε ὕδατι ἡ γῆ, κατὰ τὸ ψυχρὸν, καὶ, κατὰ τὸ ξηρὸν, τῷ πυρί. Καὶ εἰσὶν οὕτω κατὰ χορείαν, εἰπεῖν, ἀλλήλων ὥσπερ ἐκ χερσῖν ἐξαπτόμενα παρ' ἑκάτερα. Ὅτι μὲν οὖν τοιαῦτά γε ὄντα ἔστιν ἁπλᾶ, διὰ τοῦτο καὶ παραμένουσι· σύνθεσις γὰρ καὶ δεσμὸς αἴτια λύσεως· ὅτι δ' ἐκ τῶν ἐναντίων εἰσὶ, καὶ γεννῶνται καὶ φθείρονται· γίνονται μὲν γὰρ ἐξ ἀλλήλων, ὑπ' ἀλλήλων δὲ φθείρονται· εἰ δὲ μὴ ἦν ἐναντία, οὔτε γένεσις ἂν ἦν, οὔτε φθορά. Καὶ γὰρ τὸ γίνεσθαι τόδε τοῦτ' ἐστὶ τὸ ἕτερον δηλονότι φθείρεσθαι, καὶ, ὅτι δὴ γεγένηται τόδε, τόδ' ἔστι διεφθορός. Καὶ ῥᾷστα μὲν ἐστὶν ἐν τοῖς ἁπλοῖς τοῖσδε σώμασιν ἥ τε γένεσις ἥ τε φθορὰ, ὅταν μηδὲν ὦσι πάμπαν ἐναντιώτατα, ὡς πῦρ καὶ

ὕδωρ, γῆ καὶ ἀήρ· χαλεπωτέρα γὰρ ἐπ' αὐτῶν τούτων ἡ γένεσις. Ὅλην γὰρ τὴν τοῦ ὕδατος δύναμιν καὶ φύσιν δεῖ μεταβάλλειν καὶ γίγνεσθαι πῦρ· καὶ τὸ πῦρ αὖθις ὕδωρ, τὸν ἴσον ἔχει τρόπον· καὶ ἐπὶ τῆς γῆς καὶ τοῦ ἀέρος ὁ αὐτὸς ἐστὶ λόγος. Πῦρ δ' οὐδὲν δεινὸν ἐκ γῆς ἢ ἀέρος γενέσθαι· καὶ γὰρ τῇ μὲν γῇ φθαρέντος τοῦ ψυχροῦ, τῷ δ' ἀέρι τοῦ ὑγροῦ, ἐξ ἀμφοῖν γῆς καὶ ἀέρος γίνεται πῦρ· ὃ γὰρ ἐν τῇ γῇ ἐναντίον ἦν τῷ πυρὶ, τὸ ψυχρὸν ἦν, καὶ, τούτου φθαρέντος, ἐνέμεινε τὸ ξηρὸν, γνήσιον ὂν τῷ ξηρῷ τοῦ πυρός. Καὶ ἐπὶ τοῦ ἀέρος δ' ὡσαύτως· ἀντίκειται γὰρ οὐ τὸ θερμὸν τούτου τῇ θερμότητι τοῦ πυρὸς, ἀλλὰ τὸ ὑγρὸν τῇ ξηρότητι· καὶ γοῦν, τούτου μεταβαλόντος εἰς ξηρὸν, οὐσίωται τὸ πῦρ. Ἀὴρ δ' αὖθις ἐξ ὕδατος καὶ πυρὸς μάλα τι γεγέννηται· καὶ γὰρ τῇ θερμότητι συναπτόμενος τῷ πυρὶ, ὕδατι δὲ τῇ ὑγρότητι, χρὴ μόνον τὸ τοῦ ὕδατος ψυχρὸν ἀπεῖναι καὶ τοῦ πυρὸς τὸ ξηρὸν, καὶ ἔστιν εὐθὺς ὁ ἀὴρ γεγεννημένος ἐξ ἀμφοῖν. Γῆ δὲ πάλιν ἐξ ὕδατος καὶ πυρὸς, τρόπον τὸν ἴσον· μεταβαλόντος γὰρ τοῦ ὑγροῦ τοῦ ὕδατος εἰς ξηρὸν, τοῦ δὲ θερμοῦ τοῦ πυρὸς εἰς ψυχρὸν, ἐκεῖνο ἔστι γῆ· ὃ δὴ καὶ ἐν ὕδατι, τοῦ ὑγροῦ τούτου γενομένου ξηροῦ, καὶ αὖ ὅπερ ἐν πυρὶ, τοῦ θερμοῦ τούτου μεταβαλόντος εἰς ψυχρόν.

Καὶ γίνεται δὴ ταῦτα καὶ γεννῶνται οὕτως ἐξ ἀλλήλων καὶ φθείρονταί ὑπ' ἀλλήλων, τῇ δυνάμει τῆς πρὸς ἄλληλα τούτων ἐναντιώσεως· πᾶσα γὰρ γένεσις ἐκ τῶν ἐναντίων. Ἐκ τοῦ τόδε γὰρ μὴ ὄντος γίνεται τὸ κατὰ τοῦτο δήπουθεν ὂν, καὶ τὸ ὂν αὖθις εἰς τὸ μή τί γε τοῦτο εἶναι μηδαμῶς ἀναλύει, καὶ ἀεὶ τῷ πλέον

ἰσχύος ἔχοντι τὸ δεδυνημένον ἔλαττον καθυπείκει καὶ πρὸς αὐτὸ μεταβάλλει. Εἰ δὲ μὴ ἦν τὸ ἐναντιούμενον καὶ κρατοῦν καὶ καταδυναστεῦον καὶ πεῖθον μεταβάλλειν, οὐδὲν ἂν οὔτ' ἔφθαρτο οὐδὲ κατ' οὐδὲν μέρος αὐτοῦ, οὔθ' ἕτερον ἐξ ἑτέρου ἐγένετο ἂν (πῶς γάρ;), αὐτὸ ἑαυτὸ μή τί γε φθεῖρον, μηδ' ἐκ τοῦ ὁμοίου τοῦτό γε μηδαμῶς πάσχον.

Ἔστι μὲν οὖν ταῦτα. Καὶ ἀὴρ ἐστὶν, ὅπερ ἔφημεν, τὴν ὅλην φύσιν ὑγρὸς, οὐ κατὰ τὸ τοῦ ὕδατος ὑγρὸν, ἀλλ' ὅπερ ἐστὶ μᾶλλον ἐν τῷ ὕδατι τὸ ψυχρὸν καὶ ἐν τῇ γῇ τὸ ξηρὸν καὶ ἐν τῷ πυρὶ τὸ θερμὸν, δυνάμεις δηλονότι οὐσιοῦσαι ταῦτα, τοῦτ' ἐστὶν ἐν τῷ ἀέρι τὸ ὑγρόν· ὑγρὸν γὰρ τὸ εὔθρυπτον καὶ εὔτμητον καὶ σκεδαννύμενον καὶ διαιρούμενον εὖ, καὶ ὃ τοῖς μὲν οἰκείοις μέρεσι δυσόριστον, τοῖς δὲ ἀλλοτρίοις εὐόριστον. Οὕτως δ' ὡρισμένου τοῦ ὑγροῦ, παχυτέρου τοῦ ὕδατος ὄντος καὶ μὴ κατὰ τὸν ἀέρα λεπτοῦ, καὶ πυκνοῦ δή τινος καὶ μὴ τῷ ἀέρι κατ' ἴσον ἀραιοῦ, πῶς γε τοῦτο καὶ κατ' ἴσον αὐτῷ μεθέξει τοῦ ὁρισμοῦ; οὔκουν τῷ παθόντι λόγῳ τοῦτό γ' ἐστὶν ἐγχωροῦν. Τοίνυν καὶ ἀεὶ διαῤῥεῖ καὶ χεῖται ὁ ἀὴρ, καὶ μέρεσι μὲν τοῖς ἰδίοις οὐδαμῆ κρατεῖται, οὔτε κατέχεται, οὔτ' οὐδὲν οὐδαμῶς ὥρισται, ὑπ' ἄλλων δ' ἐπεχόντων ἐπέχεται, καὶ πανταχοῦ γ' ἐστὶν, ὅποι δὴ καὶ κενὸν ἐστὶν ἑτέρου σώματος, πεπεδημένος μόνον ὑπὸ τοῦ γε συνέχοντος.

Ὑμεῖς δ' ἐπὶ γυμνῶν ἱδρῦσθαι λέγετε σωμάτων τὸν ἀέρα καὶ σαρκὸς ἀνθρώπων, καὶ τοῦ γε λείου ἐπὶ ταύτης τεταμένου δέρματος. Ἐγὼ δὲ τοῦτο πρῶτον πυθέσθαι βούλομαι· πότερον ἠρεμούντων τούτων, ἢ

καὶ κινουμένων; καὶ γὰρ καὶ ἐπ' ἀμφοτέρων ἀδύνατον, ἀλλ' ἧττον μὲν ἴσως ἐπὶ τῶν μενόντων καὶ κατὰ χώραν ἐφεδρευόντων, μᾶλλον δὲ καὶ πλειστάκις μᾶλλον ἐπὶ τῶν ὁρμώντων καὶ μετὰ ῥύμης, εἰπεῖν, ἢ ὁπωσοῦν φερομένων. Μὴ κινουμένων γὰρ τῶνδε τῶν σωμάτων, αὐτὸς ὁ ἀὴρ περὶ ταῦτα ῥέων καὶ περισχιζόμενος καὶ διεκπίπτων, ἑστὼς ἔστιν ἐπ' οὐδενός, οὐδ' ἐμμένων, οὐδ' ἐπεχόμενος τοῦ δρόμου καὶ τῆς ῥοῆς, οὐδὲ κατὰ βραχὺ οὐδὲν οὐδαμῶς· οὐδὲ μέρος ἔστι τούτου γε πεδηθὲν οὐδὲν ἢ ἐνσχεθέν, ὥστε δὴ καὶ μικρὸν γοῦν κοινωνῆσαι καὶ μετασχεῖν τοῦ ἐκ τοῦ σώματος ἀφιεμένου καὶ ἀπιόντος θερμοῦ. Καὶ τοίνυν οὐδὲ τεθέρμανται τοῦτον τὸν τρόπον ὁ ἀὴρ ἐκ σώματος δεξαμένου τοῦτον οὐδέν· ἀεὶ γὰρ τὸ περιτρέχον αὐτοῦ καὶ προάγον καὶ πρώτως βάλλον ἐν σώμασιν ὑπεκφεύγει, ὑπὸ τοῦ κατόπιν ἥκοντος καὶ ἐπωθοῦντος ἀπεληλαμένον, καὶ μὴ ἀναμένον συνεξωθοῦσαν ῥιπίδα καὶ τὴν ἐκ ταύτης πληγήν.

Ἀλλὰ μὴν καὶ κινουμένων αὐτῶν γε τῶν σωμάτων, πῶς ἂν ἐπὶ τούτων ἐνιδρυνθεὶς σταίη ἀήρ; οὐκ ἔστι τοῦτο, πάντως οὐκ ἔστι, καὶ πάντ' ἂν γένοιτο μᾶλλον καὶ τά γε παντελῶς ἀδύνατα, ἢ ἐπὶ σώματος σπεύδοντος ἢ καὶ ποσῶς φερομένου ἀέρα βεβηκότα ἀτρεμεῖν καὶ ἑστάναι. Ἀλλὰ τί; διαιρούμενος (1) καὶ ὑποχωρῶν τῇ τούτου παρόδῳ, τοῦ προλαβόντος ἀεὶ ἕτερος εἰσπίπτει. Καὶ τοίνυν, ὥσπερ ἐπὶ παντὸς σώματος, ὁ τέμνων ἀεὶ ἕτερον ἐπὶ τοῦ αὐτοῦ καὶ οὐχὶ τὸ αὐτὸ ἐν πάσῃ τέμνει τῇ κινήσει, οὕτω δὴ καὶ τὸ κινούμενον ἐν τῷ ἀέρι καὶ τέμνον αὐτὸν δι' ἑτέρου

(1) Forsan ἀλλά τι διαιρ. Sed cf. pag. 359, n. 3.

χωρεῖ καὶ ἀεὶ ἐξαλλάττει, καὶ μέρος ἐστὶν οὐδὲν αὐτοῦ τῷ κινουμένῳ σώματι προσπεπλασμένον ἢ ἐνιδρυμένον· πῶς γάρ; ὅπου γε καὶ ἑστῶτος τούτου οὐδὲν ἦν, οὔτ' ἠδύνατο οὐδ' ὁποσονοῦν ἱδράσθαι.

Ἀλλὰ μὴν καὶ εἴ τις ἕτερος πορευομένου τούτου πρὸ προσώπου πορεύοιτο, χρώμενος τῇ ῥιπίδι καὶ πατάσσων καὶ κόπτων καὶ τέμνων τὸν ἀέρα, τό γ' ἐξ αὐτῆς ἐμβάλλον καὶ ἀπαντῶν τῷ προσώπῳ, ψυχρὸν ὄν, ὑδατῶδες μᾶλλον ἐστὶν ἢ ἀερῶδες, ὡς ἡμεῖς εἰπόντες καὶ ἀποδεδειχότες ἐσμέν.

Καὶ τοίνυν ἀποχρώντως, οἶμαι, τά γε δοκοῦνθ' ἡμῖν εἴρηται καὶ δέδεικται, καὶ τὰ τοῖς πάλαι δεδογμένα σοφοῖς ἐξήτασται καὶ βεβασάνισται, ἵνα μὴ πάνυ τι μέγα καὶ ὑπερήφανον λέγω ὅτι καὶ διελήλεγκται. Ὑμεῖς δ' οἱ περὶ τὰ τοιαῦτα πολλοὶ καὶ περιττοὶ τὴν σοφίαν, πολλοὶ καὶ τὴν σύνεσιν, καὶ τῶν νῦν λόγων διαιτηταὶ καὶ κριταί, μὴ τῷ μακρῷ χρόνῳ μᾶλλον καὶ τῷ ἐκ παντὸς αὐτοῦ παρὰ πάντων συγκεχωρηκότι, μηδὲ τῷ κεκρατηκότι τῆς δόξης, ἀλλὰ τῇ ἀληθείᾳ προσχόντες, ὀρθῶς ἐπισκεψάμενοι, μὴ ἀποκνήσητε καὶ ὀρθὴν καὶ ἀδέκαστον ἐξενεγκεῖν τὴν ψῆφον.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΟΥΜΝΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΔΥΟ.

α΄. — Τῷ λογοθέτῃ τοῦ γενικοῦ.*

Πολλῶν ἐμοὶ πραγματειῶν καὶ λόγων ἐσπουδασμένων ὑπὸ χορηγῷ τῷ Σωτῆρι καὶ γοῦν ἀπειργασμένων, ἐν τοῖς φυσικοῖς εἰμὶ τρυφὴν, εἰπεῖν, τὴν πᾶσαν πληρῶν, καὶ, λύπην ἐνοχλοῦσαν καὶ καρδίας ἄχθος παῦσαι καὶ κουφίσαι βεβουλημένος, ἐπὶ τούτους στραφεὶς καὶ τούτοις συνὼν, ὃ θέλω γ' ἔχω. Καὶ ἀγαπῶ καὶ χάριν ὁμολογῶ, εἴ τις περιεργαζόμενος ἢ καὶ ἀπορῶν προβάλλοιτο δυσχερῆ καὶ τά γε χαλεπὰ λύειν, εἶτ' ἔμοιγε ταῦτ' ἐπιτρέποι. Ἀγωνίζομαι γὰρ ἐπὶ τούτοις εὑρίσκειν, καὶ ὁ χορηγὸς ἐμπαρέχει.

Καὶ τοίνυν χθὲς τοῦτον τὸν τρόπον λόγον (1) ἐξήνεγκα περὶ ἀέρος καὶ τοῦ ἐν αὐτῷ δοκοῦντος ἀπόρου, τί καὶ πόσον δεδυνημένον, αὐτὸς συγγενόμενος, αὐτὸς ἂν καὶ διδάξαις· νῦν δ' ἕτερον (2) αὖθις ἐπὶ τούτῳ, οὕτω δ' ὀξέως, ὥστε καὶ δοκεῖν τούτους ἅμα γεγεννῆσθαι καὶ διδύμους ἀδελφοὺς εἶναι. Τὸν μὲν οὖν πρότερον, τὸν δὲ νῦν πέμπω· καὶ πέμπω, σὲ περὶ ἀμφοῖν βουλόμενος ψηφίσασθαι καὶ κρῖναι.

Μὴ γοῦν ὅτι γ' ἐξ ἐμοῦ τεχθέντες εἰσὶν ἀδελφοῦ

* Epistola est inter ineditas quadragesima in codice 2105, pag. 357, 2; quam huc inserere, ut et sequentem, quæ est ibidem quadragesima prima, opportunum visum est, quum præcedentem orationem queant illustrare. Ad quem scribit Logotheta est, opinor, Theodorus Metochita.

(1) Orationem priorem supra pag. 392.

(2) Orationem præcedentem.

παῖδες, οὐδὲν δ' ἧττόν γε καὶ διὰ τοῦτο παῖδές σοι, δικάσης τὰς ψήφους (1)· μὴ τοῦτό γε αὐτὸς, ὅτι μηδ' ἐγώ· αἰδοῦμαι καὶ γὰρ μητέρα τὴν ἐπιστήμην (2), ἕτερα λέγειν παρὰ τὰ ταύτῃ δοκοῦντα.

β'. — Τῷ υἱῷ αὐτοῦ τῷ παρακοιμωμένῳ.*

Ἐπὶ τοῦ ἑνὸς καὶ αὐτοῦ, ἀέρος φημὶ, καὶ τῆς κατ' αὐτὸν ἀπορίας οὐχ εἷς, διττοὶ δ' ἡμῖν γεγένηνται λόγοι, μικρὰ μὲν καὶ ἄμφω τὸ δέμας, ἀλλ' ὅς γε δεύτερος αὐτῶν, ἔστι καὶ μαχητής (3). Ἀποδύεται καὶ γὰρ πρὸς ἔλεγχον καὶ παρατάττεται παραβαλλόμενος πρὸς τοὺς πάλαι σοφοὺς, περὶ τοῦ αὐτοῦ κἀκείνους εἰρηκότας. Εἰ μὲν οὖν καὶ ἀγωνοθέτης ἦν βραβεῖον ἀνασείων ἐπὶ τοῦ ἀγῶνος, τάχ' ἂν καὶ νεανικώτερον ἠνδρίσατο καὶ γενναιότερον ὁ μικρὸς οὗτος ἐμὸς παῖς, καὶ διεξῆλθεν ἀριστεύων μέχρι πολλοῦ· ἐπεὶ δὲ πρὸς οὐδὲν ἄλλο βλέπων ἔθετο τὴν σπουδὴν, ἢ τὸ δοκοῦν ἡμῖν καὶ κρατοῦν ἀποδεῖξαι, καὶ ἀπέδειξεν, ἔστη τῆς ὁρμῆς καὶ τῆς πάλης, κλονηθέντων ἤδη καὶ πεσόντων τῶν ἐναντίων.

(1) Conf. t. II, p. 156.

(2) Conf. p. 360, 4.

* De Joanne Chumno, Nicephori Chumni filio, ac cubiculario, cf. t. I, p. 290.

(3) Respectu ad Il. Ε, 801: Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. Corpore parvum fuisse Tydea, virtute magnum, multis docemur locis: cf. quæ excitavi ad Æschyl. t. I, p. 295, illustraturus S. ad Th. v. 410. Junius, qui cum fructu legetur Adag. V, 18, locum adtulit ex Menandro historico de milite quodam, qui fuit τὸ μὲν σῶμα ὡς ὁ παρὰ τῷ Ὁμήρῳ Τυδεὺς ἀνυμνούμενος, τὴν δὲ γνώμην καὶ περαιτέρω Τυδέως. Quæ verba non Menandri sunt, sed Theophylacti Simocattæ II, 18, p. 57. Obiter addere liceat virum doctiss., nuper Theophylacteis usum, ac quæ fuerit Tydei brevitas forte oblitum, a sensu paululum aberravisse.

ΠΕΡΙ
ΤΩΝ ΔΩΔΕΚΑ ΜΗΝΩΝ
ΤΟΥ ΕΝΙΑΥΤΟΥ
ΟΠΟΙΑΙΣ ΔΕΙ ΧΡΗΣΘΑΙ ΤΡΟΦΑΙΣ ΕΝΙ ΕΚΑΣΤΩ ΑΥΤΩΝ ΚΑΙ ΑΠΟ ΠΟΙΩΝ ΑΠΕΧΕΣΘΑΙ.*

Μηνὶ Σεπτεμβρίῳ.**

Ἐν τούτῳ τῷ μηνὶ ἁρμόζει (1) γαλακτοτροφεῖν καὶ γαλακτοποτεῖν· ἐκ δὲ τῶν κρεῶν ὄρνιθας ἐσθίειν, καὶ πρόβεια (2), καὶ περιστερὰς, καὶ νήσσας καὶ τρωγλίτας (3), ὄρτυγας, καὶ λακτέντα ὀπτὰ ξὺν ὀξυμέλιτι ἐσθίειν. Ἐκ δὲ τῶν ἰχθύων, λαμβάνειν πάντας τοὺς τρυφεροὺς καὶ πετραίους καὶ μαλακοσάρκους, καὶ κεφάλους, καὶ πάντα τὰ ἀλέπιδα (4). Ἐκ δὲ τῶν ὀσπρίων, κυάμων καὶ φακῆς ἀπέχεσθαι, τὰ δὲ λοιπὰ ἐσθίειν. Ἐκ δὲ τῶν λαχάνων, κράμβης, γογγύλης καὶ

* E cod. regio 3035, p. 233. Poterit hic libellus conferri cum simili alio Hierophili de alimentis opusculo, quod inter Notitias Mss. t. XI edidi, et animadversionibus qualibuscumque meis illustravi. Nunc brevitati consulam, et omnes fere animadversiones, nisi quæ sunt critici generis, omittam.

** Hierophilus a mense Januario annum inchoavit.

(1) Ἁρμόζει est medicæ orationi proprium, quo Hierophilus sæpe usus est. Vide Hippocratem Aphor. v, 64; Theophanem Nonnum t. I, pag. 209; t. II, pag. 37.

(2) Cod. πρόβια. Cf. Hieroph. pag. 192, 237, 249, 253. Sic et passim noster.

(3) Apud Hierophilum in septembre, ubi τρωγλίας, bene me de τρωγλίταις, seu στρουθοῖς, cogitasse inde patet.

(4) Hierophilus aliter sentit; a cephalis et piscibus non squamosis abstinere jubet.

ἐλαίου μαύρου (1) ἀπέχεσθαι. Δριμυφαγίαις δὲ χρᾶσθαι μετρικῶς, οἷον ῥέπανον, σίναπι, πέπερι, κιννάμωμον καὶ στάχος. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφυλὰς καὶ ἀπίδια καὶ δαμασκηνὰ λευκὰ καὶ μῆλα, καὶ ῥοδάκινα καὶ πεπόνιον (2), καὶ τὰ ὅμοια τούτων. Καὶ οἴνους πίνειν ἀψινθοκεράεις (3), καὶ ἀψινθάτους. Λουτρὰ ὀκτώ· σμήγματα δὲ κεφαλῆς, κιμουλία (4) μετὰ ὄξους, καὶ ἐ ῥοδάκηνα (5), ἕως κδ' (6). Καὶ συνουσιάζειν. Χρίσμα δὲ κοινὸν ποιεῖν.

Μηνὶ Ὀκτωβρίῳ.

Ἁρμόζει δριμυφαγίαις πάσαις χρᾶσθαι, πρὸ πάντων δὲ πράσα (7) ἐσθίειν ἑφθὰ καὶ ὠμά. Καὶ τὸ ζέμα πίνειν. Καὶ σκόρδα ἑφθά, καρυκευτά, οἷον στάχος, πέπερι, κιννάμωμον, καρυόφυλλον, καὶ ταῦτα διὰ τῶν ἀρωμάτων ἐσθίειν. Ἐκ δὲ τῶν κρεῶν, πρόβεια καὶ ὀρνίθεια, καὶ περιστερόπουλα (8), καὶ χῆνας, καὶ ὀρτυγομήτρας, καὶ λακτέντα ἐσθίειν, νήσσας τε καὶ φάσσας, καὶ τρυγόνας (9) καὶ πέρδικας. Βόεια (10)

(1) Forsan ἐλαιῶν μαύρων.

(2) Abbreviatio ejus vocis non est nitida; obscure etiam superius ῥέπανον breviatur.

(3) Desinentiæ compendium est obscurum, sequentis quoque obscurius.

(4) Melior et usitatior scriptura est per syllabam μα.

(5) Sic codex. Forsan ἔλαια ῥοδάκινα, olea persici, vel ἔλαιον ῥοδάκινον, oleum persici.

(6) Id est, usque ad diem mensis XXIV.

(7) Hierophilus prave πάντα.

(8) Sunt περιστερόπουλα pulli columbarum, *des pigeonneaux*. Symeon Sethi p. 95: ἡ τῶν περιστεροπώλων σάρξ θερμή ἐστι. Codex 2031 melius, περιστεροπούλων. De terminatione recentiorum nominum in πουλος, quæ diminutiva est, notavi p. 141.

(9) In Hierophili Octobre, ubi junguntur περιστερίων φασσῶν καὶ τρυγόνων, serius video omissam esse φασσῶν versionem, quam reponat, rogo, lector diligens, scripto *de ramiers*.

(10) Cod. βία, sine sensu. Re-

δὲ καὶ ἐλάφια καὶ δορκάδας καὶ πλατὺν (1) καὶ συάγρους καὶ λαγῶν (2) ἀπέχεσθαι χρή. Ἐκ δὲ τῶν ἰχθύων, κεφάλους καὶ μίχλας (3), καὶ πάντα τὰ ἀλέπιδα μὴ ἐσθίειν, τὰ δ᾽ ἄλλα πάντα. Ἐκ δὲ τῶν ὀσπρείων, κυάμους καὶ φακῆς καὶ λαθύρων (4) ἀπέχεσθαι· τὰ δὲ λοιπὰ ἐσθίειν, καὶ ἀσπαράγους πάντας, καὶ ἀμανίτας λευκούς. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφυλὰς ἄσπρας, ἀπιοὺς τοὺς ἀκμάσαντας (5), καὶ μῆλα τὰ γλυκέα, σῦκα δὲ ἄσπρα, ῥοδάκινα περσικά, καὶ φοίνικας καὶ ῥοιάς, καὶ μηλοκυδώνια ἐσθίειν. Ἐκ δὲ τῶν ξηρῶν ἁπάντων τῶν ὀπωρῶν, πιστάκια, κάρυα τὰ βασιλικὰ καὶ ἀμύγδαλα, καὶ κουκουνάρια, καὶ λεπτόκαρα (6) ἐσθίειν. Οἴνους δὲ λεπτοὺς καὶ ἐλαιοχρώους πίνειν καὶ ἀψινθάτους. Λουτρὰ ὀκτώ. Καὶ ἀφροδισιάζειν. Καὶ χρίεσθαι ἅπαξ· καὶ σμήχεσθαι, ὡς εἴρηται.

Μηνὶ Νοεμβρίῳ.

Ἁρμόζει εἰς λουτρὰ μὴ λούεσθαι, μηδὲ χρίεσθαι·

scripsi βόεια, præçeptum imitatus simile medicastri mense proximo.

(1) Ita codex.

(2) Codex, λαγῶν et λαγῶ. Nominis præcedentis finis est dubius, ut legi possit συάγρου et συάγρους. Prætuli accusativos ob vicinos casus similes, ἐλάφια δορκάδας πλατύν. Poteram et genitivos accusativis miscere, ut fiet infra; sed hic solœcismi constantia placuit.

(3) Sic cod. Reponendum est κίχλας. Cf. pp. 412, 7; 414, 8.

(4) Κυάμους, ut et φακῆς, nitide scriptum est, sic casu variato. Desinentia in λα casus electionem permisit; elegi quem jussit syntaxis.

(5) Codex, ἀλμάσαντας. Hierophilus edere jubet, ἀπίδια ἄγρια ἀκμάζοντα. Fere cogitabam de varietate quadam pyri, cui nomen ex italicis vocibus *alma santa* formatum fuerit.

(6) Lexicon in notis ad Hierophilum pag. 258 : κάρυα ποντικά, λεπτοκάρυα. Nuçes sunt avellanæ, *des avelines*.

εἰ δὲ καὶ συμβῇ (1), δύο λουτρὰ καὶ μόνα δεῖ. Ἐκ δὲ τῶν κρεῶν, μὴ ἐσθίειν ἐλάφους, καὶ βόεια, καὶ δορκάδας, καὶ λαγὼν (2), καὶ συάγρους, καὶ ἀγριοαῖγας· τὰ δὲ λοιπὰ κρέα ἐν πετεινοῖς ἐσθίειν ψαχνὰ καὶ λίαν δίεφθα, καὶ καρυκευτά· καὶ λακτέντα τὰ μικρά. Ἐκ δὲ τῶν ἰχθύων, πάντας ἐσθίειν, πλὴν τῶν ὑγροτέρων, καὶ κίχλας καὶ κωβιούς, καὶ πάντα τὰ ἀλέπιδα, καθὼς προλέλεκται ἐν τῷ ὀκτωβρίῳ. Τοῖς δὲ δριμέσι χρᾶσθαι, οἷον πέπερι, καὶ ὅσα διὰ τῶν ἀρωμάτων· καὶ πρασομόλοχα ἐσθίειν. Ἐκ δὲ τῶν ὀσπρίων, κυάμους καὶ λουπινάρια ἀπέχεσθαι· τὰ δὲ λοιπὰ πάντα ἐσθίειν. Ἐκ τῶν ὀπωρῶν, φοίνικας μὴ ἐσθίειν· ὅλας δὲ τὰς ξηρὰς ἐσθίειν. Ἐκ τῶν οἴνων, τοὺς παλαιοὺς καὶ λεπτοὺς καὶ λευκοὺς καὶ εὐώδεις πίνειν. Ἐκφεύγειν δὲ πάντων τῶν ὑγροτέρων τὰ βρώματα. Λαμβάνειν δὲ καὶ τὸ ἀπόθερμον τῆς τίλης (3) ἐκ διαλείμματος. Καὶ ἀφροδισιάζειν.

Μηνὶ Ἰανουαρίῳ.*

Ἁρμόζει οἴνου καλοῦ εὐωδεστάτου λαμβάνειν ῥοφήματα τρία, μετὰ ἀτάκτης, καὶ ἐπινηστεύειν ἕως ὥρας τρεῖς (4), καὶ τρέφεσθαι τοῖς ἐκ κρεῶν προβείοις χλίοις καὶ ὀπτοῖς, καὶ χοιρείοις ὡσαύτως μικροῖς ὀπτοῖς. Καὶ ζωμοὺς κατασκευάζειν καρυκευτούς, στάχος, κιννάμωμον, καὶ ἔργον (5) τριπτὸν ἀρτύματι, καρναβάδιον (6) ἀνατολικόν, πέπερι, καὶ τὰ λοιπά.

(1) Codex, συμβεῖ.
(2) Codex, λαγόν: et sic in Julio.
(3) Conf. p. 415, n. 4.
* Desunt in manuscripto præcepta ad mensem decembrem.
(4) An τρίτης? Cf. Junii init.
(5) Ita codex. Conf. ἔργα in Junio.
(6) Quum sit finis anceps,

Ἐν δὲ τῇ ὀπτήσει τὰ τῶν χοιρείων κρεῶν ἀλειφέσθωσαν οἰνομέλιτι· τὰ δὲ ποδοκέφαλα τῶν ὀϊῶν, τουτέστι προβατικὰ, ὀξυστά. Ἐκ δὲ τῶν ὀρνέων, ὄρνιθας, περιστερόπουλα, λευκὰ δὲ, ἐὰν εὑρεθῶσι, καὶ βερακάτα· ταῦτα γὰρ εἰσὶ τὰ κρείττονα· χλία δὲ καὶ ὀπτὰ ἐσθίειν· καὶ χῆνας καὶ νήσσας, καὶ κίχλας, καὶ ὄρτυγας, καὶ τρωγλίτας· τούτων δὲ ἀγρίων γινομένων, ἐπιβάπτειν αὐτὰ σίναπυ, ἁλοκύμινον (1), καὶ οἰνόγαρον. Ἐκ δὲ τῶν ὀσπρείων, λαθύριον (2) καὶ αὖχος, ἀλεστά· ἡ δὲ ἄρτυσις αὐτῶν, ἅλας, ἔλαιον, καὶ κύμινον τριπτόν. Ἐκ δὲ τῶν ὀπωρῶν, σταφίδας, ἀμύγδαλα, πιστάκια, κουκουνάρια· λαμβάνειν (3) δὲ ὀλίγον κίτρον, καὶ ῥοΐδιν καὶ φοίνικας, καὶ πρῶτον γάλα μετὰ μέλιτος, καὶ στάχος τριπτὸν, καὶ κιννάμωμον. Καὶ δι' ὅλου τοῦ μηνὸς, λουτρὰ τέσσαρα· σμηχόμενος νίτρῳ ὀπτῷ, ἐν οἴνῳ λειωθέντι. Καὶ χρίσμα ποιεῖν σκευαστὸν, τουτέστι ψίλιθρον, καὶ βάλλειν ἀλόην ϛ̃ γ' καὶ σμύρναν ϛ̃ α' (4), καὶ κρόκον ᾠῶν δύο. Ταῦτα πάντα ἑνώσας, χρίου· αὕτη δὲ ἡ σκευὴ, ἑνὸς ἀνθρώπου. Ἁρμόζει δὲ πρὶν χρίσασθαι, εἰσελθεῖν εἰς τὸ λουτρὸν, καὶ περιχύσασθαι σίτλας δύο ἢ τρεῖς, πρὶν ἱδρώσῃ, καὶ ἐξελθεῖν· καὶ ἀποσπογγίσασθαι

malui sic scribere, quam cum Hierophilo *χαρναβάδιν*. De neutris nominibus per *ιν* monui tom. II, p. 408, n. 6. Lexicon in Fabricii Bibliotheca Gr. t. VI, pag. 645: *σκῶλον, ἄκανθα ἐμπαγέν*. Legerim, *ἀκάνθιν*, vel *ἀκάνθιον*. Quo loco incorrecto secure utebatur Ernestius ad Suidæ Glossas sacras pag. 133.

(1) Codex, *ἁλοκίμινον*, et modo *προγλίτας*.

(2) Compendium est anceps. Malui formam vocis probam, quam *λαθύριν*, quod est in Martio.

(3) Codex, *λαμβάνει*: mox *κύτρον*.

(4) Ponderis notas interpretor, « drachmas tres, drachmam » unam. »

καλῶς· καὶ οὕτω χρίσασθαι. Καὶ μὴ βράδυνε μετὰ τοῦ χρίσματος. Μετὰ δὲ τὸ χρίσμα, ἀποτρίβεσθαι δεῖ διὰ οἰνοποτηρίου καὶ κρόκων ὠῶν, ῥοδελαίῳ ἀναμεμιγμένων. Καὶ ἀφροδισιάζειν μέχρις ἡμέρας (1) μαρτίου.

Μηνὶ Φεβρουαρίῳ.

Ἁρμόζει σεῦτλον μὴ ἐσθίειν, μηδὲ ἄγριον τὸ οἱονδήποτε, μήτε κίχλας τῶν ἰχθύων· μήτε ζέμα πίνειν τὸ οἱονδήποτε, ἄνευ τοῦ πρασοζέματος, καὶ τοῦ μαλάθρου, καὶ τοῦ σκορδοζέματος καρυκευτοῦ. Οἴνους δὲ παλαιοὺς καὶ εὐώδεις πίνειν. Ἐν δὲ κρέασιν ἐσθίειν, κατὰ τὸν προλεχθέντα κανόνα τοῦ ἰανουαρίου μηνός. Καὶ ἐκ τῶν ἰχθύων τὰ προλεχθέντα, καὶ ὅσα ὀστρακώδη, τὰ λεγόμενα ὄστρεια, καὶ πάγρους (2), καὶ ἀστακούς, καὶ μύδια καὶ κτένια, καὶ ὅσα τῶν ἰχθύων πετραῖα, ὡσαύτως ὀρφούς, λαπίνας, σπάρια (3), καρίδας (4), καὶ ὅσα πετρώδη, πλὴν διὰ σίνηπι. Τὰ δὲ βάμματα (5), καὶ τὰ ὀπωρινά, ὅσα προελέχθησαν τῷ ἰανουαρίῳ μηνί. Ὡσαύτως καὶ ἐκ τῶν λαχάνων, καὶ κοδιμέντων τὰ προλεχθέντα. Ὁμοίως καὶ τὰ λουτρά, καὶ τὸ χρίσμα. Καὶ ἀφροδισιάζειν ὁμοίως.

Μηνὶ Μαρτίῳ.

Ἁρμόζει πᾶσι τοῖς γλυκέσι χρᾶσθαι ἐν τροφαῖς

(1) Forsan μέχρις ἰσημερίας: conf. Hierophilus.

(2) Sic legi debere putavi compendium, non παγούρους. Forsan φάγρους.

(3) Ita codex. An σκάρια? Scarorum meminit Hierophilus.

(4) Cod. compendiosius, κρ.

(5) Nescio an scriptoris manum exhibuerim. Cod. βᾶ. Agitur de juribus ac condimentis: conf. Hierophilus.

καὶ ποτοῖς. Ἀρκετὰ δὲ ταῦτα ἐν τούτοις· πᾶν γὰρ τὸ πολὺ τῇ φύσει πολέμιον, τὰ δὲ κατὰ μικρὸν ἀσφαλῆ (1). Δριμυφαγίας δὲ πάσης καὶ πικροφαγίας ἀπέχεσθαι. Ἐκ δὲ τῶν ἰχθύων, παντοῖα ἐσθίειν, ἄνευ τῶν ἀλεπίδων· τοὺς δὲ λάβρακας (2), καὶ κεφάλους ἐσθίειν συχνῶς. Καὶ ἐκ τῶν ὀσπρείων, τὸν ἄλικα δίεφθον καὶ ὑδαρώτερον καὶ καρυκευτὸν μέλιτι, σλάχει (3), κινναμώμῳ, καὶ οἴνῳ εὐωδεστάτῳ. Τὸν δὲ κύαμον, τουτέστι φάβα, βρέχειν δεῖ καὶ ἐκζένειν καλῶς, καὶ ἅλασι καὶ ἐλαίῳ ὀμφακίνῳ καλῷ ἐπιβάλλειν. Λαμβάνειν δὲ καὶ τῆς τίλης τὸ σπέρμα, τουτέστι κέριν (4), ἀπόθερμον (5), δίεφθον, ἀρτυθὲν μέλιτι καὶ σλάχει. Πλύνεσθαι δὲ δεῖ τὴν τίλην τρίτον, καὶ τρίβειν ταῖς χερσὶ, καὶ τότε ἕψειν, καὶ μετρικῶς ἀποζεματίζειν· ἐὰν γὰρ πάνυ ἀποζεματισθῇ, γίνεται δύσπεπτος, ἐφεκτικὴ καὶ πονηρὰ, καὶ ἐμφρακτικὴ κοιλίας· μὴ πάνυ δὲ ἀποζεματισθεῖσα τὸν ἴδιον χυλὸν, τουτέστι τὴν ἰδίαν πικρίαν, γαστέρα ἐμφράττει (6). Γλύκαινε οὖν τὴν πικρίαν αὐτῆς μέλιτι. Λαθύριν δὲ καὶ αὖχος,

(1) Hunc aphorismum ex Hippocrateis mutuatus est medicaster.

(2) Codex, λαύρακας, ut et in Aprili; sic in Maio νεύρων pro νέβρων. Hæc permutatio est notissima. Miror Boivinum in Gregora VI, 5, 3, e codice recepisse γάβρων ἵππων, pro γαύρων, idque non fuisse nuper ab editore doctiss. correctum.

(3) Finis vocis est anceps. Mox codex, κινάμωμον.

(4) Cf. nota ad Hieroph. p. 219.

(5) Codex, ἀπὸ θερμόν. Intelligo esse frigidum. Hierophilus in loco simili videtur corruptus: ejus verba ἀπὸ θερμῶν διεφθῶν, quæ tunc verti qua potui, nunc mutanda puto, et rescribendum, ἀπόθερμον, δίεφθον, vel δίεφθον. In Hierophili Novembre jam nescio an verba τὸ ἀπόθερμα τῆς τίλης intelligenda sint de decocto fœnigræci; quam animadversionem admove nostro in Novembris fine.

(6) Locus est mendosus, quem collatus Hierophilus poterit resarcire.

ἀλεστά· τὸν δὲ φασίουλον, τοῖς εὐαρέστοις, λαμβάνειν ἐκζεστὸν, δίεφθον ὀξυμέλιτι. Ἐκ δὲ τῶν λαχάνων, σεῦτλον καὶ μολόχιν, καὶ χρυσολάχανον ἐσθίειν, καὶ πάντας τοὺς ἀσπαράγγας (1), καὶ ἀμανίτας, ἄνευ τῆς βρυονίας καὶ τῆς χαμαιδάφνης, διότι πικρά εἰσίν. Ἐκ δὲ τῶν συνθέτων, ἐσθίειν ἐλαίας κολυμβάδας καὶ ὀξυμέλιτα ἐκ διαλείμματος (2). Καὶ δριμέος παντοίου μηδόλως ἅπτεσθαι τὸν μῆνα τὸν μάρτιον, ἀλλὰ παντοῖα γλυκέα ἐσθίειν. Ἐκ δὲ τῶν ὀπωρῶν πασῶν, τὰς προλεχθείσας, φοίνικας κατὰ χρέος. Ἐκ δὲ γλυκοποσίας, λαμβάνειν κονδῦτον, ἔχοντα πέπερι, κιννάμωμον, καρυόφυλλον, καὶ στάχος πλεῖστον. Καὶ λουτρὰ τὸν μῆνα ἕξ, τὰ μὲν τρία χρίεσθαι ἐν ἡμέρᾳ γ΄, ὥρᾳ γ΄, ἄνευ τῆς ἀλόης καὶ τῆς σμύρνης· τὰ δὲ ἄλλα τρία λουτρὰ λούεσθαι ἐν ἡμέρᾳ πέμπτῃ, ἄνευ τοῦ χρίσματος. Σμήγματα δὲ ὅσα διὰ νίτρου. Οἴνου δὲ λεπτοῦ καὶ εὐωδεστάτου, καὶ ἐλαιοχρόου (3) μεταλαμβάνειν· καὶ συνουσίας μετρίως.

Μηνὶ Ἀπριλλίῳ.

Ἁρμόζει μὴ ἐσθίειν (4) ῥάφανον ἢ ἡδύοσμον, κάπαριν, πεπερηκύμινον, θρίμπον (5), καὶ πάντων τῶν δριμέων ἀπέχεσθαι παντάπασιν. Ἐν δὲ κρεοῖς (6), ἁρμόζει ἐσθίειν τρυφερὰ καὶ εὔσαρκα, οἷον ἄρνας νεμομένας καὶ γαλακτοτρόφους, καὶ ἐρίφους γαλακτο-

(1) Ita codex.

(2) Codex, διαλήμματος.

(3) Οἶνος ἡλιόχροος Hierophili, unde impediebar, hinc forsan mutandum.

(4) Ex pleniore et diserto hoc præcepto patet in simili loco Hierophili male me fuisse versatum.

(5) Ita codex. Forsan θρύμβον.

(6) Ita codex. Mox τριφερά, et infra τριφεράς.

τρόφους· καὶ ὅσα διαπρόβεια (1) κρεῶν τῶν νέων καὶ εὐνούχων, ψαχνὰ καὶ δίεφθα· ἐκ τούτων λαμβάνειν καὶ ζωμοὺς μετρίως καρυκευτοὺς, διὰ τὸ εὔλυτον ποιεῖν τὴν κοιλίαν. Τῶν δὲ χοιρείων ἀπέχεσθαι χρή. Ἐκ δὲ τῶν ὀρνέων, ἐσθίειν ὄρνιθας καὶ ὀρνιθόπουλα τὰ ἄῤῥενα, καὶ περιστερόπουλα τὰ λευκὰ, καὶ νήσσας, καὶ χῆνας τρυφερὰς, ψαχνὰ καὶ δίεφθα, καὶ γλυκέα, καὶ ὀπτά. Γλυκοφαγεῖν δὲ καὶ γλυκοποτεῖν, ὡς προλέλεκται. Καὶ ἐκ τῶν ἰχθύων, λάβρακας καὶ κεφάλους, συάκια καὶ χρυσάφια, καὶ φάγρους, ζωμῷ ὀλίγῳ, καρυκευτῷ· λαπίνας δὲ καὶ χάνους, καὶ κοκίμια, σαύρους καὶ μελανόρους (2), καὶ, ἁπλῶς εἰπεῖν, ὅσα μαλακόσαρκα, ἔχοντα λέπια, ἐσθίειν τηγάνου, καὶ ἐργ (3), ὡς εἴρηται· ὀλίγον δὲ καρυκεύειν καὶ μὴ πλεῖστα. Ἐκ δὲ τῶν ὀσπρείων, παντοίων ἀπέχεσθαι τῶν ξηρῶν, τὰ δὲ χλωρὰ ἐσθίειν μετὰ τῶν προλεχθέντων κρεῶν. Καὶ ἐκ τῶν λαχάνων, ὄξει σκιλλιτικῷ (4) χρυσολάχανον, ἄνηθον, κολίαντρον χλωρὸν,

(1) Codex, *διαπρόβια*. Forsan *καὶ ὅσα δὴ πρόβεια*.

(2) Ita codex.

(3) Compendium *ἐρ* non satis scio qui legam. Confer nomen *ἔργον* in Januario, *ἔργα* in Junio, quæ non intelligo.

(4) Codex, *σκηλητικῷ*. In Junio est *κηλητικῷ*. Eadem permutatione vocalium *η* et *ι* scriptum est *σμίγματα* in Septembre, Martio ac Junio, *σμίχεσθαι* in Aprili, *σμιχόμενος* in Januario. Auctor Vitæ Platonis in Bibliotheca antiq. liter. Tychseniana, part. v, p. 17: *τὸ γὰρ τὰς τηβάδας κυκλοτερεῖς εἶναι αὐτὸς πρῶτος ἐφεῦρεν, ὡς πολυχωρητοτέρας*. Lego *τὰς σιβάδας*. Circularem ac rotundam tororum formam primus reperit Plato, qui sic sunt capaciores. Dixerat auctor de Platone, *εὗρεν δὲ καὶ πολιτικά*, quod ea circa *τηβάδων*, potius *σιβάδων*, formam inventione confirmat. Non sunt *πολιτικὰ* *politica*, sed civilia, quæ ad civilem ac communem vitam pertinent. Judicet editor doctissimus, quem hic locus valde impediebat, de mea lectione et interpretatione, si forte tenuia mea in ejus manus scripta inciderint.

μαρούλια, ἐσθίειν, καὶ ὀξυγαρίζειν· καὶ σκόροδα χλωρὰ ἐσθίειν μετρίως, ἐλαίῳ καὶ ἅλατι πρὸς ὀλίγον. Ἐκ δὲ τῶν ὀπωρῶν, παντοίας ξηρὰς ἀπέχεσθαι. Καὶ ἀνισάτους (1) χρᾶσθαι. Μυρία ὀσφραίνεσθαι, οἷόν τι νάρδον, κρίνα, χαμαίμηλα τὰ εἰς ὀσμὴν, καὶ τῶν ξηρῶν μυρίων τὸν μόσχον καὶ ῥοδόσταγμα. Καὶ μετρίως ἀφροδισιάζειν. Λουτρὰ δὲ ὀκτὼ δι' ὅλου τοῦ μηνός. Σμήχεσθαι δὲ σαπωνίῳ γάλακι (2). Ψίλωθρον δὲ δεῖ χρίεσθαι ἅπαξ τοῦ μηνὸς, ἄνευ τῆς ἀλόης καὶ τῆς σμύρνης· εἰ δὲ μὴ, μόνον λυτὸν ἔχον κρόκον ὠῶν τριῶν καὶ ῥοδέλαιον· καὶ ταῦτα ποιεῖν, ὡς προείρηται.

Μηνὶ Μαΐῳ.

Ἁρμόζει μὴ ἐσθίειν πᾶν κεφάλαιον (3) καὶ κακόχυμον καὶ κωλῶδες (4), οἷόν τι ποδοκέφαλα καὶ ἐντερόκοιλα, καὶ νευρώδη. Ἐσθίειν δὲ καὶ τὰ προλεχθέντα κρέα τῷ ἀπριλίῳ μηνί· καὶ ἐκ τῶν ἰχθύων τοὺς παστοὺς καὶ ξηρούς. Νέβρων δὲ θαλάσσης ἀπέχεσθαι χρή. Διάγειν δὲ καὶ πολιτεύεσθαι κατὰ τὸν προλεχθέντα ἀπρίλιον, ἔν τε τροφαῖς καὶ ποτοῖς, καὶ λουτροῖς. Καὶ ἐκ τῶν λαχάνων, ἐσθίειν ἐλαιοσπάραγγον (5) καὶ ἀγριοσπάραγγον. Ξυροζέκαι (6) τε καὶ ἀπόθερμα, καὶ μίλια, καὶ ὑδρόγαρον (7) καὶ τίλην, πάντα τὰ

(1) Subaudi οἴνους, ni nonnulla perierint. Conf. Hierophilus ad eumdem mensem.

(2) Forsan γαλλικῷ vel γαλαπκῷ. Conf. Hierophilus.

(3) Ita codex. Forsan καρφαλέον. Hierophilus poterit et eodem modo sanari.

(4) Forsan χολῶδες.

(5) Sic codex. Conf. Hierophilus.

(6) Obscuram abbreviationem in fine non potui capere, nec repræsentare possum. Est quoque vox corrupta in prima syllaba. Cogitavi de ξηροζέματα.

(7) Codex, ἰδρό.

ξηρὰ καὶ ἁλμυρὰ καὶ πικρὰ, μὴ ἐσθίειν. Γλυκοφαγεῖν δὲ καὶ γλυκοποτεῖν μετρίως, καὶ ὡς παραλέλεκται τῷ ἀπριλίῳ μηνί. Ὡσαύτως καὶ χρᾶσθαι λουτρῷ, χρίσμασι, σμήγμασι (1), καὶ ἀφροδισίοις.

Μηνὶ Ἰουνίῳ.

Ἁρμόζει ῥοφᾷν ὕδωρ ψυχρὸν βρόχθους τρεῖς, νήστης, ῥοφήματα δὲ μικρὰ καὶ μὴ ἀπλήστως· καὶ ἐπινηστεύειν ἕως ὥρας τρίτης. Καὶ πᾶσι τοῖς γλισχροτέροις μετρίως χρᾶσθαι, τῶν δὲ δριμυτέρων καὶ ξηρῶν ἀπέχεσθαι, καρυοφύλλων, κινναμώμου (2), καὶ ὅσα διὰ τῶν ἀρωμάτων ἐσθίειν (3). Ἐκ δὲ τῶν κοδιμέντων, σκόροδα, κρόμυα, ῥάφανον, εὔζωμον, κάρδαμον, σίναπι (4) χλωρὸν καὶ τριπτὸν, ὀρίγανον, ὕσσωπον, πήγανον, πράσα, χαμαιδάφνην, μὴ ἐσθίειν. Ἐκ τῶν κρεῶν, ἐσθίειν τὰ πρόβεια τὰ τρυφερὰ, ὕστερον τῶν κριῶν καὶ εὐνούχων· λάμβανε δὲ ψαχνὰ καὶ δίεφθα· στέατος δὲ μὴ ἅπτου· αὐτὸ δὲ τὸ κρέας λιπαροῦ κριοῦ ἔστω. Δεῖ ἐσθίειν καὶ ἀρνοὺς νεμομένους καὶ γαλακτοτραφοῦντας ψαχνοὺς καὶ διέφθους, μὴ καρυκεύειν δὲ τὸ σύνολον, ὡς εἴρηται, ἄνευ τοῦ κολιάντρου καὶ στάχους καὶ ἀνίσου. Ἔργα (5) δὲ ἐσθίειν μετρίως. Καὶ ἀπέχεσθαι ζεματοποσίας παντοίας. Καὶ ἐκ τῶν ὀρνέων, ἐσθίειν ὄρνιθας καὶ ἀλεκτορόπουλα, καὶ περιστερόπουλα λευκὰ, βρακατὰ, ψαχνὰ, δίεφθα καὶ ὀπτά. Καὶ ἐκ τῶν οἴνων λαμβάνειν

(1) Codex, σμήχμασι. Id nomen librario sæpius fraudi fuit: conf. pag. 417.

(2) Codex, κινναμώμου.

(3) Forsan ἐσθίειν ἔθος. Eu solitem est loci sententia. Potest et major esse lacuna.

(4) Codex, σύναπι.

(5) Sic codex. Conf. p. 417, n. 3.

τοὺς λεπτοὺς καὶ εὐώδεις, μὴ παλαιοὺς, ἀλλὰ χροακούς (1). Καὶ ἄνισον λιτὸν πίνειν μετὰ θερμοῦ. Ἐκ δὲ τῶν ἰχθύων, πάντας τοὺς τρυφερσάρκους ἐσθίειν, οἷον λαπίνας, κόκκυκα (2), χάνους, σπάρους, σκάρους, χρύσαφους (3), γοβιοὺς (4), καὶ ὅσα μαλακόσαρκα· λάβρακας (5) δὲ καὶ κεφάλους, γυλάρους (6), τρίγλας, σκορπιοὺς, ἀστακοὺς, πάγρους, καὶ ὅσα ὀστρακόδερμα καὶ σκληρόσαρκα, μὴ ἐσθίειν. Ἔστωσαν δὲ τὰ ἐμβάμματα τῶν προβάτων ὀξυμέλιτι. Τοὺς δὲ τῶν ὀψαρίων ζωμοὺς καρυκεύειν διὰ στάχους καὶ κολιάντρου χλωροῦ, καὶ τὰ τήγανα (7) μετρίως. Ἐκ δὲ τῶν λαχάνων, ἐσθίειν χρυσολαχάνου τρυφερά, σεῦτλον, κολοκύνθην (8), μετὰ τῶν εἰρημένων κρεῶν, καὶ αὐτὰ (9) ὀξυμέλιτι, καὶ ἀνδράχνην ἑφθὴν μετὰ κρέατος· ὀξύγαρον (10) δὲ μερικῶς· μαρούλιν (11), ἰντύβιον, σελίνιον (12) ἐν ὄξει σκιλλιτικῷ βαπτόμενον, μετρίως. Κατὰ πολὺ γὰρ ἐσθιόμενον τὸ μαροῦλιν ἀμβλύνει τὰς κόρας τῶν ὀφθαλμῶν. Ἐκ δὲ τῶν ὀπωρῶν, ἄσπρα κεράσια (13), καὶ ἄγγουρα (14) ἐσθίειν μετρίως· ὅσα δὲ ἔξω τῶν ἐγγεγραμμένων ἐν τῷ μηνὶ τούτῳ, ἀπέχεσθαι χρή. Λουτρὰ δὲ ὀκτώ· ψίλιθρον

(1) Codex, χρωακούς.

(2) Codex, κόκικα.

(3) Sic codex. Forsan χρύσαφον, vel χρυσάφους, vel χρυσάφια.

(4) Sic. An κωβιούς?

(5) Videtur esse λαύρους in codice.

(6) Codex, γιλάρους.

(7) Codex, τή. Potest τήγανον et de ipso cibo dici cocto in sartagine.

(8) Codex, κολοκύν.

(9) Codex, αὐ.

(10) Codex, ὀξίγαρον.

(11) Codex, μαροῦ. Vide not. ad Hierophilum p. 229.

(12) Sic scripsi, non σέλινον, quoniam vocis abbreviatæ tonus est super λί.

(13) Codex, κερα.

(14) Codex, ἄγκουρα.

δὲ μηδόλως· σμήγματα τῶν αὐτῶν ἅπαντα, ἕως κδʹ. Καὶ ἀφροδισιάζειν μετρίως.

Μηνὶ Ἰουλίῳ.

Ἁρμόζει ἀφροδισίων, καὶ πλείστης τροφῆς παντοίας, μόχθου τε βιαίου (1) καὶ πλείστης κραιπάλης, ἀπέχεσθαι. Ἐν δὲ κρεοῖς, ὡς προλέλεκται τῷ ἰουνίῳ μηνί· χρὴ δὲ λαμβάνειν κρέα αἴγεια, τρυφερά, εὐνοῦχα· λαγῶν δὲ, καὶ δορκάδας καὶ ἐλάφους, τρυγόνας καὶ φάσσας ἐσθίειν μετρίως· ἄνευ δὲ ὄξους ταῦτα μὴ ἐσθίειν. Ἐν κοδιμέντοις, ὡς προλέλεκται τῷ ἰουνίῳ μηνὶ, μὴ δριμέα (2) καὶ πικρὰ καὶ θερμά *****

(1) Codex, βίου. (2) Codex, δρυμέα.

ΙΠΠΟΚΡΑΤΗΣ ΚΩΟΣ

ΠΤΟΛΕΜΑΙΩ ΒΑΣΙΛΕΙ

ΧΑΙΡΕΙΝ.*

Ἐπιμελούμενοι (1) τῆς σῆς ὑγιείας, ὦ βασιλεῦ, καὶ ταύτης φροντίδα τιθέμενοι, τὸ κράτιστον τῶν τῇ διαίτῃ καὶ τῷ σώματι καθηκόντων ὑποθέσθαι σοι ἀκριβῶς κατανοήσαντες, τὰ ἀποβαίνοντα τῷ ἀνθρωπίνῳ σώματι ἐξ ἑκατέρων, ἄστρων τε καὶ ὡρῶν καὶ

* E codice regio 1630, pag. 215, 1; in quo lemma : ἐπιστολὴ Ἱπποκράτους πρὸς Πτολεμαῖον βασιλέα· πῶς δεῖ τὸν ὅλον χρόνον πράσσοντα ὑγιῆ διατηρεῖσθαι. Lemma probabilius sumsi e codice 2301, p. 124, 1, in quo, post χαίρειν, ἐπιστολὴ, quod additum est inopportune, omisi. Suppositítiam esse epistolam præfixum medici nomen statim prodit. Quid enim esse potuit commercii epistolici Hippocrati illi cum rege Ptolemæo? quod et intellexerat librarius, qui codici 2301 indicem præfixit. Ejus enim verba sunt hujusce modi : συνταγμάτιόν τι ἀπιθάνως ἐπιγραφόμενον Ἱπποκράτους, Πτολεμαίῳ τῷ βασιλεῖ προσφωνηθέν. Sed reponi potest ætate Ptolemæi medicum vixisse, cui nomen fuerit Hippocrati, ac Cos patria; quod præfracte negare nolim. Jam in ipsum inquirere Ptolemæum, quis e tot Ptolemæis fuerit, prorsus frivolum opinor. Indubitanter quidem Lemonius, vel Boivinus, in Fabricii Biblioth. Gr. t. XI, p. 575, scripsit Ptolemæum esse Aloritem Macedoniæ regem, quem vellem id vel verbulo confirmasset. Exstare videtur et in aliquo epistola codice sub nomine Dioclis ad Antigonum regem, siquidem id tituli versioni latinæ est impositum quæ Meletio De structura hominis addita fuit : vide Hasium in Notitiis Mss. t. IX, II, p. 130; a quo etiam id didici epistolæ ipsi Dioclis in codice 1631 duplex fuisse præfixum nomen et Dioclis et Hippocratis, hocce scilicet modo : ἐπιστολὴ καὶ διαθήκη Διοκλέους καὶ Ἱπποκράτους προφυλακτικὴ περὶ τῆς ὑγιείας πρὸς Ἀντίγονον τὸν βασιλέα. Quum sit utriusque epistolæ magna circa argumentum ejusque tractationem similitudo, hinc nominum confusio.

(1) Cod. 1630, vel A, ἐπιμελόμενοι. Scripsi ἐπιμελούμενοι,

κέντρων, ὑποτετάχαμέν σοι, ἀναγράψαντες ἐν κεφαλαίοις καὶ πεπομφότες σοι, ὥστε προγινώσκειν τὰ μέλλοντα, καὶ βοηθεῖν τῇ τῆς διαίτης ὕλῃ, ἵν', οὕτως ποιῶν, ἐῤῥωμένος διατελέσῃς τὸν ἅπαντα χρόνον.

Γνωστέον οὖν τὴν τῆς ὑγείας δύναμιν ἀκριβῶς, ὁποία δὴ εἰς ὠφέλειαν ὑπάρχει τῷ ἀνθρωπίνῳ γένει.

Ἔστι δὲ ὁ λόγος πρῶτον μὲν περὶ τῆς ἐγκυκλίου σφαίρας κοσμικῆς τε καὶ τροπικῆς.

Ἀπὸ πλειάδος δύσεως μέχρι τροπῶν χειμερινῶν, ἡμέραι μθ', τουτέστιν ἀπὸ μηνὸς νοεμβρίου ιϛ', ἕως δεκεμβρίου πληρουμένου. Αὗται αἱ ἡμέραι (1) αὔξουσι φλέγμα πολὺ σφόδρα· διὸ χρῶ τοῖς λουτροῖς, καὶ πλείοσι ξηροτριβίαις καὶ τροφαῖς, καὶ ἀφροδισίοις.

Ἀπὸ δὲ τροπῶν χειμερινῶν ἕως ἰσημερίας ἐαρινῆς, ἡμέραι πδ', τουτέστιν ἀπὸ μηνὸς ἰανουαρίου πρώτης μέχρι μηνὸς μαρτίου κε'. Αὗται αἱ ἡμέραι αὔξουσιν ὑγρασίας καὶ ἐμέτων πλῆθος (2)· διὸ χρῶ τοῖς περιπάτοις καὶ ἐμέτοις καὶ λουτροῖς πυκνοῖς, καὶ τροφαῖς (3), καὶ ἀφροδισίοις.

Ἀπὸ δὲ ἰσημερίας ἐαρινῆς ἕως πλειάδος ἀνατολῆς, ἡμέραι μθ', τουτέστιν ἀπὸ μηνὸς μαρτίου κϛ' (4) ἕως μηνὸς μαΐου ιγ'. Αὗται αἱ ἡμέραι εἰσὶν ἐαριναὶ, καὶ

quod reperit Hasius, quem vide l. l. Longe diversa est codicis 2301, vel B, scriptura, scilicet: τῆς σῆς ὑγιείας, βασιλεῦ, ἐπιμελούμενος ἅμα τε καὶ τῆς πάντων, ἐσπούδαξα ὑποθέσθαι σοι τὰ ἀποβησόμενα τῷ ἀνθρώπῳ ἐν τῷ σώματι, ἅπινα καὶ ἐν τοῖς ὑποτεταγμένοις κεφαλαίοις ἔταξα, ὅπως προγινώσκεις (leg. προγινώσκοις) βοηθεῖν ἐν τῇ διαίτῃ. Ἔστι γὰρ λόγος πρῶτον μὲν περὶ τῆς ἐν κύκλῳ σφαίρας κοσμικῆς τε καὶ τροπικῆς οὕτως ἀπὸ πλειάδος δύσεως καὶ μέχρι τροπῶν.....

(1) B, αὗται αἱ ἡμέραι χειμεριναὶ τροπαί. Mox B, λοετροῖς.

(2) B, αὗται αἱ ἡμέραι εἰσὶ χειμεριναί· αὔξουσι δὲ ὑγρασίας καὶ ἐμετούς.

(3) B, περιπάτοις καὶ λοετροῖς καὶ τροφαῖς.

(4) B, εἰκοστῆς πέμπτης.

αὔξουσιν αἷμα πλέον· διὸ χρῶ τοῖς εὐώδεσιν οἴνοις καὶ ἀκράτοις καὶ θερμοῖς, καὶ πυκνοῖς ἐμέτοις, καὶ πόνοις (1), καὶ ἀφροδισίοις.

Ἀπὸ δὲ πλειάδος ἀνατολῆς ἕως τροπῶν θερινῶν, ἡμέραι μϐʹ, τουτέστιν ἀπὸ μηνὸς μαΐου ιδʹ (2) ἕως μηνὸς ἰουνίου κδʹ. Αὗται αἱ ἡμέραι εἰσὶ τροπαὶ θεριναί. Αὔξουσι δὲ χολὴν πυῤῥάν· διὸ χρῶ τοῖς γλυκέσι καὶ ὑδαρέσι, καὶ λυτικοῖς κοιλίας, καὶ μὴ πονεῖν, (3) μήτε κάμνειν, μήτε ἀφροδισιάζειν, ἀλλ' ἡσύχως διαμένειν.

Ἀπὸ δὲ τροπῶν θερινῶν ἕως ἰσημερίας μετοπωρινῆς ἡμέραι ϟγʹ, τουτέστιν ἀπὸ μηνὸς ἰουνίου κδʹ ἕως σεπτεμβρίου (4) κεʹ. Αὗται αἱ ἡμέραι γεννῶσι (5) μέλαιναν χολήν· διὸ χρῶ τοῖς ψυχροῖς καὶ ὑδαρέσι καὶ εὐώδεσιν οἴνοις, καὶ δεῖ (6) μήτε πονεῖν, μήτε ἀφροδισιάζειν.

Ἀπὸ δὲ ἰσημερίας μετοπωρινῆς ἕως πλειάδος δύσεως ἡμέραι μηʹ (7), τουτέστιν ἀπὸ σεπτεμβρίου κεʹ

(1) B, *αὗται αἱ ἡμέραι εἰσὶ τροπαὶ ἐαριναί· αὔξ. αἷμα· διὸ χρῶ οἴνοις πνώδεσι καὶ ἀκράτοις καὶ θερμίζειν* (l. *θερμοῖς*) *καὶ πόν.*

(2) B, *τεσκαιδεκάτης.*

(3) B, *αὔξ. χολ. π. διὸ χρὴ τοῖς γλ. καὶ ὑδαρέσιν οἴνοις χρῆσθαι καὶ μήτε πον.*

(4) B, *μηνὸς σεπτεβρίου.*

(5) B, *αὔξουσι.*

(6) B sine *δεῖ*. Et poterit quidem abesse, constructione infinitivi nota. Libanius Ep. 330: *πράξας ἐφ' οἷς ἀπῆρας, ἥκειν ὡς τάχιστα*· ubi cf. Wolfius. Ibidem glossator, in cod. 3035 ad *ἥκειν*, *ἐλθὲ*, qui et ad *ἀπῆρας* habet *ἀπεδήμησας*. Illud *ἀπῆρας* nos paulisper abducat ab Hippocrateis nugulis. Æneas Gaz. initio Theophrasti: *Ἐγὼ γοῦν οὐκ οἶδα ποσοῦτον ἀλγῆσαι, ὡς ὅτε παρ' ἡμῶν ἀπῆρες ποικίλης σοφίας σεαυτὸν γεμίσας τοῖς Σύροις· καὶ συχνὸς μὲν ὁ χρόνος, οὔπω δὲ κατέλυσε τὸν ἔρωτα, ἀλλ' ὁμοίως ἀκμάζει ὥσπερ ἂν εἰ χθὲς ὅτ' ἀπῆρες.* Correctior ac recipienda lectio codicis 461: *ἔγωγ' οὖν οὐκ οἶδα ποσ. ἀλγήσας, ὡς ὅ. π. ἡ. ἀπῆρας π. σ. σαυτὸν γ. τ. Σ. . . . . .ὥσπερ ἂν εἰ χθὲς ἀπῆρας.*

(7) B, *μζʹ*. Prosit minutissima observatio meliori scriptori, et fiat *τὸ πάρεργον* quam *τὸ ἔργον* melius. Quantitatum per cifras scripturam nonnunquam fuisse men-

ἕως (1) μηνὸς νοεμβρίου ιϛ΄. Αὗται αἱ ἡμέραι αὔξουσιν ἰχῶρας καὶ χολάς· χρῶ τοίνυν τοῖς δι' ὄξους ἐδέσμασι καὶ δριμέσι (2), καὶ πόνοις καὶ καμάτοις, καὶ ἀφροδισίοις.

Διαιροῦμεν δὲ τὸν ἄνθρωπον εἰς μέρη δ΄, κεφαλὴν, θώρακα, κοιλίαν, καὶ κύστιν.

Ἐὰν οὖν τι μέλλῃ περὶ τὴν (3) κεφαλὴν συνίστασθαι πάθος, τάδε προγίνεται (4) τὰ σημεῖα· σκοτοδινίαι, ἀλγηδόνες κεφαλῆς, βάρος ἐν ταῖς ὀφρύσι, σφυγμοὶ κροτάφων (5), ὀφθαλμῶν δάκρυα, ἀμβλυωπίαι, ῥῖνες ἐμπεφραγμέναι, ἦχος ὤτων. Τούτων οὖν τῶν σημείων γενομένων, δεῖ καθαίρειν τὴν κεφαλὴν, φαρμάκῳ μὲν οὐδενί· λαβὼν δὲ ὑσσώπου καὶ ὀριγάνου τὰς ῥίζας, ἀνάζεσον ἐν γλυκείᾳ ἡμικοτύλῃ, καὶ τοῦτο νῆστις

dorum causam bene norunt grammatici. Auctor Vitæ Platonis in Bibliotheca antiq. litt. Tychseniana part. v, pag. 18 : ὁ γὰρ πθεὶς τῶν Μουσῶν ἀριθμὸς, ἐφ' ἑαυτὸν πολλαπλασιαζόμενος, ἀπογεννᾷ τὸν πα΄ ἀριθμόν. Monemur in notula πθεὶς fuisse ab editore rescriptum pro codicis lectione θεός. Sed θεὸς falsa est interpretatio cifræ θ΄, quæ pro compendio male fuit vel ab editore vel ab aliquo librario habita, retinenda quum esset vel in ἐννέα mutanda. Restituendus igitur hocce modo locus : ὁ γὰρ θ΄ τῶν Μουσῶν ἀριθμός.... Librarii manus non intellecta alii loco ejus opusculi valde nocuit. Hæc est sententia p. 7 : Σωκράτης ὁ τούτου διδάσκαλος, τῇ προτεραίᾳ τοῦ μέλλειν αὐτὸν φοιτῆσαι αὐτῷ, εἶδ' ὄναρ. Ad quæ verba editor ait se προτεραίᾳ dedisse pro προμιᾶς, « quod corrupte legebatur in codice. » Sed προμιᾶς rectissime habet. Notum est librarios in nonnullis formulis verba vel jungere vel separare, scribereque ὅτι μάλιστα et ὁτιμάλιστα, τὸ νῦν et τονῦν, τὸ πρωὶ et τοπρωί, et sic plurima id genus variare, quod et de προμιᾶς et πρὸ μιᾶς tenendum est. Nil ergo mutandum, et, rescripto προμιᾶς τοῦ μέλλ., verterim : « pridie quam esset ad ipsum venturus. »

(1) B, ἀπὸ μηνὸς σεπτεβρίου ἕως.

(2) B, δριμέοις.

(3) B, εἰς τέσσαρα μέρη, οὕτως· εἰς κεφ. εἰς θώρ. εἰς κ. καὶ εἰς κ. Καὶ ἐὰν μὲν συμβῇ εἰς τήν.

(4) B, πάθος συνίς. τάδε προσγίνεται.

(5) B, σκότοι, ἀλγηδ., κεφ. β. τοῖς ὀφρ. σφ. καὶ κρ.

ἀποφλεγματίζου. Τοῖς δὲ ἀμελοῦσι τῶν σημείων τούτων, τάδε ἐπιγίνεται πάθη· ὑπογλαύκωσις ὀφθαλμῶν, ἔμφραξις ἐγκεφάλου, χοιράδες, τριχῶν μάδισις, ἕλκωσις κεφαλῆς, ὀδόντων πόνος (1).

Ὅταν δὲ μέλλῃ περὶ τὸν θώρακα συνίστασθαι πάθος, τάδε προγίνεται (2) τὰ σημεῖα· ἱδρῶτες στήθους καὶ θώρακος, τραχύτης γλώττης, πτύελοι ἁλυκοὶ ἢ πικροὶ (3), πλευρῶν καὶ ὠμοπλατῶν ἀλγηδόνες, οἰδημιὰς προφάσεως προεπικειμένης (4), κνησμονή τε στήθους καὶ βραχιόνων, χειρῶν τε θρόμβοι, καὶ βῆχες ξηραί. Τούτων δὲ οὕτως γενομένων τῶν σημείων, βοηθεῖν (5) δεῖ τῷδε τῷ τρόπῳ· ἁρμόζουσι μὲν γὰρ οἱ ἀπὸ δείπνου ἔμετοι καὶ ἐκ πλησμονῆς γινόμενοι διὰ πάσης φαρμακείας· ὁμοίως δὲ καὶ νήστις λάμβανε τοὺς καλουμένους συρμίους (6). Γίνονται δὲ οὕτως· λαβὼν ῥαφάνεως καὶ καρδάμου καὶ σινήπεως καὶ εὐζώμου σπέρματα, ἑκάστου κοχλιάριον, καὶ διαμασσησάμενος, καὶ ἐκροφῶν κοχλιάριον ὕδατος χλιαροῦ, οὕτως ἔμει. Τοῖς δὲ ἀμελοῦσι τῶν σημείων τούτων, τάδε ἐπιγίνεται τὰ πάθη (7)· πλευρίτιδες, περιπνευμονίαι,

(1) B, ῥῖνες ἐμπ. καὶ ὦτα, καὶ τὰ οὖλα τῶν ὀδόντων μετέωρα γίνεται· τούτων οὖν. τ. σ. προσγιν. τῇ κεφαλῇ, δεῖ καθ. φ. μὲν μηδενί, ἢ λαβὼν ὑσσώπου καὶ ὀρ. τ. ῥ. καὶ ἀναζέσας ὕδατι κοτύλης ἢ ἑψήματος, τοῦτον εὐθὺς ἀποφλεγματίζειν· τοῖς δὲ ἀμελοῦσιν ἐπὶ τοῖσδε τοῖς σημείοις τάδε προσγίνεται π., ὀφθαλμῶν ἀπογλ. ὤτων ἔμφραξις, χοιρ., ἐγκεφάλου σφακελισμὸς τριχῶν μαδίασις, ἕλκ. κεφ. καὶ ὀδ. πόνοι.

(2) B, π. συνίς. τ. προσγ.

(3) B, στήθ. θώρ. τραχύτης, πτύελα ἁλυκὰ ἢ πικρά.

(4) B, ὑποκειμένης.

(5) B, κνισμονὴ στήθ. καὶ βραχιόνων· τούτων δὲ σημείων γινομ. βοηθεῖν.

(6) Fors. συρμαϊσμοὺς. Cf. II, 406.

(7) B, τρόπω· ἐμεῖν ἀπὸ δείπνου καὶ μὴ ἐμπιπλᾶσθαι, ἀλλὰ νήστεις λαμβάνειν κάρδαμα καὶ σίνηπι καὶ εὐζώμου σπέρμα ἀνὰ κοχλιαρίου ἑνός, εἶτα ἐπιρροφεῖν χλιαρὸν ὕδωρ καὶ ἐπινηστεύειν· τοῖς δὲ καταφρονοῦσι ταῦτα τὰ σημεῖα τάδε προσγ. πάθη.

φρενίτιδες, μελαγχολίαι, πυρετοὶ ὀξεῖς, ληθαργίαι, λοιμοί (1).

Ὅταν δὲ μέλλῃ περὶ τὴν κοιλίαν πάθη τινὰ συνίστασθαι, τάδε προγίνεται τὰ σημεῖα· κοιλία συστρέφεται, καὶ ταράσσονται ἐν αὐτῇ τὰ σιτία, καὶ τὰ ποτὰ πικρὰ φαίνεται (2), γονάτων βάρος καὶ ὅλου τοῦ σώματος, νάρκη σκελῶν, πυρετοὶ (3) λάβροι. Τούτων δὲ τῶν σημείων οὕτω γενομένων (4), δεῖ τὴν κοιλίαν τοῖς ἁπαλοῖς κατευνάζειν (5), ἄνευ φαρμακείας. Λαβὼν οὖν λαπάθου καὶ λινοζώστιος, ἔσθιε μετὰ γάρου καὶ ἐλαίου, καὶ σεῦτλα μετὰ μελικράτου καὶ κνίκου καὶ μελιτώματος ἑψηθέντα σφόδρα· καὶ κάτω λύοντα κοιλίας ὠφέλιμα (6). Ἐὰν δέ τι ἐπὶ πλεῖον τῶν προειρημένων σημείων ἐνοχλῇ, πρόσμισγε τούτοις τοῖς προειρημένοις ἑψήμασι καὶ κνίκον· κόψας δὲ καὶ χυλοποιήσας τὴν κνίκον ὕδατι, πῖνε. Ποιεῖ δὲ καὶ τῆς κράμβης τὸ ὕδωρ ἑψημένον πολὺ μετὰ μέλιτος, καὶ προπινόμενον (7). Τοῖς δὲ ἀμελοῦσι τούτων τῶν σημείων τάδε προσγίνεται (8) τὰ πάθη· διάῤῥοιαι καὶ δυσεντερίαι, ἰσχιάδες καὶ ἀποπληξίαι, καὶ κοιλιακαὶ

(1) B, περιπν. νεφρίτιδες, μελ. π. ὀξ. λίθαργοι.

(2) B, πάθος συνισ. τ. προσγ. τὰ σημ. ταράσσει τὰ σιτία καὶ τὰ ποτὰ ἡ κοιλία στρεφομένη, καὶ πικρὰ φαίνεται ταῦτα.

(3) B, νάρκωσις σκελῶν καὶ πυρετοί.

(4) B, τ. οὖν τ. σ. οὕτως γινομένων.

(5) B, κοιλ. ὡς ἁπλοῦν τι κατασκευάζειν.

(6) B, λαβ. γὰρ λάπατον καὶ ἑψήσας μετὰ γ. κ. ἐλ. νῆστις λάμβανε καὶ σεῦτλα μ. μελ. καὶ κνίκον καὶ μέλιτα, τὰ πάντα πεπλικὰ ὄντα καθόλου καὶ λίαν ὠφέλιμα.

(7) B, ἐὰν δὲ πλείω τούτων τῶν προειρ. ἐνοχλῇ γε τοῖς ἑψ. τὸν κνίκον ἢ τῆς κρ. τὸ ὕδωρ πόπισον μετὰ μέλιτος καθεψήσας νῆστις. Non male brassica uti suadet, quæ alvum sistit : cf. Geop. XII, 17.

(8) B, τούτων σημ. τάδε συνίσταται. A, προγίνεται, eraso σ ut videtur.

διαθέσεις, οἷον εἰπεῖν κώλικες καὶ κοιλοστόμαχοι, καὶ τὰ τούτοις ὅμοια (1).

Ὅταν δὲ μέλλῃ τι περὶ τὴν κύστιν συνίστασθαι πάθος, τάδε γίνεται (2) τὰ σημεῖα· σιτίων δοθέντων ὁ στόμαχος πληροῦται, καὶ γίνονται φῦσαι, ἐρυγαὶ, οἰδήματα περὶ τὰ αἰδοῖα. Τούτων (3) οὖν τῶν σημείων γενομένων (4), βοηθεῖν δεῖ τῷδε τῷ τρόπῳ· λαβὼν μάραθρον καὶ σέλινον, ἑκάστου δεσμίδιον χειρόπληθες, προβρέξας αὐτὰ εἰς οἶνον εὐώδη ἡμέραν μίαν, πρόπιε κυάθους β', καὶ κίρνα μετὰ ὕδατος τοῦ ἴσου. Τοῖς (5) δὲ ἀμελοῦσι τῶν σημείων τούτων, τάδε συνίσταται τὰ πάθη· ὕδρωπες, ἥπατος πόνοι, σπληνὸς ὄγκος, φρενίτιδες, στραγγουρίαι, ἐμπρησμοὶ κοιλίας, στρόφοι τε καὶ πόνοι βαρύτατοι (6).

Τούτοις οὖν χρώμενος, εὑρήσεις τὴν τοῦ σώματος ὑγείαν καὶ ἡμῶν τὴν ἔκθεσιν ἀληθῆ (7).

(1) Διαρ., δυσ., ἰσχ. καὶ κολικαὶ διαθ., τὰ στομαχικὰ πάθη καὶ τὰ ὅμοια τούτοις. De lectione κώλικες potest dubitari. A, κυλοστόμαχοι superscripto κω. Visum est scribere κοιλος. Erit κοιλοστόμαχος vacuitatis in stomacho et cavitatis sensus.

(2) B, μέλλει π. τ. κ. πάθος συν. τάδε προσηγ. Est in μέλλει solœcismus. Libanius t. IV, p. 44: ὁ γὰρ ἐπιεικείᾳ πρὸς τοὺς ἠδικηκότας χρησάμενος, ἐπειδὰν ὑπερφρονηθεὶς τύχοι, χαλεπώτερος γίνεται. Melius codex 3017, τύχῃ.

(3) B, σιτίων δοθ. ὁ σ. πλ. ἐρυγῶν καὶ φυσῶν, οἰδ. π. τ. αἰδοῖα, καὶ τὰ οὖρα κωλυόμενα καὶ γλυκώδη, καὶ λιθουρίαι· τούτων...

(4) B, ἐπιγινομένων.

(5) B, λαβὼν μαράθρου καὶ σελίνου τὰς ῥίζας οἴνῳ εὐώδει ἡμέραν μίαν καὶ ζέσας, πρόπιε κ. δύο κιρνῶν μεθ' ὕδατος· λάμβανε δὲ καὶ τὰ ὅμοια τούτοις· τοῖς....—A, κρίνα, quod mutavi in κίρνα.

(6) B, τούτων τῶν σημ. τοιάδε πάθη συν... ὄγκος καὶ ἔπαρσις, φρεν., στραγγ., πληρώσεις (imo πυρώσεις) κοιλ.... πόνοι βίαιοι.

(7) Ultima sententia caret codex A.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΥΠΕΡΤΙΜΟΥ

ΨΕΛΛΟΥ

ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΜΙΧΑΗΛ ΤΟΝ ΔΟΥΚΑΝ

ΑΙΝΙΓΜΑΤΑ.*

α'. — Ἄγγελος.

Ἔστι (1) τι ζῶον λογικὸν, δέσποτα στεφηφόρε,
Ὁρῶν, οὐκ ἔχον ὀφθαλμοὺς, ἐκτὸς ποδῶν βαδίζον,
Ἐστερημένον κεφαλῆς, ἀκέραιον τὰς φρένας,
Πνεύμονος ἄτερ καὶ λοβῶν, καρδίας καὶ κοιλίας,
Ἐστερημένον τοῦ παντὸς, τίνος (2) οὐ λελειμμένον.
Τί τοῦτο; φράσον, ἔξειπε, λέξον (3), δήλωσον, γράψον,
Ὡς συνετὸς (4), ὡς νουνεχὴς, ὡς ὑπερφέρων πάντων.

β'. — Σελήνη.

Σφαῖρά τις (5) ὑπὲρ τῆς γῆς, πετάλοις σκεπομένη,

* E codice regio 968, p. 207. In margine e regione novem primorum ænigmatum scriptum est κιονηδὸν : πολιτικοὶ, ἡρωελεγεῖοι, ἰαμβικοί. Fabricius tria prima ænigmata speciminis vice exhibuit Bibl. Gr. t. XI, p. 699.

(1) Lemma Fabricianum : νοῦς ἢ ἄγγελος.

(2) Cod. et Fabric., τινός. — Illa omnia conveniunt Spiritibus vel Angelis. Græcis quoque Angeli peculiari nomine vocantur, οἱ ἀσώματοι.

(3) Cod. et Fabric., φράσον, λέξον, ἔξειπε, turbatis ac confusis hemistichiis.

(4) « Quippe qui doctus sis ac » sapiens. »

(5) Lemma Fabricianum, οὐρανός, non facit ad rem; aptius est quod e codice protuli, etsi πετάλοις σκεπομένη lunæ vix convenire videatur. An vertendum? « cujus lumen velant arborum » folia. » Nec ὕδατος πεπλησμένη facile de luna dictum fuerit. Primus versus atque secundus

Ὕπτιος ἐπανάκειται, ὕδατος πεπλησμένη,
Καιρῷ προσφόρῳ λάμπουσα, πάλιν μαραινομένη,
Ὅλῳ τῷ χρόνῳ λάμπουσα, φθίσιν οὐ δεχομένη (1)
Ἀλέαν ἀποτίκτουσα, σβεννύουσα τὴν ζέσιν,
Τοῖς εὐπαθοῦσι πρόσφορος, τοῖς δυσπαθοῦσι πλέον,
Νοσήματος (2) γεννητικὴ, λυτήριον τῆς νόσου;
Τίς αὕτη, πορφυρόβλαστε (3); τῆς λύσεως τίς λόγος;

γʹ. — Χρόνος.

Εἶδον ἀρρήτοις ὄμμασι, δέσποτα στεφηφόρε,
Νέον, πρεσβύτην ἐν ταυτῷ τέλειον λελειμμένον,
Ὑψιπετῆ καὶ χθαμαλὸν, κλονούμενον, ἑδραῖον,
Φωτίζοντα, σκοτίζοντα, τέμνοντα, συνουλοῦντα,
Τοὺς μὲν ἐκ γῆς ἀνάγοντα, τοὺς δὲ πρὸς γῆν κρατοῦντα
Καὶ σώζοντα, καὶ τῇ φθορᾷ τῆς ὕλης συμπηγνύντα.

δʹ. — Καπνός.

Εἰμὶ (4) πατρὸς λευκοῖο μέλαν τέκος, ἄπτερος ὄρνις,
Ἄχρι καὶ οὐρανίων ἱπτάμενος νεφέων·
Κούραις δ' ἀπτομένῃσιν (5) ἀπενθέα δάκρυα τίκτω·
Εὐθὺ δὲ γεννηθεὶς λύομαι εἰς ἀνέμους (6).

cucurbitaceo fructui apprime conveniunt; sed λάμπουσα aliud esse quærendum monet. Quærant amplius alii.

(1) Abest hic versus Fabriciana.

(2) Fabricius, νοσήματα.

(3) Cf. p. 164, n. 1. Xanthopulus in catalogo imperatorum: Κλεινὸς Μανουὴλ πορφυρόβλαστος κλάδος.

(4) Exstat anonymum in Anthol. Palat. XIV, 5.

(5) Anthol., ἀντομένῃσιν. Bene ἀπτομένῃσιν: « puellis et pupillis » tactis. »

(6) Symposius ænigm. 8 de fumo: « Sunt mihi, sunt lacrymæ; sed non est causa doloris. » Est iter ad cœlum.... » — Anthol., εἰς αἰέρα.

ε'. — Ἀσκινάρα ἢ Μήκων.

Ἐγκέφαλον φορέω κεφαλῆς ἄτερ· εἰμὶ δὲ χλωρὴ (1),
Αὐχένος ἐκ δολιχοῦ γῆθεν ἀειρομένη·
Σφαίρῃ δ' ὡς ὑπὲρ αὐλὸν ἐείδομαι· ἢν δὲ ματεύσῃς,
Ἔνδον ἐμῶν λαγόνων μητρὸς ἔχω πατέρα.

ς'. — Ὄνυξ.

Ἀνθρώπου (2) μέρος εἰμὶ, ὃ καὶ τέμνει με σίδηρος·
Γράμματος αἰρομένου, δύεται ἠέλιος.

ζ'. — Δέρμα προβάτου.

Ἔζων ὅτ' ἔζων, πλὴν λόγου παντὸς δίχα·
Ἔθανον ἄρτι, καὶ γέμω παντὸς λόγου.

η'. — Τὸ ἐν τῇ Ἐρυθρᾷ θαῦμα τοῦ Μοϋσέως.

Ξύλου μὲν ἡ κλεὶς (3), ἡ δὲ κιγκλὶς ὑδάτων.
Διέδρα λαγὼς, καὶ κύων συνεσχέθη.

(1) Primum versum, quo codex caret, restitui ex Anthologia Palatina, XIV, 58, ubi exstat id ænigma sine auctoris nomine. De papavere ob versum tertium posset intelligi; sed ἐγκέφαλον primi versus unice cinaræ convenit. Est ἐγκέφαλον edulis placenta.—Codex, μητρὸς φέρω.

(2) Exstat et in Anthol. Pal. XIV, 35, pariterque sine auctoris nomine. Chard. Rochettius Miscell. t. I, p. 296, id exhibuit cum alia lectione ὁ καὶ, articulo ita posito ut ferri nequeat. Est ὃ, quod inveni et in cod. 1409, vertendum *idcirco, quare*, δι' ὅ. Basilius Megalomytes infra, ænigmate ί, eamdem sententiam in eodem argumento reddidit conjunctione usus οὐκοῦν, quod est ipsum illud ὃ Psellianum.

(3) Scilicet lignea virga Mosis. Cf. Basil. Megalom. ænigma κα', p. 444.—Theod. Prodromus Tetrast. in Exod. de maris Erythræi transitu: Καὶ τἄλλα μέν σου, ῥάβδε, θελκτὰ καὶ ξένα, Τὸ δὲ σχίσαι θάλασσαν εἰς μέρη δύο, Ξηρὰν δὲ δεῖξαι τὴν πως ὑγρὰν φύσιν, Ἀπαξαπλῶς ἅπαντα νικᾷ τὰ ξένα. Melius in cod. 2831, ξηράν π.

θʹ.—Ἔρως.

Πτερωτός (1) εἰμι, τοξότης καὶ πυρφόρος.
Διπλῆ με συντέθεικε δυὰς γραμμάτων,
Μονάς τε διπλῆ συλλαβῶν. Τὸ πᾶν μάθε·
Τῆς γοῦν κορυφῆς ἠρμένης τῶν γραμμάτων,
Τοῖς βαρβάροις πέφυκα συντεταγμένος (2)·
Ἂν δ' ἡμισευθῶ, σώματος δηλῶ μέρος (3).

ιʹ.—Γραφίς.

Οὐδεὶς (4) σπορεύς μου, καὶ φύω σπορᾶς δίχα·
Τρέφει με πέτρα, καὶ καλοῦμαι πρὸς τόδε (5).
Τέμνει σίδηρος· εἰς δέον τε (6) λεπτύνας,
Ἀνὴρ χαραγμὸν εὐφυῶς ποιεῖ μέσον.
Ὑγρὸν ζοφῶδες ἐκρέει μου συχνάκις·
Τὸ δ' ἐκτελεσθὲν τίμιον βροτοῖς πέλει (7).

ιαʹ.—Τέντα.*

Ἄπειρός (8) εἰμι καὶ κινούμενος δόμος,
Ἐν γῇ βεβηκώς, γῇ δὲ μὴ συνημμένος·

(1) Conf. Basilii Megalomytis ænigma κεʹ, infra p. 445.

(2) Sublato primo elemento, fit Ῥῶς, *Russus*.

(3) Nominis dimidiati particula posterior est ὦς, pro οὖς, *auris*.

(4) Est in codice 1630, inter Basilii Megalomytis ænigmata, cum lemmate κόνδυλος. Est κόνδυλος calamus scriptorius.

(5) Obscurus hic versiculus non est in cod. 1630.

(6) Codex 1630, δέ.

(7) Codex 968, πέλω.

* Nomen est barbarum, vernacule *tente*. Conf. infra Basilii Megalomytis ænigma ζʹ.

(8) Est id ænigma in cod. 2991 A, p. 443, sub nomine τῷ αὐλικαλάμου, deficientibus versibus 2, 9, 10; et cum varietatibus hisce: v. 3, σκέπαρνος, quod et habet codex in ænigmate Basilii; v. 5, τὰ βάραθρα μόνα: v. 6, καὶ πτερῶν: v. 11, εἰ καὶ καταξῃς με.

Οὐ πηλὸς, οὐκ ἄσβεστος ἐξήγειρέ με.
Πείων δὲ καὶ σκέπαρνον οὐ τέτμηκέ με,
Εἰ μὴ κορυφὴν καὶ τὰ βάθρα μου λέγεις.
Φῶς ἔνδον ἕλκω, καίπερ ὢν πεφραγμένος.
Λοξοὺς συνιστῶντάς με κίονας φέρω.
Τῶν κιόνων μου πάντοθεν κλονουμένων,
Τὸ σχῆμα σώζων, ἀβλαβὴς, ἑστὼς μένω.
Τὸ καινόν· εἴ με καὶ καταστρέφεις βίᾳ,
Οὐκ ἂν καταῤῥάξῃς (1) με· σῶος εἰμί σοι·
Ἀνίσταμαι γὰρ, καὶ πάλιν μένω δόμος.

ιβ'. — Ὁ προφήτης Ἀμώς.

Εἷς τοῦ χοροῦ πέφυκα τῶν θεοπρόπων.
Δισυλλαβῶν (2) δὲ γραμμάτων τετρακτύϊ
Τὴν πῆξιν ἔσχον· ἂν δὲ τὴν κάραν τέμῃς,
Νηφάλιον θήσεις με τοῖς βροτοῖς πόμα (3),
Καὶ σωματικῶν ῥυπτικὸν μολυσμάτων.
Διχῆ δὲ διελών με καὶ τεμὼν μέσον,
Μέρος μὲν τοῦ σώματος αὐτίκα νόει (4).
Ἀντιστρόφως δὲ τὴν ἀνάγνωσιν δράσας,
Ἐναντίον θήσεις με τοῖς ἀσωμάτοις (5).

ιγ'. — Κρεῖον.

Τρισύλλαβον (6) πέφυκα. Σὺ δέ μοι σκόπει·

(1) Cod. παράξῃς. Cf. p. 440,7.

(2) Ita codex.

(3) Sublato capite, scilicet α, restat μῶς, *aqua*. Philo de Vita Mosis p. 605 B: τὸ γὰρ ὕδωρ μῶς ὀνομάζουσιν Αἰγύπτιοι. Vide Gaulmin. ad Vitam Mosis p. 194; Passer. Lexicon Ægypt. in MO; Wakefield. Silva crit. t. I, p. 7.

(4) Nomen ὦς, pro οὖς.

(5) Nam si ἀμὼς legeris retroversim, reperies σῶμα. Οἱ ἀσώματοι sunt angeli: conf. p. 429.

(6) Cf. Basilii Megal. æn. ϛ'.

Ζῶόν με γεννᾷ· ζῶον οὔκουν τυγχάνω.
Ἂν μου τὸ πρῶτον ἀφέλῃς τῶν γραμμάτων,
Εὕρῃς με κατάπαυσιν ἀνθρώπων γένους·
Τὸ δεύτερον δὲ γράμμα συναφανίσας,
Γῆς πρὸς θάλατταν ὀξὺ κατίδῃς τέλος·
Κἂν τὸ τρίτον γράμμα δὲ πάλιν ὑφέλῃς (1),
Εὐωδίαν ἔχον με πολλὴν κατίδῃς·
Εἰ γράμμα μου τέταρτον πάλιν ἐκβάλοις,
Ὄντως ὂν εὑρήσεις με, κἂν δίχα τόνου (2).

ιδʹ. — Ναῦς.

Ζῶόν τι πεζὸν (3), ἀλλὰ νηκτὸν, εὑρέθη
Ἔμψυχον, ἀλλ' ἄψυχον, ἔμνουν, ἀλλ' ἄπνουν,
Ἕρπον, βαδίζον, καὶ πτεροῖς κεχρημένον.
Ἄκουε, καὶ θαύμαζε, καὶ δίδου λύσιν.

(1) Codex, ὑφέλης, superscripto ὑφέλοις, hærente scilicet librario ob pronunciationem utriusque temporis similem. Hinc toties in codicibus orta menda, librariis alterutram vocalem eligentibus, eamque sæpe quæ non erat eligenda. Himerius Orat. I, 10: ὕμνητο δ' ἂν καὶ παρὰ Μουσῶν ὁ γάμος. Legerim, ὑμνοῖτο δ' ἄν: ac § II pariter ὕμνητο ἂν mutaverim. Themistius Orat. XXIV, p. 301: μὴ οὖν δὴ καὶ ὑμεῖς ὑπερίδοιτε τοῦ ξενίζειν ἐπιχειροῦντος οὐ λίαν κεχαρισμένοις ξενίοις legi· velim e cod. Valesiano, ὑπερίδητε. Libanius Epist. 1585: αἱ ῥίζαι μένουσί τε καὶ μενοῦσιν, ἕως ἂν ᾖς· καὶ οὐδεὶς μή ποτε αὐτὰς ἐκπίμοι χρόνος, οὐδ' ἂν ἥκιστα ἄρδοις. Wolfius recipere debuisset, quas in nota reliquit, lectiones ἐκπίμῃ, ἄρδῃς. Inveni etiam ἄρδῃς in codd. 2991 A et 3002. Hic exhibet οὔ ποτε αὐτὰς ἐκπίμῃ. Oportuit cum οὐ scribi ἐκτεμεῖ, quod est in altero libro. Et v. 6 codex, κατίδοις, et κατίδῃς. In sensu futuri κατίδω melius quam κατίδοιμι. Est κατίδῃς in codice v. 8. Infra non semel eadem occurret optativi ac subjunctivi aoristi secundi variatio. Hunc prætuli; ille forsan magis placebit aliis.

(2) Interprete tacente, statim lector intelligit ex κρεῖον fieri ῥεῖον, ῥίον, ἴον, et ον sine accentu pro ὄν.

(3) Cui scilicet sunt remi pro pedibus, ut mox vela pro alis.

ιε΄. — Τρυτάνη.

Δίκαιός εἰμι, καὶ δικαίων ἀκρότης·
Ἓξ τὰ σκέλη μου, κἄνπερ οἱ πόδες δύο (1).

ις΄. — Ἰωάννης.

Κλῆσις πέφυκα καὶ Θεοῦ δηλῶ χάριν (2).
Ἐκ σχετλιασμοῦ συλλαβὰς φέρω δύο (3).
Πτῶσίς με θῆλυς συμπεραίνει δευτέρα
Ὑπὲρ γυναικὸς, εἰ διαιρεῖν με θέλεις (4).

ιζ΄. — Εὔα.

Ἀνήρ με γεννᾷ καὶ πατὴρ ὑπὲρ φύσιν·
Ζωὴν καλεῖ με, καὶ θάνατον προσφέρω (5).

ιη΄. — Αἱ Ὧραι.

Ἡμεῖς ἀδελφαὶ γνήσιαι ψυχῶν δίχα.
Ἄλλη μὲν ἄλλης τῷ χρόνῳ πρεσβυτέρα,
Ἶσαι δὲ πᾶσαι τοὺς διαύλους τῶν χρόνων.
Αἳ καὶ καλοῦμεν, οὐκ ἀνοίξασαι στόμα,
Βαδίζομεν δὲ, μὴ πόδας κεκτημέναι.

(1) Sex suspensa funibus vel cruribus, duos habet pedes, lances duas scilicet. Cf. p. 445, κς΄.

(2) Ἰωάννης hebraïce *gratiam* significat : conf. p. 144, n.

(3) Exclamatio doloris est *ἰώ*.

(4) Si dividere velis nomen Ἰωάννης, secundus casus fœmininus nomen claudit, scilicet genitivus Ἄννης, quæ Ἄννα fuit ὑπὲρ γυναικός.

(5) Syncellus Chron. p. 5 D : ἣν (Εὔαν) ὁ Ἀδὰμ λαβὼν ὠνόμασεν Εὔαν, ὃ ἑρμηνεύεται ζωή. Philo, Quis rerum p. 488 D : ἣν καὶ ὁ γήϊνος τοῦς Ἀδὰμ ἰδὼν διαπλασθεῖσαν, τὸν ἑαυτοῦ θάνατον ζωὴν ἐκείνην ὠνόμασεν, κ. τ. λ. Eadem sententia Lamottæus in ænigmate de Eva : « Le » genre humain me doit ses jours, » Quoique de son trépas je sois » aussi la cause. »

Ἐνταῦθά σοι λαλοῦμεν, ὡς ὁρᾶν ἔχεις,
Καὶ πανταχοῦ πάρεσμεν, εἰ σκοπεῖν θέλεις (1).

(1) Non plura sunt in codice regio ænigmata Pselli; sed multo plura exstant in aliis bibliothecis. Vide Fabricium Biblioth. Gr. t. x, p. 77.—Paginæ nimium vacuæ inseram, nec ab argumento recedens, ænigma aliud e codice 968, p. 210, idque bellum, si librario fides : Ἕτερον αἴνιγμα ὡραῖον, ἄνευ στίχων. Σκιά. Ἔστι τις φύσις ἐν θνητοῖς, ἥτις ἐν μὲν τῇ πρώτῃ γενέσει ἐπιμηκεστάτη τὴν ἡλικίαν ἐστίν, πρὸς ἀκμὴν δ' ἐλάσασα βραχυτάτη καὶ πηχυαία γίνεται, αὖθις δὲ πρὸς γῆρας ἐλθοῦσα ἐπιμήκης καθίσταται, οἷα καὶ κατὰ τὸν βρεφικὸν χρόνον ἦν. Conferatur Symposii ænigma de umbra.

ΑΙΝΙΓΜΑΤΑ ΣΥΝΤΕΘΕΝΤΑ

ΠΑΡΑ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΜΙΤΟΥ.*

α'.—Φθόνος.

Φυτοσπόρος τις τῶν κακῶν τῶν ἐν βίῳ
Ἐγὼ τὰ πάντα συλλαβὼν περιφέρω.
Ζητεῖς δὲ μαθεῖν καὶ τίνα κλῆσιν φέρω (1);
Μήτηρ ἐμὴ μὲν συλλαβῶν δυὰς μία (2)·
Διπλῆ δὲ φωτίζει με τριὰς γραμμάτων.
Καὶ πρῶτον ἕν μου, δεύτερον, γράμμα ξέσας (3),
Πανευφυῶς εὕρῃς με (4) χεῖρα θανάτου·
Καὶ δεύτερον δὲ καὶ τὸ πρῶτόν μου πάλιν,
Ζῷον βροτοῖς χρήσιμον εὕρῃς (5) τετράπουν.

β'.—Φῶς.

Οὐδεὶς καθαρῶς τὸν φύσαντά με βλέπει,

* E codd. 1630, p. 138, 2, et 968, p. 208. In illo cognomen auctoris vix potest legi. E literarum evanidarum vestigiis fuisse videtur scriptum μαγρμί. In indice autem, qui in codicis limine exstat, legitur μαγλομῦ. Steph. Lemonius apud Fabricium Bibl. Gr. t. XI, p. 570, legit τοῦ Μαιομὲτ, et vertit ineptissime: « ænigmata composita a Mahomete imperatore. » Codex 968 nitide: ἔπερα αἰνίγματα Βασιλείου τοῦ μεγαλομίτου. Melior fuerit scriptura, μεγαλομύτου: quum sit formatum ab μύτης, *nasus*, cognomen hominis nasi longitudine conspicui. Adde Fabric. Bibl. Gr. t. XI, pag. 698.—In notis A erit codex 1630, B codex 968.

(1) A, κλῆσιν ἔχω.

(2) Ni fallor, λύπη. Joannes Damasc. schol. in Joannis Clim. Epistolam ad Past. c. 2, p. 475: φθόνος δὲ λύπη (ἐστὶ) ὑπ' ἀλλοτρίοις ἀγαθοῖς· leg. ἐπ'.

(3) B, ξύσας.

(4) A, εὗρές με.—Invenitur, demto φ, φόνος, mortis scilicet manus. Conf. schol. Soph. Aj. 157.

(5) A, εὗρες.—Demtis φθ, fit quadrupes ὄνος.

Ἃ δὲ βλέπει τις δι' ἐμοῦ ταῦτα βλέπει (1)·
Κἀγὼ τὸ μοχθεῖν τοῖς ὁρῶσι παρέχω.
Ἐμὴν δὲ κλῆσιν συλλαβὴ πληροῖ μία,
Ταύτην δὲ πάλιν γράμματα μόνα τρία.
Θνήσκω καθ' ἡμέραν δὲ καὶ βιῶ πάλιν.

γ'. — Χαρά.

Πέφυκά (2) τι δισύλλαβον τετράγραμμον ἐν βίῳ,
Παμπόθητον, φιλούμενον, καὶ πάνυ ζητητέον,
Ὡς θυμηδίας πρόξενον καὶ πλῆρες εὐφροσύνης.
Τούτου τὸ γράμμα δὲ τὸ κατ' ἀρχὰς εἰ ξύσεις (3),
Εὑρήσεις πάλιν γεγονὸς λύπης μεστὸν ἀπείρου (4),
Ἀπόθητον τοῖς ἅπασι, μισούμενον, φευκτέον·
Εἰ δέ γε καὶ τὸ δεύτερον (5) πάλιν προσαφαιρέσεις,
Ἴδῃς αὐτὸ γενόμενον γέλωτος πεπλησμένον,
Ἐμπαικτικὸν προσφώνημα κατὰ μελαγχιτώνων (6).

δ'.

Ὅλος (7) ὁ νόμος δι' ἐμοῦ καὶ πάντες οἱ προφῆται
Συνίσταται καὶ τὴν ἀρχὴν λαμβάνουσι καὶ ῥίζαν.
Τὸ δ' ὄνομά μου συμπληροῖ συλλαβῶν δυὰς δίς μοι·

(1) Sol, apud Ovidium Metamorph. IV, 227 : « Omnia qui » video, per quem videt omnia » tellus. »

(2) Ænigma non est in B.

(3) Versus est brevior. Forsan, τοῦ τοιούτου τὸ χ. Est brevior quoque Ephræmii v. 1807 : Τούτου τυραννοῦντος ἐν Παλαιστίνῃ. Lego, Τ. δὲ τυρ.

(4) Invenies scilicet, demto χ, ἀρά.

(5) Secundum, non nominis χαρά, sed nominis ἀρά, elementum si demseris, erit ἆ ἆ, ridentium exclamatio, quam aspirant alii, scribentes ἃ ἅ.

(6) Erant ergo ea ætate scioli qui, nigros homines, monachos scilicet, quum viderent, exclamabant ἆ! ἆ! cum sarcasmo et irrisione.—Codex, ἴδοις, quod et mutabo infra æn. ιά. Cf. p. 434.

(7) Non est in B hoc ænigma.

Τετράκις δὲ τὰ χίλια πάρεξ μιᾶς καὶ μόνης
Μετρῶν εὑρήσεις ἀριθμὸν πάλιν ἐμῶν γραμμάτων (1).

ε'. — Χείρ.

Μέλος πέφυκα σώματος βροτησίου,
Μονοσύλλαβον, βαρὺν τὸν τόνον φέρων·
Τοῦ γοῦν κατ' ἀρχὴν γράμματος κρατουμένου,
Κλῆσιν ποταμοῦ λαμβάνω παραυτίκα (2).

ϛ'. — Κηρίον.

Πτηνόν με (3) γεννᾷ, καὶ βροτὸν (4) μαῖαν φέρω,
Οὗ πρέσβις οὐράνιος ἄπηλος πέλω.
Ἂν δ' ἀποτάμῃς τὴν κατ' ἀρχάς μου κάραν,
Δάκρυα κινῶ (5) καὶ μόνης ἐκ τῆς θέας·
Εἰ δ' ἀφέλῃς (6) μου καὶ κάραν τὴν δευτέραν,
Ποθητόν (7) εἰμι ναυτίλοις ἐν ταῖς ζάλαις·
Εἰ δ' αὖ κεφαλὴν ἀφέλῃς μου καὶ τρίτην,
Ἔαρ τὸ τερψίθυμον εἰς μέσον φέρω (8).
Εἰ δ' ἀποκόψεις καὶ τετάρτην μου κάραν,
Ὕπαρξιν ἐκ ῥήματος καὶ μόνην (9) ἔχω·

(1) Scholium : ἔστι δὲ ἀλφάβητος. Sed ἀλφάβητος non efficit significatum numerum, 3999.

(2) Εἰρ nomen fluvii exstat in Lexico apud Albertium ad Hesych. p. 1112, n. 32.

(3) Cf. p. 433, Pselli æn. ιγ'.

(4) B, βροτῶν.

(5) Scilicet κηρίον movet intuentibus lacrymulas.—A, κιρνῶ.

(6) AB, ἀφελεῖς. Mox A, ἀφέλεις· B, ἀφελεῖς. A, pro κάραν, κράτα.

(7) B, ποθεινόν. Id optime illustrabit Cæsarius Quæstionum initio : ἐπὶ τὴν πλησίον, εἰ τύχοι, νῆσον διὰ τῶν πηδαλίων τὴν ὁλκάδα ἰθύνουσι. . . . ταύτῃ δὲ πλησιάσαντες, καὶ ὑπὸ τὴν σκέπην τῶν ἀκρωτηρίων ὑποφεύγοντες καὶ τοῦ ἀπεύκτου θανάτου παρεισωθέντες.....

(8) Producit scilicet, veris symbolum ac nuntium florem, ἴον, violam.

(9) Præstaret μόνου : scilicet e solo verbo ὄν.

Εἰ δ' αὖ σὺν αὐταῖς καὶ πέμπτην διατέμῃς,
Γραμμαὶ συνιστῶσί με τρεῖς (1). Σοφὲ, νόει.

ζ'. — Τέντα.

Ἀπτερὸς (2) εἰμι καὶ κινούμενος δόμος·
Πρίων δὲ καὶ σκέπαρνος οὔκουν με τέμνει,
Εἰ μὴ κορυφὴν καὶ τὰ βάθρα μου μόνα.
Εἰ γοῦν καταῤῥάξεις με, σῶος εἰμί γε.

η'. — Κοντοπαίκτης.

Ἔστι (3) τι δένδρον τῶν ἀνακτόρων μέσον,
Οὗ ῥίζα καὶ ζῇ καὶ λαλεῖ καρποῖς ἅμα.
Ὥρα δὲ μιᾷ καὶ φυτεύεται ξένως,
Καὶ πάλιν πίπτει καὶ τρυγᾶται ῥιζόθεν.

θ'. — Αἴξ.

Ζῶον μέν εἰμι τετράπουν κερῶν δίχα·
Ἐν εἱρίοις πέφυκα πεπυκασμένον.
Πρώτου δέ μου γράμματος ἐκλελοιπότος,
Μιᾷ συλλαβῇ καὶ τόνοις ἐν τοῖς ἴσοις
Κλῆσιν ἀπεχθοῦς εἰσφέρω ζωϋφίου (4).

(1) Demtis quinque primis elementis, reliquum est N, quod tribus constat lineis.

(2) Confer Pselli æn. ια', supra p. 432. — Non est ænigma in codice B.

(3) Ferme descripsit Juliani Cæsaris ænigma εἰς κοντοπαίκτην, quod exstat Anthol. Pal. App. 42, ad quod vide Jacobsium. Huc referenda Jo. Chrysostomi verba in Casaubonianis p. 54: κόντον ἐπὶ προσώπου λαβεῖν. Scholiastes Dionysii Thracis p. 652: ματαιοτεχνία δὲ ἡ σχοινοβατικὴ, ἤγουν ὁ ἐν τῷ σχοίνῳ περίπατος, καὶ ὥσπερ ὁ κοντοπαίκτης. Vide Cangii Gloss. in Κοντοπαίκτης.

(4) Ex αἴξ, demto α, fit ἴξ, eodem cum tono. Est ἴξ vermiculus vitibus infestus. Vide not. ad Herodian. Epim. p. 58.

ιʹ. — Ὄνυξ.

Μέρος (1) μέν εἰμι σώματος ἀνθρωπίνου·
Οὐκοῦν με καὶ σίδηρος ἐκτέμνει λίαν.
Πέλω (2) δὲ δισύλλαβον· ἀλλ' οὖν, ὑστέρως
Ὀφθὲν μονοσύλλαβον ἐν διαιρέσει,
Δύνω παρευθὺς ἡλίου λαμπηδόνα.

ιαʹ. — Καρίς.

Θάλασσαν (3) οἰκῶ, καὶ βροτοῖς βρῶσις πέλω.
Ἂν δ' ἀφέλῃς μου τὸ κατ' ἀρχὰς στοιχεῖον,
Δόκιμον εὑρήσεις με ταῖς τεχνουργίαις (4).
Εἰ γοῦν ἀφαιρήσειας (5) καὶ μετὰ τόδε
Τὸ δεύτερον, νόει με βρότειον μέλος·
Εἰ δ' αὖ τὸ τρίτον ἐξέλῃς (6) τῶν γραμμάτων,
Ἴδῃς φέρον με ῥώσεως σημασίαν.

ιβʹ. — Ποῦς.

Κατώτερον μέν εἰμι τῶν ὅλων μέρος·
Ἀνώτερον δὲ γίνομαι πάλιν ὅλων,

(1) Confer Pselli æn. ϛʹ, supra pag. 431.

(2) A, τάχα.

(3) Confer infra Aulicalami æn. γʹ. — Καὶ ξανθαὶ καρῖδες, ἐρευθήεις τε πάγουρος, Marcellus Sidetes ait De piscibus v. 32. Quem versum quum describerem, non sine fastidio incidebam in v. 30, sic a Schneidero nimia cum securitate editum: Καὶ μύες εὐθώρηκες καὶ ἀνθήεσσά τε σάλπη. Codex 2408 caret vocula τε, quam quidem non delendam puto. Deleto potius καὶ, et facta transpositione, legendum esse videtur: Καὶ μύες εὐθώρηκες σάλπη τ' ἀνθήεσσα.

(4) Demto κ, fit ἀρίς. Suidas: ἀρίδες· ἡ εὐθεῖα ἀρίς, τὸ τεκτονικὸν ἐργαλεῖον.

(5) A, ἀφαιρήσεις. Demto α, fit ῥίς.

(6) B, ἐξέλοις. Demto ς, videbis roboris significationem, scilicet ἶν.

Πρώτου γράμματος ἀφαιρεθέντος μόνου (1).
Τοῦ δευτέρου δὲ πάλιν ἐκϐεϐλημένου,
Κλῆσιν παρευθὺς λαμϐάνω τετραπόδου (2).

ιγ'.

Ἔχω τραχηλὸν, καὶ κεφαλὴν οὐκ ἔχω·
Τετρασκελής τίς εἰμι καὶ ποδῶν δίχα,
Ἔμπνους τε νεκρὸς, ἀλλὰ χωρὶς ὀστέων.

ιδ'. — Γύψ.

Ἔστι (3) τι πτηνὸν μονοσύλλαϐον πέλον·
Κλώνοις κάθηται μονοσυλλάϐου δένδρου (4),
Καὶ κατεσθίει μονοσύλλαϐον θῆρα (5).

ιε'. — Βιϐλίον.

Λευκὸν πεφυκὸς, ᾠὸν οὐδαμῶς (6) πέλω·
Φύλλα φέρων δὲ, ῥαφανὶς οὐ τυγχάνω.
Θείους δ' ἐν αὐτῷ καὶ σοφοὺς λόγους φέρον,
Καὶ τραπέζῃ δὲ κείμενον καὶ πολλάκις,
Πρὸς βρῶσιν οὐκ ἔτ' εἰμὶ τισὶν (7) δεκτέον.

ις'. — Νοῦς ἢ Οὐρανός.

Τοῦ παντὸς ἐκτὸς καὶ κινοῦμαι καὶ τρέχω·

(1) Scilicet ex πoῦς fiet oῦς, ex parte ima corporis pars superior.

(2) Ex oῦς, demto o, fit ὗς, quadrupes sus.

(3) Lemma in B est γὺψ, quod mutavi; in A est χρύψ. De avis nomine dubito. Γὺψ enim, vultur, ramis quercus non insidere solet, nec suem edere. Agi videtur de pico, et ejus præda vermiculo, ἰκὶ, θριπὶ, alio.

(4) Est δρῦς, monente glossatore in AB.

(5) B, θῆρα, adscripta glossa, τὴν ὗν.

(6) B, οὐδαμῶς ᾠόν.

(7) A, τὶ σί. Forsan τὴν σήν.

Πάλιν, τὸν αὐτὸν οὐκ ἀφεὶς τόπον, τρέχω.
Ὁρίζομαι δὲ καὶ τόπῳ μικρῷ τρέχων.
Πῶς οὖν κινοῦμαι, μὴ κινούμενος; λέγε.

ιζ'.

Ἕκτον (1) μὲν οὖν ἵστατο, τὸ δὶς δ' ἐλάλει·
Πέμπτον δ' ἀπηλέγχετο, πρὸς δ' αὖ ἠπόρει
Τὸ δωδέκατον θαυμάζον θαῦμα ξένον.

ιη'. — Κάλως.

Διττὰς συλλαβὰς καὶ τόνον δ' (2) ἕνα φέρων,
Παντὶ βροτῶν χρήσιμος τυγχάνω γένει,
Μᾶλλον δὲ τοῖς πλέουσι θαλάσσης πλάτη.
Τοῦ οὖν κατ' ἀρχὰς (3) γράμματος λελοιπότος,
Συντάσσομαι γῇ, καὶ τρέφω πᾶσαν κτίσιν·
Ἀφ' ὧν νέμω (4) ξύμπασι καρπῶν ἡδέων.
Χωρὶς γὰρ αὐτῶν τὴν βροτῶν πᾶσαν φύσιν (5)
Οὐκ ἔστι ζῆσαι καὶ φυγεῖν μοῖραν μόρου.

ιθ'. — Μῆλον.

Καρπῶν (6) ἁπάντων ἡδύτατόν τι πέλω,
Ἕνα τόνον φέρειν τε συλλαβὰς δύο·
Ἐρωτικῶς δ' ἔχουσι φιλοῦμαι πλέον (7).
Ἀλλὰ τὸ πρῶτον ἀφελὼν τῶν γραμμάτων,

(1) Ænigma non est in B. Integrum esse non puto; utique sensum non assequutus sum.

(2) B, τόνον ἕνα. Mox A, βροτῷ.

(3) B, ἀρχήν.—Demto κ, fit ἄλως.

(4) A, γέμω.

(5) A, τὴν φύσιν. B, π. βρ. φ.

(6) Ænigma non est in B.

(7) Erat malum symbolum olim amoris. Notum malis se petere amantes, qua de re videsis Burdel. ad Heliod. p. 64; Verheyk. ad Anton. Liber. pag. 5; Jacob. ad Luc. Toxar. p. 66; interprr. Aristæn. I, 25, p. 563.

Εὕρῃς με δυσφόρητον σιδήρου γένος (1),
Πεπηγμένον τάχιστα καὶ πλῆστον ἄκρως.

κ΄. — Κάστρον.

Ἐμοῦ στίφη μένοντα (2) τῶν βροτῶν ἔσω
Φρουρῶ μαχησμῶν, φυλάσσω καὶ κινδύνων,
Ἐν γῇ πεπηγὸς καὶ στεῤῥῶς ἡδρασμένον.
Ἀλλὰ παθὸν στέρησιν γράμματος μίαν
Ἐν τῷ πόλῳ δείκνυμι λαμπρὰν ἰδέαν (3),
Καὶ καταφωτίζω δὲ (4) νυκτὸς τὸ σκότος,
Καλλωπίζον μάλιστα τοῦ πόλου πλάτος.

κα΄.

Ξύλον (5) τὸ κλειδὶν, ὕδωρ τὸ κατηνάριν·
Ὁ μὲν λαγὼς ἐκλύτωσεν, ὁ κυνηγὸς δ' ἐσχέθη.

κβ΄.

Ἱδρῶν (6) ὁ γυμνός· ὁ δ' αὖ ἐνδεδυμένος
Ἔτρεμεν δεινῶς· ὁ τρέχων δ' αὖθις ἔστη.

(1) Invenies, demto κ, ἧλον.

(2) A, μένοντας.

(3) Videlicet ἄστρον.

(4) A, τι. Sæpe illas voculas librarii confuderunt. In Dionis Chrys. Orat. xx, pag. 495, 6, Reiskius e conjectura scripsit πολὺ δὲ πλῆθος pro vulgato πολύ τι πλῆθος, paulo inconsideratior: τι enim, quod et mihi exhibuit codex 2958, bene habet. Dionysius Halic. Cens. c. 4: μιμητέον δὲ μάλιστα Ξενοφῶντα καὶ Πλάτωνα τῶν δ' ἠθῶν χάριν καὶ τῆς ἡδονῆς... Grossius, lectore non monito, edidit recte τῶν τι ἠθῶν: quæ conjunctio τι exstat in codice 1741. In eodem loco idem codex lacunulam inter δὲ et μάλιστα exhibet unius vocis capacem.

(5) Conf. supra, p. 431, Pselli ænigma η΄. — Est κλειδὶν forma barbara pro κλειδίον. Κατηνάριν (codex, καπνάριν) est pro κατηνάριον, diminutivo nominis κατήνα, quod ipsissimum est Latinorum *catena*.

(6) Non est in B hoc ænigma. Videtur respici fabula de Sole ac Borea.

κγ'. — Ἀλέκτωρ.

Ἔστι τις ἄρσην ἐξελθὼν λευκῆς πέτρας (1),
Οὗ πώγων ὡς πῦρ ἀπαστράπτει μακρόθεν·
Αὐτοῦ δὲ ποσὶ συνταράσσεται γαῖα·
Αὐτοῦ δὲ φωνήσαντος πᾶς δαίμων φεύγει (2)·
Τούτου τε ταῖς πτέρυξιν ἄνεμος πνέει.

κδ'. — Ἰωνᾶς ὁ προφήτης.

Ἰχθῦς ἡ χύτρα· τὸ δ' ἑψόμενον ἔνδον
Ἔμπνουν, λογικὸν, αἰσθητὸν, ζῶν τε (3) κρέας.
Ὃ δῆτ' ἐξελθὸν θρηνεῖ περὶ λαχάνων (4).

κε'. — Ἔρως.

Οὐκ (5) ἔστιν οὐδὲν τῶν ἐν τῷ κόσμῳ ζώων,
Ὃ μὴ συνέσχον καὶ κατέσχον καιρίως,
Καίων, τιτρώσκων, δίχα πυρὸς καὶ τόξου.
Πλὴν ἀλλὰ παθὼν γράμματος ἄρσιν μίαν,
Ἔθνος δυσμικὸν γίνομαι δοῦλον πάλιν·
Αὖθις ἄλλου δὲ γράμματος αἰρουμένου,
Βροτῶν μέλος γίνομαι. Πῶς; τοῦτο λέγε.

κϛ'.

Δίκαιός εἰμι (6) καὶ δικαίων ἀκρότης·
Ἓξ τὰ σκέλη μου, κἂν οἱ ταρσοί μου δύο.

(1) Πέτρα λευκὴ est ovum.

(2) Prudentius Cathem. I, 38: « Ferunt vagantes dæmonas, Læ» tos tenebris noctium, Gallo ca» nente exterritos Sparsim timere » et cedere. »

(3) A, αἰσθητικὸν π.

(4) Dixit enim Jonas tristem esse animam suam usque ad mortem super colocynthide.

(5) Cf. Pselli æn. ϛ', p. 432.

(6) Cf. Pselli æn. ιε', p. 435.

κζ'. — Σημαντήριν.

Τραφὲν (1) ὄρεσι καὶ φάραγξιν ἀγρίαις (2),
Κήρυξ πέφυκα τῶν λόγων ὑμνῳδίας·
Φωνὴν μὲν οὐκ ἔναρθρον, εὔηχον δ' ἔχω.

κη'.

Δοῦλος. (3) κελεύω σὺν τάχει τῷ δεσπότῃ,
Σαφῶς τὰ μέτρα δηλοποιῶν εὐφρόνης (4)·
«Ἀναστὰς ὕπνων (5), ἔργον εἰς χεῖρας φέρε.»

κθ'.

Ὕδωρ τὴν ῥύσιν ἄνωθεν ἔχω καὶ τὴν αἰτίαν·
Λευκαίνομαι τὴν κεφαλήν· τοὺς πόδας δὲ ψεκάζω·
Χιόνος ὥσπερ ἐμπιπλῶ τὴν φάτνην· περιῤῥέω
Τὴν δ' ὑπόβαθραν τῶν ποδῶν ὕδατος γλυκυτάτου.

λ'. — Ἄρτος.

Ἄπνους μέν εἰμι, τοὺς βροτοὺς δὲ ῥωννύω·
Τὴν κλῆσιν ἔσχον εὐαρίθμητον πάνυ·

(1) Σημαντήριν, id est σημαντήριον, Græcis vocatur, σήμαντρον etiam, lignea tabula qua pro campanis utuntur. Ob materiam σημαντήριον dictum fuit a poeta natum esse in montibus. De illo instrumento vide Allatium De templis Græcorum I, § 3; Magium De tintinnabulis c. 15; Vansleb. Hist. eccles. Alexandr. p. 59; Guillet. Lacedæm. p. 81, qui voce *simadiri* usus est mutanda in *simandiri*, &c.

(2) A, ἀγίοις.

(3) Significari videtur gallum gallinaceum. Non est in codice B ænigma.

(4) Prudentius Cathem. Hymn. I, 1: « Ales diei nuntius Lucem » propinquam præcinit. »

(5) Persii verbis: « Mane, pi» ger, stertis! surge. » Quo in loco fere puto verba, « Mane, pi» ger, stertis », danda esse Avaritiæ loquenti, quæ sic ab abrupto dormientem excitet et increpet, nec esse poetæ narrantis. Judicent grammatici.

Ἀσπάζομαι γὰρ τὸ τριακῶς δὶς μόνον,
Δὶς τριάκοντα καὶ μίαν πρὸς τοῖς δέκα (1).

λα'. — Σῦς.

Ἔχω τρία γράμματα, καί τι (2) τυγχάνω.
Ἑνὸς στεροῦμαι· ταυτὸ τυγχάνω πάλιν (3).
Οὐκ ἔστι καινόν; Ἄλλο τι κρεῖττον μάθε·
Τὴν ἐσχατιὰν τῶν τριῶν μου γραμμάτων
Ἔχω κατ' ἀρχάς, τὴν μέσην ἔχω μέσην,
Καὶ τὴν κατ' ἀρχὴν ἀντὶ τοῦ τέλους φέρω.

λϐ'. — Μῦς.

Ζῷόν (4) τι μικρόν εἰμι τῶν οὐ βρωσίμων·
Τρία μόνον (5) γράμματα τῇ κλήσει φέρω·
Ἂν γοῦν τὸ πρῶτον ἐξέλῃς (6) τῶν γραμμάτων,
Ζῷον μέγα γνοίης με τῶν ἐδωδίμων.

λγ'. — Νοῦς.

Εἰμὶ (7) μὲν ἀσώματος· ὁ φρονῶν, νόει·
Ἔχω δ' ἀριθμὸν τριακοντάκις δέκα (8)
Καὶ τὰ δέκα δίς. Συλλαβὴ δέ μοι μία·
Ἔχω δὲ καὶ γράμματα πάντα δὶς δύο.
Ἂν γοῦν τὸ πρῶτον ἐξέλῃς (9) τῶν γραμμάτων,

(1) Literæ enim nominis ἄρτος numerum efficiunt 671.

(2) B, καί τί.

(3) Idem enim sunt σῦς et ὗς.

(4) Ænigma non est in A. Est in codice 2991 A, p. 443, sub nomine τοῦ αὐλικαλάμου.

(5) Cod. 2991 A sine μόνον, et τὴν κλῆσιν φέρων. B, τῇ κλήσει φέρω.

(6) B, ἐξελεῖς. Mox cod. 2991 A, μέγαν ζῷον εὕρῃς με. — Demto μ, fit ὗς.

(7) Non est in B ænigma.

(8) Imo ἑπτακοντάκις δέκα, quum nomen νοῦς numerum pariat 720.

(9) Codex, ἐξελεῖς, et mox ἐκζέσεις. Hesychius Miles. p. 9 :

Αὐτίκα σῶμα γίνομαι (1) ξένῳ τρόπῳ·
Ἣν δ' αὖ τὸ πρῶτον ἐκξέσῃς τῶν δευτέρων,
Εὐθύς με μάθῃς ζῶον ἓν τῶν ἀγρίων (2).
Ἐμοῦ δὲ τὰ τέταρτα γράμματα πάλιν
Φέροντος, ἄν τις τὸ τρίτον πρῶτον τάμῃ,
Ἀντιστρόφως τε καὶ καλῶς συλλαβίσῃ,
Εὕρῃ με τριγράμματον ἓν μέρος λόγου (3).

λδ'.

Γράμμασι (4) τρισὶ συλλαβὴν μίαν φέρω·
Ἔχω δ' ἀριθμὸν ἐννέα δὶς ἑπτάκις
Καὶ δώδεκα τρὶς καὶ δεκάκις τρὶς τρία,
Καὶ πεντάκις ἓξ καὶ τοὺς πέντε δὶς πάλιν,
Καὶ τετράκις δὶς καὶ πάλιν δὶς τὰ πέντε (5).
Ὁ γοῦν ἀναγνοὺς τὴν γραφὴν, ἀντιστρόφως,
Κἂν τῷ μέσῳ γράμματα προσθήσει δύο,
Εὕρῃ (6) πνοῆς ὄχημα τῆς βιοτρόφου (7).

Ἀρχύτας ὁ Πυθαγορικὸς στρατηγῶν τῶν πολιτῶν οὐδέποτε ἡττήθη· φθονηθεὶς δ' ἅπαξ ἀφῆκε τὴν στρατηγίαν, καὶ οἱ αὐτίκα εἰλήφθησαν. Cod. 3025, ἐλείφθησαν, bono augmento, sed male scripto ει pro η. Dandum igitur Hesychio ἐλήφθησαν.

(1) Scilicet οὖς.

(2) Restat ὗς.

(3) Demto υ, si quis reliquas literas νος retroversim legerit, fiet σὸν, pronomen.

(4) Non est in B ænigma.

(5) Codex, τετράκις τρὶς κ. π. δ. τὰ δύο. Scripsi δὶς, et pro δύο, recepi variantem πέντε, ut fiat numerus 310, quæ summa est arithmetica nominis quæsiti, ῥίς.

(6) Reliqui προσθήσει, barbarismum plus quam solœcismum metuens. Hic εὕρῃ, aptissime futuri sensu, pro εὕροι, quod jam feci nec semel. Juvante iotacismo, talia menda corrigo plerumque. Gregorius Naz. t. II, p. 186: Ὦ τίς φυλάξει ταῦτα καὶ σωθήσεται; Codex 3058, p. 31, 1: καὶ χάριν εὕροι. Mallem, mutatis mutandis, καὶ εὕρῃ χάριν, ni mallem etiam vulgatam lectionem. Ex eodem Gregorii poematio desumta est sententia, Εὐεργετῶν νόμιζε μιμεῖσθαι Θεὸν, quam Joanni Chrys. male tribuit Antonius in mea t. I, pag. 46, allegatus nota.

(7) Jungo ἀντιστρόφως εὕρῃ:

Ἐκ τῶν τριῶν δὲ γραμμάτων πρῶτον ξέσας,
Τῶν ἀρετῶν γνοίης με τῶν πρώτων μίαν.

λε'. — Πρίν.

Τῆς ὀγδοάδος τῶν μερῶν σοι τοῦ λόγου
Ἕν τι πέφυκα· συλλαβὴ δέ μοι μία,
Καὶ γράμματα τέσσαρα· καὶ μέτρον τόσον,
Τετράκις πεντήκοντα, τετράκις δέκα (1).
Ἂν ἀφέλῃς τέσσαρας ἀρχῆς εἰκάδας (2),
Εὕρῃς με κρατὸς διέξοδον ῥευμάτων·
Ἂν δὶς δὲ πεντήκοντα πάλιν ἀφέλῃς (3),
Ἔχεις δύναμιν σὺν Θεῷ σεσωσμένην.

λϛ'. — Ποῦς.

Ἐν γράμμασι τέσσαρσι συλλαβὴν μίαν
Εἰς κλῆσιν αὐχῶ· τῶν βροτῶν δ' εἰμὶ μέλος.
Ὁ γοῦν τὸ πρῶτον ἐξελὼν τῶν γραμμάτων
Εὕρῃ με πάντως ἄλλο τι βροτῶν μέλος (4)·
Τούτων δὲ πάλιν τις τὸ πρῶτον ἐκξέσας (5),
Ἕξει με πάντως ζῶον ἓν τῶν χρησίμων,
Ἐν τῇ τελευτῇ καὶ μόνῃ βροτοὺς τρέφον.

λζ'.

Καὶ (6) τῶν Χερουβίμ εἰμι τιμιωτέρα,

« pariter inveniet respirationis » esse viam qui legerit ῥὶς, et qui, » insertis literis duabus, ῥῖνες legerit. »—In fine datur ἶς.

(1) Ex πρὶν fit summa 240.

(2) Demto numero 80, scilicet π, restat ῥίν.—Mox cod. εὕροις.

(3) Demto numero 100, scilicet ρ litera, habes nomen ἴν.

(4) Qui enim demserit π, inveniet οὖς.

(5) B, τ. δ. π. εἴ τις τὸ πρ. ξέσει. Nominis οὖς prima litera sublata, fit ὗς.

(6) Non est in B. Versu tertio, codex, σπλαγχνοτάτων.

Καὶ τῶν Σεραφὶμ ὑπερολβιωτέρα,
Καὶ στιλπνοτήτων ἡλίου πλέον φέρω.
Μὴ Παρθένον τις ἐλπίση με τυγχάνειν (1),
Γυναῖκά τινα τῶν ἐναρέτων μίαν.
Ἔχω δὲ καὶ γράμματα πέντε καὶ μόνον.

λη'. — Ἰωάννης.

Ἐξ ἑπτὰ συνέστηκα γραμμάτων (σκόπει)
Λύχνος φεραυγὴς τοῦ τρισηλίου φάους.
Ἂν οὖν ἐν ἀρχῇ καὶ τέλει τῶν γραμμάτων
Διττὴν δυάδα προσφυῶς ἀποξέσῃς,
Αὖθις τὸν αὐτὸν ἐννόει με τὴν φύσιν (2).
Καὶ θαῦμα πῶς, μου τῶν ἄκρων τετμημένων,
Σώζω τὸ σύμπαν ἀβλαβὲς τῆς οὐσίας.

λθ'. — Βίβλος.

Ἔστι (3) τις φύσις θήλεια, φωνήεσσα καὶ λάλος,
Καὶ βρέφη (4) περικόλπια σώζει καὶ περικρύπτει.
Ἄγλωσσα δὲ καὶ λαλιᾶς ἀδίδακτα τὰ βρέφη·
Ἀλλ' ὅμως ἔντρανον αὐτοῖς καὶ γεγωνὸν τὸ φθέγμα·
Κἂν τοῖς ποντίοις ὕδασιν οἷς θέλουσι λαλοῦσι,

(1) Monet ne quis de Virgine cogitaverit, cui primi versus convenire videntur, quippe quam præ Cherubim ac Seraphim laudant et admirantur pii ejus adoratores: vide supra p. 45, n. 2. Quæ sit sancta fœmina ænigmate significata nescio. Ad marginem codicis est adscriptum ἀγάπη, quod non satisfacit. Forsan est Μαρία Ægyptia, vel alia, Virgini cognominis.

(2) B, τῇ φύσει. Ex nomine Ἰωάννης demtis ιω et ης, restat ανν. Quum Ἰωάννης et Ἄννα significent χάριν (cf. supra pp. 12, 21, 435), sic puto facile ænigma solvi. In A lemma est ἄγγελος, unde nihil extricare valeo.

(3) Non est in A ænigma. Conf. ænigma κ', p. 442.

(4) Illa βρέφη folia sunt. Poterit conferri Lamottæi ingeniosissimum de libris ænigma.

Καὶ τοὺς ἐν νήσοις φθάνουσι καὶ τοὺς ἐν ταῖς ἠπείροις.
Πολλοῖς δὲ οὐκ ἔστιν αὐτῶν ἀκούειν καὶ παροῦσι·
Τῆς δ' ἀκοῆς τὴν αἴσθησιν κωφὴν ἔχει τὰ βρέφη.

μ'. — Νοῦς ἢ Ψυχή.

Βαίνω (1) κατὰ γῆς, καὶ πρὸς ὕψος αὖ τρέχω·
Χαίρω πρὸς ὕλην, οὐ φιλῶ δὲ τὴν ὕλην·
Εἰ γὰρ ἐφίλουν καὶ προσεῖχον ὡς φίλῳ,
Ὅμως δι' αὐτῆς καὶ κορύσσομαι πλέον·
Καὶ γῆθεν ὕψου τὴν κεφαλὴν ἀνάγω.

μα'. — Οὐρανός.

Στοὰ ξύλων ἄμοιρος εἰμι καὶ λίθων,
Ὕλης τε λοιπῆς γηΐνης πάσης ἅμα·
Οὐδεὶς περιστρέφει με, καὶ παρατρέχω·
Οὐδεὶς ἐγείρει, καὶ συνίσταμαι πάλιν.

μϐ'. — Κόρος.

Ὄρεξιν ἐμπίπλημι τῶν ζώων ὅλων.
Πεντάγραμμον πέφυκα δισυλλαβία·
Ἂν οὖν κεφαλὴν ἀφέλῃς τῶν γραμμάτων,
Εὕρῃς με πάντων φυλακὴν τῶν πραγμάτων (2).

μγ'. — Ψυχή.

Τῶν θηλέων μέν εἰμι· σῆμα δ' οὐ φέρω
Μέλος δι' οὗ τὸ θῆλυ πᾶν γνωρίζεται.
Τὰ κοσμικὰ στοιχεῖα μακρὰν μου πέλει·

(1) Ænigma non est in A, quo absunt et μα', μϐ', μγ'.

(2) Invenietur ὅρος, qui φυλακὴ τῶν πραγμάτων dici potest, quum res circumscribat ac finibus limitibusque certis includat, et unicuique suam servet proprietatem et naturam.

Στοιχεῖα δ' ἄλλα τέτταρα (1) πρόσεισί μοι.
Ποσοῦ τὸ μὲν πρόσεστι· πλῆθος γὰρ φέρω
Καὶ τῶν ἀτμήτων οὐσιῶν ἀπειρίαν·
Τὸ πηλίκον δὲ παντελῶς ἀπεστράφην,
Ὡς μηδὲν οὐδαμοῦ λαβεῖν ἔχειν μέρος·
Καὶ γὰρ μεριστὴν οὐκ ἔχω τὴν οὐσίαν.
Φωνὴν προΐσχω μηδαμῶς ὁρωμένη (2)·
Ὁρῶ δὲ πάντα, καὶ τὰ πόῤῥω μου λίαν,
Ὡς μυθικῶς λέγουσι Λυγκέως χάριν.
Κλῆσις δ' ἀριθμὸν συμποσούμενον φέρει,
Κύβον τὸν ἐκ δὶς ἕξ, τετραπλῆς πεντάδος
Ἀφαιρεθείσης ἐξ ὅλων τῶν τοῦ κύβου (3).

(1) Quatuor elementa, scilicet literæ.

(2) Codex, ὁρώμενον.

(3) Literæ ψυχὴ numerum efficiunt, qui sit cubus numeri 12, ex summa cubi demto numero 20. Atqui $12^3 = 1728$, et $1728 - 20 = 1708$; qui numerus 1708 summa est literarum ψυχὴ, pro cifris habitarum.

ΤΟΥ ΑΥΛΙΚΑΛΑΜΟΥ

ΑΙΝΙΓΜΑΤΑ.*

α'.

Δίκορσος εἰμὶ, καίπερ ἀψυχουμένη,
Ἐνάλιός τε καὶ γενεὰ τὴν φύσιν.
Ἂν γοῦν τέμῃς μου διπλοσύνθετον κάραν,
Ἤμειψας οὐ τὴν κλῆσιν, οὐδὲ τὴν φύσιν.

β'.

Σὺ τετράγραμμον, συλλαβὰς φέρεις δύο·
Δηλοῖς καθαρῶς τὴν γυναικείαν φύσιν·
Ἂν ἄκρα δύο γραμμάτων συνεξέλῃς,
Ἐν σοὶ καλεῖται τοῦ Θεοῦ κλῆσις μία (1).

γ'.

Ἐνάλιον πέφυκα μικρόν τι ζῶον (2)
Ἂν γοῦν ἐξέλῃς τῶν γραμμάτων τὸ πρῶτον,
Εὔχρηστον εὑρήσεις με ταῖς ξυλουργίαις·
Εἰ δ' αὖ καὶ τὸ δεύτερον προσαφαιρήσεις (3),
Εὔχρηστον εὑρήσεις με τῶν βροτῶν μέλος.

* E codice regio 2991 A, pag. 443. Esse puto ipsum nomen *αὐλικαλάμου* ænigmatice compositum. Est enim in *αὐλικάλαμος* significatio aulici hominis a secretis vel caniclei præfecti. Omisi ænigmata codicis primum et secundum; quod primum jam sit supra inter Pselliana *ια'*, secundum autem inter Basiliana λϛ'.

(1) Forsan est γονὴ, Hippocrateum τῆς μήτρας nomen. Demtis extremis γ et ν, restat ὄν. Forsan etiam θῆλυ, unde, resectis extremis literis θ et υ, fit ἦλ, hebraicum Dei nomen. Hoc illo melius.

(2) Est *καρίς*. Cf. p. 441.

(3) Codex, *προσαφερήσης*.

Εἰ δὲ καὶ τρίτον τὴν ἐμὴν κάραν τέμῃς,
Εὕρῃς (1) χρησιμεύοντα πᾶσιν ἀνθρώποις.

δʹ.

Μονοσύλλαβον καὶ πεντάγραμμον (2), ξένε,
Ἐμὴν παρισῶν κλῆσιν ἐκ τῶν γραμμάτων,
Ἐντός σου μένω καὶ χρήσιμον εἰμί σοι.
Εἰ δὲ κεφαλὴν καὶ δευτέραν ἐκκόψεις (3),
Ἦλθόν σου πάλιν κρατὸς ἔνδοθεν ἔξω.
Εἰ δὲ καὶ τρίτην ὁμοίως συνεξέλῃς,
Ἐγκυβιστᾷν με τῷ βορβόρῳ κατίδῃς (4).

εʹ.

Ψάχης (5) φέρει μοι τοὺς ὀδόντας τὸ στόμα·
Ὡς καρκῖνος τρέχω (6) δὲ καὶ βρύχω μέγα.
Σφοδρῶς μασῶμαι, καὶ μασηθὲν (7) ἐκπτύω,
Κἂν χεὶρ ἐφέλκῃ, καὶ μεθέλκει με ξύλω.

(1) Codex, εὕροις.

(2) Est πτοῦς.

(3) Codex, ἐκκόψῃς. Si demas caput et secundam literam, π et τ, ex πτοῦς, qui est in capite, fit οὖς, quod est extra caput.

(4) Cod., ἐγκυβιστᾷν... κατίδεις. Demta tertia litera ο, restat ὗς, « amica luto sus. »

(5) Sic codex. Forsan παχεῖς.

(6) Forsan τρύχω.

(7) Codex, μασθέν.

ΑΙΝΙΓΜΑ ΑΔΕΣΠΟΤΟΝ.

Ἦν (1) ὅτ' ἔην βροτῷ εἴκελος ἄψεα ἠδὲ νόημα,
Καὶ νόος ἐστύγεεν (2) πᾶσαν ἀγνοείαν·
Αὐτὰρ ἔπειτ' ἐδάην κενεὴν σοφίην καὶ τῦφον,
Καὶ πάντ' ἤμειψα, χρῶτα, νόον, μέλεα.
Δάκτυλον (3) ἐκπάγλως πόδα, καὶ πόδα δάκτυλον (4) ἴσχω·
Ὄμματά μοι πούς καὶ δάκτυλος, ἀνθερεὼν πούς (5),
Καὶ (6) ξύμπαντα μέλη πούς (7), αὐτὰρ ὁ πούς οὔ μοι πούς (8)·
Καὶ κεφαλὴν φορέω δακτύλῳ ἀντίθετον (9).

(1) E cod. 2599, pag. 81, 1. Ænigma non prorsus illepidum.

(2) Codex, ἐςύγει.

(3) Dactylum scilicet, metricum pedem, non digitum.

(4) Dactylus est καὶ πόδα.

(5) Scilicet ἀνθερεὼν est pes choriambus.

(6) Addidi καί.

(7) Quoties enim occurrit vox μέλη, pes est iambus.

(8) Sed pes ipse corporis non est pes metricus, quum vox ποῦς una constet syllaba.

(9) Κεφαλὴ anapæstus est, qui dactylo est contrarius.

ΣΤΙΧΟΙ ΑΝΑΚΡΕΟΝΤΕΙΟΙ

ΕΝ ΣΧΗΜΑΤΙ ΕΞΟΜΟΛΟΓΗΣΕΩΣ

ΤΟΥ ΘΕΙΟΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ

ΙΩΑΝΝΟΥ ΚΟΜΝΗΝΟΥ ΤΟΥ ΣΩΖΟΠΟΛΙΤΟΥ.*

Εἰ, πλειστάκις ἁμαρτήσας,
Τοσαυτάκις ὑπεσχέθην
Ἀποσχέσθαι τῆς κακίας,
Μὴ τὸ συνειδός μου φέρων,
Μὴ τοὺς ἀληθεῖς ἐλέγχους,
Μὴ τὸν νῦν παρόντα σκότον
Ἐκ τῶν ἔργων τῶν τοῦ σκότους,
Μὴ τὸ πῦρ τὸ τῆς γεέννης,
Μὴ τὴν τήμερον αἰσχύνην,
Μὴ τὴν πάνδημον ἐκείνην
(Τὰ δεινά μοι γὰρ ἐκχεῖται),
Κᾆτα μετ' ὀλίγον αὖθις
Τῶν προτέρων ἐγκρόνειν,
Καὶ παρέβην τὰς συνθήκας,
Πρὸς τοῖς ἄλλοις ὀφλισκάνων
Καὶ τὰς ἐπὶ τούτῳ δίκας·
Ἀλλὰ τί καὶ δεῖ παθεῖν με;
Τίνι προσπεσεῖν με πρέπει;

* E codice 3025. De Joanne Comneno homine recenti nihil novi; et Bibliotheca Græca, ad cujus t. XI, p. 644, amando lectorem, non valde profuerit. Ceterum quos vocat auctor vel librarius anacreonticos, versus sunt octosyllabi, quorum penultima accentu notata est. — Ἐξομολογήσεως, confessionis: cf. p. 123.

Καὶ πρὸς τίνα καταφύγω;
Παρὰ τίνος ἐξαιτήσω (1)
Τὴν συγγνώμην καὶ τὸν οἶκτον,
Ἐξὸν σοῦ, τοῦ φιλανθρώπου,
Ποιητά μου καὶ Θεέ μου;
Σὺ γὰρ μόνος ἐλεήμων,
Καὶ ποθῶν τὴν σωτηρίαν
Τῶν ἁμαρτανόντων, σῶτερ·
Ὑπὲρ ὧν εἰς γῆν κατῆλθες
Καὶ σαρκὶ παθεῖν ἠνέσχου
Καὶ σταυρῷ προσηλωθῆναι.
Καί σου δέομαι δακρύων,
Καί σ' ἀντιβολῶ στενάζων
Ἐν ὀδύνῃ τῆς ψυχῆς μου
Καὶ καρδίας ὀλοφύρσει.
Τὰ γοῦν ἐκ καρδίας λέξω.
Ἀπὸ τῆς γεννήσεώς μου
Ὠδινήσας ἀνομίαν,
Ἤγαγον εἰς τόνδε βίον
Ἔκτρωμα καὶ τέρας μέγα,
Παρὰ φύσιν ξένον τόκον,
Ἔμβρυον ἐξημβλωμένον,
Ὃ, συχναῖς ἐπιμελείαις

(1) Codex, ἐξετήσω. Ubivis obtinet permutatio vocalium αι et ε. Hesychius Miles. de Arcesilao p. 8 : ἦν δὲ φιλομειράκιος καὶ καταφερὴς, καὶ ἑταίραις συνῴκει. Non ausi sunt Junius ac Meursius, quod reponendum sciebant, ἑταίραις reponere; forsan non sine codicis auctoritate licere sibi tam audacibus esse opinantes. Est ἑταιραις in codice 3025. Sequentia simul tangam. Καί ποτε, Hesychius ait, τὸν ἐρώμενον αὐτῷ Δημοχάρει ὁμιλοῦντα καταλαβὼν, ὑπ' ἀνδριχακίας παραχωρεῖν ἔφη. Junii conjectura ὑπ' ἀνεξικακίας, satis jam a Laertio stabilita, et eodem est codice confirmata.

Καὶ μεγίστῃ περιθάλψει
Καὶ τροφαῖς ἀφθονωτέραις,
Ὄφις γέγονε καὶ δράκων,
Πολυκέφαλον θηρίον,
Ἐκ μιᾶς ἀρχῆς κακίστης
Εἰς πολλὰ διῃρημένον,
Καὶ κατὰ τοῦ θρεψαμένου
Τὰς συχνὰς προβάλλον κάρας.
Ὕδραν ἐγὼ τοῦτο λέγω.
Ἐτεὸν γὰρ, οὐχὶ μῦθος.
Κἂν γὰρ ἐκτεμεῖν ὁρμήσω
Μίαν ἐκ τοσούτου πλήθους,
Ἔκπληξιν ὁρῶ μεγίστην,
Τὴν τμηθεῖσαν μίαν οὖσαν
Εἰς πολλὰς διῃρημένην.
Ἀπορῶ τοίνυν εἰς τέλος·
Ἀπορῶ πυρὸς γὰρ θείου,
Ὃ καταναλίσκει ταῦτα
Καὶ μαραίνει τὰς ἐκφύσεις
Καὶ τὴν βλάστην τῆς κακίας.
Ἀπηγορευκὼς οὖν κεῖμαι,
Καὶ θανάτῳ προσεγγίσας.
Ἴδε μου τὸ πάθος ὅσον·
Κτεῖνον τὸ δεινὸν θηρίον
Ῥήματι τῆς σῆς ἰσχύος,
Ἐπιπάσσων φάρμακά μοι
Τὴν ὑγείαν ἃ παρέξει.
Ἅπαν εἶδος εἰργασάμην
Ἀδεῶς ἀκολασίας·
Τὸν χιτῶνα τῆς ψυχῆς μου,

Ὡς ῥερυπωμένον (1) φέρω.
Κόλασόν με κατανύξει
Καὶ συντετριμμένῃ γνώμῃ·
Δάκρυσι καθαρτηρίοις
Τὴν στολήν ἀπόπλυνόν μου,
Ἵνα σὺν τοῖς ἐκλεκτοῖς σου
Ἀπολαύω σου τοῦ γάμου,
Ἵνα σὺν τοῖς σοῖς ἁγίοις
Ἐμφορῶμαι τῶν ἁγίων,
Τῆς γλυκείας ἀμβροσίας
Καὶ τοῦ θείου ποτηρίου,
Τῆς πηγῆς τῆς ἀθανάτου,
Τοῦ ζωοποιοῦ καὶ θείου
Αἵματος καὶ σώματός σου.
Οὕτω, βασιλεῦ, ὀναίμην·
Οὕτω προσεγγίσαιμί σοι,
Τῷ ἀγαλλιάματί μου,
Τῇ τοῦ κόσμου σωτηρίᾳ,
Τῷ φωτὶ τῷ ἀϊδίῳ,
Τῇ πηγῇ τῇ ἀεννάῳ,
Ἵνα, καθαρῶς βιώσας,
Καὶ νικήσας τὸν ἐχθρόν μου
Μετὰ τῆς δυνάμεώς σου,
Μετὰ τὴν τοῦ βίου λύσιν
Καὐτὸς εἴην λειτουργῶν σοι,
Σὺν χοροῖς ἁγίων πάντων,
Σὺν χοροῖς τε τῶν Ἀγγέλων,
Αἴνεσιν (2) συμφωνοτάτην

(1) Vide de hac perfecti forma p. 133, n. 4.

(2) Gregor. Naz. Or. IX, extr.. λειτουργῶμεν Θεῷ τὴν αἴνεσιν.

Ἄληκτόν τε λειτουργίαν,
Ἅμα τῷ Γεννήτορί σου
Καὶ τῷ Θείῳ Πνεύματί σου,
Τῇ τρισυποστάτῳ φύσει,
Τῇ μοναδικῇ Τριάδι,
Τῇ δημιουργῷ τῶν ὅλων.

ΜΑΞΙΜΟΥ ΤΟΥ ΠΛΑΝΟΥΔΗ

ΣΤΙΧΟΙ.*

α'.

Ψυχὴ λῃστὴν ἐνίκησας τοῖς παραπτώμασί σου.
Λῃστὴς γὰρ, ἄλλους ἀναιρῶν, αὐτοῦ φείδεται πάντως·
Σὺ δ', ἀφειδήσασα σαυτῆς, καὶ τοῖς ἐχθροῖς πεισθεῖσα,
Τοῖς τούτων δόλοις πέπτωκας. Ὦ πάθους! πῶς οὐκ ἔγνως;
Κἂν γοῦν ὀψὲ μετάμαθε σαυτῆς τὴν σωτηρίαν,
Καὶ πένθησον καὶ στέναξον καὶ κλαῦσον κατωδύνως,
Ὡς ἐκ πυρὸς ἀνάπεμψον καπνὸν τῶν στεναγμάτων,
Καὶ πρὸς τὸν εὐδιάλλακτον Θεὸν ἐκ βάθους κράζον·
« Ἥμαρτον, ἀναμάρτητε· νῦν μετανοοῦσαν δέχου. »

β'.—Ἑτεροι.

Μετὰ κλαυθμῶν, μετ' ὀδυρμῶν ἐκτήκω μου τὸν βίον,
Ὅτι, τὸ πρὶν παράδεισον λαχὼν εἰς κληρουχίαν,
Ἐξώσθην τούτου καὶ πρὸς γῆν ἐν λύπαις κατηνέχθην,
Καὶ, μετὰ ταύτην τὴν ποινὴν, ἄλλη μη μένει δίκη,
Φλογμὸς πυρὸς ἀκάματος, σκότους ἀορασία·
Ὧν με, καὶ πλάστα καὶ κριτὰ καὶ λυτρωτὰ καὶ σῶτερ,
Ἅρπασον, ἐλευθέρωσον, λύτρωσαι, ῥῦσαι, σῶσον.

γ'.—Ἑτεροι.

Παρθένος, μήτηρ ἄνανδρος, μὴ διδαχθεῖσα γάμους,

* E codice regio 1211.

Τὸν, ὃν ὠδίνων ἄνευθεν ἀπέτεκεν, υἱέα
Βλέπουσα προσπηγνύμενον ἐν σταυρικῷ τῷ ξύλῳ,
Ἔπη τοιάδε γοερὰ σὺν στεναγμοῖς ἠφίει·
«Ἐξέφυγον τῷ τόκῳ σου τὴν Εὔας καταδίκην
» Καὶ θαυμαστή τις ἔδοξα· νῦν δ', ἵνα μὴ τελείως
» Δόξω τοῦ γένους τὴν σειρὰν ἐκ ταύτης μὴ καθέλκειν,
» Ῥομφαία θλίψεως, υἱὲ, σπαράσσομαι τὰ σπλάγχνα.
» Ἔτι τελεῖς φθονούμενος καὶ πάσχων, εὐεργέτα,
» Καὶ κόρος οὔ τις κατὰ σοῦ τοὺς ἀχαρίστους ἔχει·
» Ἔνθεν καὶ λόγχη τὴν πλευρὰν ἀνηλεῶς κεντοῦσιν,
» Ἐμοὶ δὲ διαρρήσσουσι τὰ σπλάγχνα καὶ καρδίαν.
» Τί γοῦν, ἀμέτοχε παθῶν, τὸ πάθος βούλεταί σοι;
» Δι' οὗ καρδίαν τὴν ἐμὴν πάθος πικρὸν εἰσέδυ,
» Πάθη βροτῶν ἐκκρούσασθαι τῷ πάθει τῷ σῷ βούλει.
» Πλὴν ἀλλ' ἐγὼ κἂν δάκρυσι κἂν στεναγμοῖς ὑμνῶ σε.»

δ'. — Τοῦ αὐτοῦ εἰς ἐγκόλπιον (1) ἔχον τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυρα.

Ὡς μαρτύρων σε πρῶτον ἐκ βολῆς λίθων
Χρυσὸς μετάλλων πρῶτος ἐν λίθῳ στέφει.

ε'. — Εἰς τὸν ναὸν τῶν ἁγίων Μαρκιανοῦ καὶ Μαρτυρίου.*

Ἄρειε, πῶς φής; πῶς τὸν Υἱὸν εἰς κτίσιν
Τολμᾷς καθέλκειν, καὶ, θεὸν δοκῶν σέβειν,
Σαυτὸν λέληθας κτίσματος φύσιν σέβων,

(1) Nomen explicat Cang. Gl.

* Poematiola ista ε' et ς' jam edidit Cangius ad Zonar. p. 44, sed valde corrupta, ut operæ pretium fuerit, quum tam brevia sint, ea hic repetere.

Οὐ κτίσμα ταυτὸν καὶ θέος. Μήπω τόσον
Ἔξω φρενῶν πέσοι τις, ὡς ἕποιτό σοι,
Μεμνημένος σου τοῦ θεηλάτου μόρου.

ϛʹ.—Ἑτέροι.

Κακῶς Ἀρείῳ ταυτὰ πεφρονηκότες
Ἄνδρες φονῶντες, πλῆρες αἱμάτων στίφος,
Καλῶς Θεοῦ πρόπεμψαν ὑμᾶς εἰς δόμους·
Καὶ γὰρ Θεοῦ μὲν οἶκος ὑμᾶς ἀμφέπει,
Τοῖς δ᾽ οἶκος ᾅδης καὶ τὸ μυρίον σκότος.

ζʹ.—Στίχοι ἐπιτάφιοι εἰς Ἰωάννην τὸν Χαμέαν.

Τί σοι τὸ σεμνὸν, ὦ βροτῶν φύσις, γένος;
Εἰ καὶ σὺ πρὸς γῆν καὶ κόνιν καταστρέφεις,
Καὶ πρὸς τὸ μηδὲν ὥς τι πρὸς τέλος τρέχεις,
Ὡς καὶ τὰ λοιπὰ τῶν ὑπὲρ γῆς ἐμψύχων.
Ἰδοὺ γὰρ ἀνὴρ οὗτος εὐκόσμου βίου,
Θεοῦ φόβον σύνοικον ἐν ψυχῇ φέρων
Καὶ τῷδε πρᾶξιν πᾶσαν αὐτοῦ ῥυθμίσας,
Καὶ μέτριον φρόνημα καὶ χρηστὸν τρόπον,
Ἤθη τε χαρίεντα σὺν τούτοις ἔχων,
Καὶ βασιλικῆς ἑστίας ὑπηρέτης,
Ἡδὺς, προσηνὴς, πιστὸς, οἰκεῖος μένων,
Καὶ, συνελόντα πᾶν ὃ χρὴ φάναι λέγειν,
Ἐπάξιος ζῆν μυρίους ἐτῶν κύκλους,
Ὡς ἀρετῆς πρόθυμος ὄντως ἐργάτης,
Ἀπῆλθεν ἔνθεν καὶ πρὸ γήρως ἡρπάγη,
Ἐξ ὀρφανῶν σύστημα πάντη τεκνίων
Λιπὼν, ἐπειδὴ θάνατον τῆς συζύγου
Φθάσας μικρῷ πρὶν ἢ θανεῖν ἠκηκόει.

Πρὸς τῷ τέλει πλὴν καὶ στολῇ μονοτρόπων (1)
Πρόσεισι, καὶ τὴν κλῆσιν ἀντ' Ἰωάννου
Πρὸς τὴν Ἰωσὴφ ἐξαμείβει γνησίως,
Ὁ πᾶσι γνωστὸς Χαμέας Ἰωάννης
Καὶ πᾶσιν ἡδὺς καὶ ποθεινὸς, εἴ γέ τις.
Πᾶς οὖν ὁρῶν στέναζε τὸν θνητῶν βίον
Καὶ τῷ θανόντι ψυχικὴν σωτηρίαν
Εὔχου, τὰ κοινὰ τοῦ γένους μεμνημένος.

η'. — Στίχοι εἰς τοὺς ὑποκριτὰς ἡρωελεγεῖοι.

Μηκέτι μηδεὶς προσφερέτω παραμύθιον ἀνδρὶ,
Ἢ τέκνον ἢ γαμετὴν γῇ κατορωρυχότι.
Καὶ γὰρ νῦν εἰ πρός τινα τούτων αὐτὸς ἀπέλθοις,
Ὡς πενθοῦντι φράσῃς ῥῆμα παρηγορίας,
Δόξαι σπουδάζων ἀπαθέστατος, εὐθὺς ἐκεῖνος
Ὡς ἀπὸ Πυθαγόρου φθέγγεται ἢ νεφέων·
Καί σε σοφιστεύων ἀναλαμβάνει, ὥσπερ ἂν εἰ σὺ (2)
Τέκνον ἔχοις, ὁ δὲ σοὺς ἦλθε γόους στορέσων.
Ἔνδον ὅμως τὸ πάθος τοῦτον κατακάρδια πλήττει,
Ὡς ξίφος ὀξύτατον πάντα διερχόμενον.
Εὖ γε, Ὑπόκρισις, εὖ γε! σὺ φιλτάτη ἐσσὶ θεάων·
Σὴν κεφαλὴν τιμᾶν ἄξιον ἐν στεφάνοις·
Τοῖς γὰρ σοῖς θεράπουσιν ἐπάξια δῶρα χαρίζῃ,
Ἀλγεῖν, κοὐ (3) φράζειν, ὡς ἀνιῷντο πλέον.

(1) Mori voluerat Chameas ille in habitu monachorum. Μονότροποι enim sunt monachi: vid. Fogg. ad Theod. Diac. II, 28.

(2) Inserui εἰ. Sensus flagitat, ὥσπερ ἂν εἰ σὺ πένθος ἔχοις, vel simile quid.

(3) Codex, καὶ οὐ.

ΓΝΩΜΙΚΑ ΤΙΝΑ.

Οὔτε (1) γὰρ ὁ μὴ ῥαθυμῶν εἰς ἀπόγνωσιν πέσοι ποτὲ, οὔτε ὁ τρεφόμενος ἐλπίσι χρησταῖς καὶ μὴ ἀπογινώσκων ἑαυτοῦ εἰς ῥαθυμίαν δυνήσεται ἐμπεσεῖν.

Κωλύει δὲ οὐδὲν τὸν ἀγαθὸν καὶ πολιτικὸν ἄνδρα μήτε τῶν περιττῶν τὴν κτῆσιν ἐν σπουδῇ τίθεσθαι, μήτε τῆς χρείας τῶν ἀναγκαίων καὶ ἱκανῶν καταφρονεῖν.

Οὐδὲν γὰρ οὕτως εἰς θυμὸν ὀξύνει τὸν ἀδικοῦντα, ὡς τὸ (2) ἔξω τοῦ δικαίου ἐλέγχεσθαι δρᾶν.

Κρεῖσσον ἄρχεσθαι (3) ἀκινδύνως ἢ ἄρχειν ἐπικινδύνως.

Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐλεύθερος, ἀλλ' ἢ μόνος ὁ

(1) E codice regio 2991 A, p. 361 sqq.

(2) Codex, ὥς'.

(3) Non rarum est ἄρχεσθαι sensu passivo : vide t. I, p. 130, cum nota 6. Democritus Stobæi tit. 44, 14 : κρέσσον ἄρχεσθαι τοῖσιν ἀνοήτοισιν ἢ ἄρχειν. Idem tit. 45, 27 : χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος. Quas sententias reperi et inter Democrateas pp. 627, 631. Rursus tit. 74, 39 : ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἀνδρὶ ἐσχάτη. Quæ sententia exstat apud Democratem p. 631, et apud Antonium S. 124, p. 97, sub Philonis nomine; nec utrobique sine varietate. Hinc explicabo Pindarum Ol. VIII, 55 : Πέργαμος ἀμφὶ παῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται... οὐκ ἄτερ παίδων σέθεν· ἀλλ' ἅμα πρώτοις ἄρξεται καὶ τετράτοις. Verba sunt Phœbi vaticinantis, quem poeta σάφα εἰπεῖν narrat. Sed interpretes eo modo ἄρξεται reddunt, ut jam non σαφὴς fuerit dictio dei, sed flexa valde ac contorta. Mihi videtur ἄρξεται sensu positum passivo, qui sensus in futuris mediis est obvius, et verterim, *regnabitur, imperabitur, parebit*: « sed » primis ac quartis parebit. » In Medeæ v. 120, Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες, est ἀρχόμενοι, quod non recte ceperunt omnes, eodem passivo sensu intelligendum. Prosaici scriptores antithetice opponunt ἀρχομένους καὶ ἄρχοντας, v. c., Clitarchus supra t. I, pp. 118, 4; 131, 3; Plato loco valde dubio Rep. IV, p. 442 C, &c. Vide schol. Soph. El. 258.

Χειστῷ ζῶν· οὗτος ἀνώτερος ἁπάντων ἕστηκε τῶν δεινῶν.

Ὅτι οὐδὲν οὕτω πρὸς ἄνεσιν ἄχρηστον, ὡς ἡ τῶν ἀνθρώπων φύσις ἐστί· πᾶσαν γὰρ κακίαν, φησὶν, ἐδίδαξεν ἡ ἀργία (1).

Ψυχὴ, μὴ μελετήσασα τῶν μικρῶν καὶ βιωτικῶν καταφρονεῖν, οὐ δυνήσεται θαυμάσαι τὰ ἐν τοῖς οὐρανοῖς.

Εἴωθεν ἡ τῆς λύπης ὑπερβολὴ, ὅταν ἡμῖν ἐπισκήψῃ σφοδρότερον, ἅπασαν περιτρώγειν τῆς ψυχῆς τὴν ἰσχύν.

Ὀνειδισμὸν (2) ἀνθρώπων μὴ φοβεῖσθε καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε, ὅτι ὡς ἱμάτιον παλαιωθήσονται, καὶ, ὡς ἔριον ὑπὸ σητὸς, οὕτως βρωθήσεται.

Πολλὴ διαφορὰ μεταξὺ φιλίας, ἐλεημοσύνης καὶ φιλανθρωπίας· ὅτι ἡ μὲν φιλία ἐξ ἀμοιβῆς γίνεται, ἡ δὲ ἐλεημοσύνη ἐκ φυσικῆς συμπαθείας, ἡ δὲ φιλανθρωπία, ἄνευ τοῦ φυσικῶς πείθοντος, πάντα ἄνθρωπον, καθό ἐστιν ἄνθρωπος, φιλοῦσα εὐεργετεῖ.

Πῶς ἂν ἄριστά τις ἄρξῃ; Ἀόργητος, ἔφη (3)· ὀλίγα μὲν λαλῶν, πολλὰ δὲ ἀκούων.

Ἔστω, λέγων (4), πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι καὶ βραδὺς εἰς ὀργήν.

Εἰ μὲν πρῶτος, οὐ μόνος· εἰ δὲ μόνος, οὐ πρῶτος.

Ὁ τοῦ καθαρεύοντος ἔπαινος τῶν μολυνομένων ὄνειδος ἦν.

(1) Conf. t. 1, pag. 2, n. 6.

(2) Isai. l. 1, 7: μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός.

(3) Ita codex.

(4) Ita codex.

Ἀνανεούσθω σοι ὁ περὶ τῶν ἀγαθῶν λόγος καθ' ἡμέραν, ἢ τὸ σῶμα τοῖς σιτίοις.

Ἀρχὴ (1) ἄνδρα δείξει· ἡ γὰρ ἀρχὴ πάντας φανεροῖ.

Ἀνὴρ (2) δίκαιος καὶ καλός ἐστιν, οὐχ ὁ μηδὲν ἀδικῶν, ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, οὐ βούλεται.

Ἀρετή ἐστι τὸ ἄτοπον φεύγειν ἀεί.

Ἀθάνατον ὀργὴν μὴ φύλαττε, θνητὸς ὤν.

Ἄμεινον (3) εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ τὰς σάρκας ἐσθίουσιν, οἱ δὲ τὴν ψυχὴν λυμαίνονται.

Ἀριστοτέλης ἐρωτηθεὶς διὰ τί, μέγας ὤν, γυναῖκα μικρὰν ἔλαβεν, εἶπεν· « Ἔδει με, τῶν κακῶν ἐκλο» γὴν ποιούμενον (4), τὸ ἔλαττον λαβεῖν. »

Ὁ αὐτὸς (5), θεασάμενος νεανίσκον καλλωπιζόμενον καταφρυομένον, ἔφη· « Νεανίσκε, οἷος μὲν δοκεῖς σεαυτὸν εἶναι, » ἐγὼ γενοίμην· οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί » μοι οἱ ἐχθροὶ γένοιντο. »

Ἀνάχαρσις (6) ἐρωτηθεὶς πῶς ἂν τις μὴ μεθύσκοιτο, ἔφη· « Ὁρῶν τοὺς μεθύοντας, οἷα πάσχουσιν. »

(1) Sententia vel Pittaci, vel Biantis, vel alius. Variant scriptores de auctore. Georgius Lapitha poemate ethico inedito v. 960: *Ἀρχὴ γὰρ ἄνδρα δείκνυσι καὶ πᾶσιν ἐμφανίζει.* Libanius, t. III, p. 377: *ἐγὼ μὲν οὐδὲν ἡγοῦμαι μεῖζον ἀρχῆς εἰς γνώμης βάσανον· οἶμαι δὲ καὶ τῇ παροιμίᾳ ταυτὰ δοκεῖν, ἥ φησιν ἐν ἀρχῇ τὸν ἄνδρα δείκνυσθαι.* Notabo alia ad G. Lapitham, in Notitiis Mss. t. XII.

(2) Mutavit scriptor versus duos Philemonis Stobæi tit. 9, 22: *Ἀνήρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν, Ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, μὴ βούλεται.* Conf. supra t. I, p. 153, n. 5.

(3) Sententia aliis verbis alibi expressa: conf. Antisthenes Stobæi tit. 14, 17; et nota Schweigh. ad Epict. Fragm. 103. Pariter Georg. Lapitha ineditus v. 1379: *Φεῦγε τὸ φίλτρον τοιγαροῦν τῶν μιαρῶν κολάκων· Κόρακες γὰρ ἐσθίουσι σώματα τεθνεώτων· Οἱ κόλακες δὲ τοὺς ζῶντας σπαράττουσιν ὡς κύνες.*

(4) Codex, *ποιούμενος.*

(5) Codex, *αὐτός.*

(6) Est apud Stobæum tit. 18,

Τὶς λοιδορούμενος ὑπό τινος φαλακροῦ, εἶπεν. « Ἐγὼ μέν σε οὐ λοιδορήσω· ἐπαινῶ δέ σου τὰς τρίχας, » αἵ τινες κακὸν κράνιον ἐξέφυγον. »

Ἀλέξανδρος ἐρωτηθεὶς πῶς (1) τοσούτων ἐν ὀλίγῳ χρόνῳ ἐκράτησεν, ἔφη· « Μηδὲν ἐς αὔριον ἀναβαλ- » λόμενος. »

Ὁ αὐτὸς, παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ἔφη· « Οὐ βασιλικὸν τὸ » κλέπτειν νίκην. »

Τὶς εἰπὼν αὐτῷ, « Πολλοί εἰσιν οἱ κακόν σε παρ' » ἐμοὶ λέγοντες καὶ κατηγοροῦντες· » αὐτὸς ἔφη· « Οὐκ ἂν ἐκεῖνοι εἶπον, εἰ μὴ σὺ ἡδέως ἤκουες. »

Αἰσχρόν ἐστι τὸ τὸν ἄνδρας νικήσαντα (2) ὑπὸ γυναικῶν ἡττηθῆναι.

Ἀνδρεῖος (3) ἐκεῖνος, οὐχ ὁ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ τῶν ἡδονῶν κρατῶν.

Ὁ λόγος μετὰ τῆς πράξεως τὸν ἄνδρα κοσμεῖ.

Τὶς σοφὸς, ἰδὼν φθονερὸν λυπούμενον, ἔφη· « Τού- » τῳ ἢ μέγα τι κακὸν συμβέβηκεν, ἢ ἄλλῳ (4) μέγα » ἀγαθόν. »

35. Remittitur lector ad Menagium in Diogen. Laert. I, 103; quem quum adiissem, intellexi eum præ calami festinantia confudisse Stobæi §§ 34 et 35.—Stobæus, ποιοῦσιν. Sententia bona fieret melior, utroque verbo recepto: οἷα ποιοῦσι καὶ πάσχουσι.

(1) Addidi πῶς.—Alexander scilicet fuit, ut Cæsar Lucani, « Nil actum credens, quum quid » superesset agendum. » Simili interrogationi aliud Alexandri responsum refert Stobæus tit. 54, 48.

(2) Codex, νικήσαντας. Dictum est Alexandri. Vid. Stob. tit. 5, 36, ubi τοὺς ἄνδρας νικήσαντας.

(3) Conf. Democritus Stobæi titt. 7, 26; 17, 40. In priore loco Stobæi insunt mixta Platonis verba: cf. tit. 6, 11.

(4) Codex ἄλλο. Sapiens ille Bion est Borysthenita, quod e Diogene Laertio notum est IV, 51. Conf. mox p. 470, nn. 1, 7.

Βέλτιόν ἐστι σῶμα ἢ ψυχὴν νοσεῖν (1).

Βούλει γνωσθῆναι Θεῷ, ἀγνοήθητι μάλιστα ἀνθρώποις.

> Τῆς γαστρὸς (2) ὅστις μὴ κρατεῖν ἐπίσταται,
> Οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά.
>
> Γέλως (3) ἄμετρος σημεῖον ἀπαιδευσίας.

Διογένης ἐρωτηθεὶς τί κακὸν ἐν βίῳ, ἔφη· « Γυνὴ » καλὴ τῷ εἴδει. »

Ὁ αὐτὸς (4) ἐρωτηθεὶς τί ἐστι φίλος, ἔφη· « Μία » ψυχὴ ἐν δυσὶ σώμασιν. »

Διὰ τί τὸ χρυσίον ὠχρόν ἐστιν; ὅτι πολλοὺς ἐπιβούλους ἔχει (5).

Ὁ φιλάργυρος, βίον ἀβίωτον βιώσας, ἑτέροις τὸν βίον (6) κατέλιπεν.

Ὅστις παντὸς ἐρᾷ, οὗτος οὐκ ἄξιος τοῦ ζῆν.

Ἐκτρέπου ἀγαθοῦ ἀνθρώπου ἔχθραν, καὶ πονηροῦ φιλίαν.

Τινὸς ἐπικαλουμένου καὶ ζητοῦντος τὸν θάνατον, ἔφη τις· « Τί καλεῖς, ἄνθρωπε; ἂν μὴ καλέσῃς, ἔρ» χεται. »

(1) Videtur iambicum latere: Ἄμεινόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν· Τὸ σῶμα βέλτιόν ἐστιν ἢ ψ. ν. Conf. ad sententiam t. I, p. 132, 12.

(2) Addidi τῆς. Scripsi οὗτος pro οὕτως.

(3) Vertisse videtur Rufinus p. 652: « nimius risus indicium » est animi negligentis. » De risu nimio vide t. I, p. 56, n. 6. Gregorius Naz. Orat. VI, p. 139: γέλωτος ἀμετρίας καταγελάσωμεν. Joannes Mauropus De physiognomonia in meis ad Marin. notis p. 133: ἀνὴρ καγχάζων συνεχῶς καὶ γελῶν, ἀνούστατος· ἀνὴρ μειδιῶν ἐν γέλωτι, ἐχέφρων. Vide Γέλωτα inter Sententias monostichas; Epictetum Man. 33, 4; Isocratem supra t. I, p. 59.

(4) Aristotelis simile responsum est ap. Diog. Laert. V, 20.

(5) Diogenis est dictum apud Laert. VI, 51.

(6) Prius βίον est *vitam*, alterum *facultates*.

Τὶς ἐρωτηθεὶς διὰ τίνα αἰτίαν οἱ ἄνθρωποι πάντες λυποῦνται, ἔφη· « Ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια » κακὰ λυπεῖ (1), ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά. »

Ζημίαν αἱροῦ (2) μᾶλλον ἢ ὅθεν οὐ δεῖ κέρδος.

Ὡς ἀληθῶς ὅμοιος θεῷ ὁ αὐτάρκης καὶ ἀκτήμων ἄνθρωπος (3).

Ἡ περιστάσεων (4) ἡμέρα τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ προσγενεῖς ἐλέγχει.

Ἡδονὰς τὰς νομίμους μετρίως στέργε· τὰς δὲ ἐπικινδύνους φεῦγε.

Ἡ τύχη πολλάκις καὶ τὸν μηδὲν πράξαντα στεφανοῖ.

Κύριος δεῖται (5) οὐδενός, σοφὸς δὲ μόνου δεῖται Θεοῦ.

Τὶς ἐρωτηθεὶς τί ἐστιν ἢ κακὸν ἢ ἀγαθόν, « Ἡ » γλῶσσα », ἔφη (6).

Οἱ φθονεροὶ (7) τῶν ἀνθρώπων οὐχ οὕτως εὐφραίνονται ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

(1) Codex, λυπῆ. Ad sententiam conf. p. 468, n. 4.

(2) Codex, ἑροῦ. Est Chilonis dictum ap. Stobæum tit. 5, 31.

(3) Scripto ζῇ ὡς ἀλ... φιλόσοφος, habebis verba Demophili p. 622. Crates Epist. 10 Comm.: ἀσκεῖτε ὀλίγων δεηθῆναι· τοῦτο γὰρ ἐγγυτάτω θεοῦ. Vide Socratem Stobæi tit. 5, 34; et quæ notavi in Notit. Mss. t. XI, II, p. 7; coll. J. Morellio ad Aristid. p. 106. Sextus Rufini p. 645: « sapiens » vir, et pecuniæ contemptor, » similis est Deo. »

(4) Est fragmentum Epicteti 154, cum varietate: conf. supra t. I, p. 42, p. 132, n. 2.

(5) Vide t. I, p. 127, n. 3.

(6) Responsum fuit Anacharsidis apud Diogenem Laert. I, 105. Fuit et aliorum: vide Menagium ad Diog. loc. In codice alio regio, cujus numerum non memini tributum legi Antagoræ, cum scriptura, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, quæ est et ap. Laertium.

(7) Sententia est Theophrasti apud Stobæum tit. 38, 30. Vid. Plutarchus ibid. § 32, et rursus Theophr. § 43. Cf. p. 468, n. 4.

Ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ ὀλίγων ζῆν, ἵνα μηδὲν αἰσχρὸν ἕνεκεν χρημάτων πράττωμεν.

Τὴν παιδείαν δεύτερον ἥλιον εἶναι τοῖς ἀνθρώποις φαμέν.

Θάνατον μὴ φοβοῦ· τὸ δὲ καλῶς ἀποθανεῖν εὔχου.

Ἴσος ἴσθι κρίνων φίλους καὶ ἐχθρούς.

Κρεῖσσον ἐστὶν ἐμπεσεῖν εἰς πῦρ ἢ εἰς γυναῖκα πονηράν.

Καλὸν (1) ἐστὶ θανεῖν ἢ ζῆν ἀθλίως.

Καλὸν (2) δὲ γέροντι μαθεῖν τὸ καλόν.

Βασιλεὺς ἐστὶν ἄριστος, ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φιλοποιούμενος.

Λαβὼν δὸς, ἵνα καὶ πάλιν λάβῃς (3).

Λύπης θεραπεία ἐστὶ γνήσιος φίλος.

Μὴ τοῖς λόγοις, ἀλλὰ τοῖς ἔργοις τοῦ λέγοντος πίστευε (4).

Μὴ θέλε τὰ γινόμενά σοι γίνεσθαι ὡς θέλεις, ἀλλ' ὡς γίνεται θέλε (5).

Ναὸς Θεοῦ σοφοῦ νοῦς (6), ὃν οὐχ ἅπαξ, ἀλλ' ἀεὶ χρὴ κοσμεῖν εἰς παραδοχὴν Θεοῦ.

(1) Est metrica sententia ad prosam orationem depressa. Philemon Stobæi tit. 121, 8: Θανεῖν ἄμεινόν ἐστιν ἢ ζῆν ἀθλίως. Sententia inter Monostichas: Κρεῖσσον τὸ μὴ ζῆν ἐστὶν ἢ ζῆν ἀθλίως.

(2) Et hic apparent metri vestigia. Forsan fuit: Καλὸν δὲ καὶ γέροντι μανθάνειν καλόν. Æschylus Stob. 29, 24: Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά. Notissimus est Solonis versiculus: Γηράσκω δ' ἀεὶ πολλὰ διδασκόμενος.

(3) Conf. supra p. 198, n. 2.

(4) Demophilus p. 623: πεῖραν ἀνθρώπου ἐκ τῶν ἔργων μᾶλλον λάμβανε ἢ ἐκ τῶν λόγων· κ. τ. λ. Cf. t. II, p. 448, n. 1; Stobæana tit. 37, §§ 19, 24, 34, &c.

(5) Cf. Aristoteles Stob. 3, 53.

(6) Porphyrius ad Marc. 19: σοὶ δὲ, ὥσπερ εἴρηται (cf. § II), νεὼς μὲν ἔστω τοῦ Θεοῦ ὁ ἐν σοὶ νοῦς. Sextus Rufini pag. 646: « templum » sanctum est Deo mens pii. » Ibid.: « habes, inquam, in te

Ὅρκον φεῦγε, κἂν δικαίως ὀμνύῃς (1).

Ὁ τὸν ἴδιον οἶκον οἰκονομῶν κακῶς, πῶς ἂν σώσειεν οὗτος τῶν ἔξω τινά (2);

Οὐκ ἔστιν οὐδὲν ἐν βίῳ βέλτιον φίλου (3).

Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου δεῖ χάριν ἐπιζητεῖν (4).

Οὐδὲν σιωπῆς εὐκαίρου χρησιμώτερον (5).

Ὅταν θέλῃς τοῦ (6) πλησίον κατηγορεῖν,
.. τὰ σαυτοῦ πρῶτον ἐπισκέπτου κακά.

Σοφία ἐστὶ μαθεῖν ἃ μὴ νοεῖς (7).

» aliquid simile Dei; et ideo utere » te ipso velut templo Dei, pro- » pter illud quod in te simile est » Dei. » Et huc referendum quod dixit p. 649 : « sapientis mentem » Deus inhabitat. » Barnabas Ep. p. 12 : πνευματικοὶ γενώμεθα ναὸς τέλειος τῷ Θεῷ· ubi Menard. pp. 99, 121, 212.

(1) Codex, ὀμνύεις. Hypsæus Stobæi tit. 120, 13 : Νέος δ' ἀπόλλυθ' ὄντινα φιλεῖ θεός. Wyttenbachium miror qui ad Plut. p. 790 receperit securus Grotianam scripturam, ὄντιν' ἂν φιλεῖ θεός : legendum fuit, ὄντιν' ἂν φιλῇ.

(2) Euphron Stobæi tit. 15, 2 : Ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον, Πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά; Conf. Isocrates supra t. I, p. 121, n. 6.

(3) Sententia inter Monostichas : Οὐκ ἔστιν οὐδὲν κτῆμα κάλλιον φίλου. Et hanc poteris in metrum redigere, scripto λῷον pro βέλτιον.

(4) Socrati tribuit Stobæus tit. 10, 56, ubi ζητεῖν. Præpositiones compositorum sæpius negligunt librarii. Julianus Epist. 87 : τὰ πάλαι αὐτῆς ἐγηγερμένα καλλιεργήματα καταστρέψαι· mihi placet lectio codicis 1310, ἀνεγηγερμένα. Versa vice superfluit præpositio ap. Moschopulum Π. σχ. p. 109 : θεμέλιον.... ἀπὸ τοῦ ὑποτίθημι, τὸ ὑποτιθέμενον τῇ ἄλλῃ οἰκοδομίᾳ. Manifesto legendum est τίθημι, et sic est recte scriptum in cod. 2599.

(5) Cod., χρησιμώτατον. Agnosco sententiæ inter Monostichas vestigia : Οὐδὲν σιωπῆς ἐστι χρησιμώτερον. Hinc illustretur similis sententia in Georgidis Gnomologio supra t. I, p. 78.

(6) Codex, θέλεις τόν. Theodosius Diaconus II, 157 : Μηδεὶς νοσήσει τὴν πικρὰν ἀνανδρίαν· Μηδεὶς φοβηθεὶς οὐ φανεῖ Ῥώμης κλάδος. Reponendum, νοσήσῃ, φανῇ. Id. III, 223 : Πλούταρχον ἐξαίροντα Ῥωμαίων κράτει. Ibi vir d. : « fort. » κράτη » Pro *fort.* scribi debuit *omnino;* nec κράτη in nota linquendum erat.

(7) Codex, νοεῖν. — Sententia

Πῶς ἂν δυναίμην ἀναμαρτήτως διαλέγεσθαι; Εἰ μηδὲν λέγεις ὧν μὴ σαφῶς οἶδας (1).

Πῶς ἄριστα αἱ πόλεις διοικοῖντο; Ἐὰν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις (2).

Τοὺς νόμους τοῖς ἀραχνίοις ὁμοίους εἶναι νόμιζε. Ἐκείνοις γὰρ ἡ μυῖα ἢ κώνωψ συνέχεται· ἐὰν δέ τι τῶν ἰσχυρῶν ἐμπέσῃ, ἀποῤῥήξαν (3) ἀποτρέχει.

Σαυτὸν μήτε ἐπαίνει, μήτε μέμφου· τὸ μὲν γὰρ ἀνοίας, τὸ δὲ ἐπάρσεως.

Ὑφ' ἡδονῆς ὁ φρόνιμος οὐχ ἁλίσκεται (4).

Ὑπὲρ ὧν θέλεις ζῆν, ὑπὲρ τούτων καὶ θνῆσκε.

Ὑπὲρ πατρίδος ποίει πᾶν ἑτοίμως ὃ μὴ ἔστιν αἰσχρόν.

Φιλάργυρος οὐδεὶς ἀγαθὸς, οὔτε βασιλεὺς, οὔτε ἰδιώτης (5).

Φιληδόνου Θεὸς οὐκ εἰσακούει (6).

Φοβοῦ βιαίους καὶ δυνάστας ἐν πόλει.

Φεῦγε ἐν παντὶ τὸ δοκεῖν.

Φοβοῦ πόρναις ὁμιλεῖν, μὴ θάνῃς κακῶς.

Φοβοῦ καὶ μανικὰς ἐπαοιδίας.

Φοβοῦ ψευδορκῆσαι, κἂν μισῇς τινά.

Φοβοῦ ἱεροσκοπῆσαι.

Menandrea inter Monostichas: Σοφία γάρ ἐστι καὶ μαθεῖν ὃ μὴ νοεῖς. Est et ὃ in codice 396; Meinekius habet ἅ.

(1) Addidi εἰ et μή. Possit et legi, μηδὲν λέγων. Supra tom. I, pag. 129: περὶ ὧν οὐκ οἶδας σιώπα.

(2) Est Solonis dictum: conf. Stobæus tit. 43, 89. Ibi οἰκοῖντο, quod malim.

(3) Codex, ἀποῤῥήξας. Zaleuci fuit sententia apud Stobæum tit. 45, 25; tributa et aliis: vide ibi Gaisfordii notam.

(4) Codex, ὑπὸ ἡδ....οὐχ ἁλ.

(5) Antistheni tribuit sententiam Stobæus tit. 10, 42. Ibi ἐλεύθερος. Præstat ἰδιώτης.

(6) Sextus Rufini p. 647: « voluptuosum Deus non exaudit. »

Χαλεπὸν εὐεργεσίας γονέων ἀμεῖψαι.

Ψέγειν ἄνδρα σοφὸν καὶ Θεὸν, ἴσον ἐστὶ τὸ ἁμάρτημα.

> Τροφὴν γὰρ οἶδα τὴν σιωπὴν τῆς νόσου (1).
>
> Διδάσκαλός ἐστιν ὁ χρόνος τῶν πραγμάτων.
>
> Τὸ γὰρ (2) γυναικῶν συμπαθέστατον φῦλον·
> Ἑτοιμοπενθές ἐστι καὶ ξένοις πόνοις.
>
> Ὁ λόγος δὲ (3) πολλάκις τὸν ἔλεον προξενεῖ.

Τὰ δάκρυα καὶ λῃστὴς αἰσχύνεται.

Ἔρως ἀποτυχὼν εἰς μανίαν τρέπεται.

> Θυμὸν χαλίνου, μὴ φρενῶν ἔξω πέσῃς.

Σοφία ἐστὶ γεῦσις θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτοις αἰτιῶν, αὕτη δὲ ἐστιν ἡ τοῦ νόμου παιδεία, δι' ἧς καὶ τὰ θεῖα σεμνῶς καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. Τῆς σοφίας αἱ ἰδέαι καθεστήκασι τέσσαρες, φρόνησις, δικαιοσύνη, ἀνδρία, καὶ σωφροσύνη· κυριωτάτη δὲ πασῶν ἡ φρόνησις. Ἐξ αὐτῶν (4) παθῶν ὁ λογισμὸς ἐπικρατεῖ.

(1) Conf. Gruterus ad Syri versum : « Heu! dolor quam miser est, qui in tormentis vocem non habet! » Euripides Œneo fr. 7 : τῷ δὲ δυστυχοῦντί πως Τερπνὸν τὸ λέξαι κἀποδύρασθαι πάλιν. Niceph. Gregoras Hist. VIII, 515 : ὥσπερ δ' ἔλαιον καὶ κηρὸς καὶ καλάμη καὶ χόρτος πυρὸς ἐπιφύκει τροφὴ, οὕτω καὶ σιωπὴ, περὶ τὴν ψυχὴν ἠθροισμένους εὑρίσκουσα τῆς λύπης τοὺς ἄνθρακας, καθάπερ ὕλην αὐτοῖς καὶ τροφὴν ἑαυτὴν χορηγεῖ... Conf. Not ad Aristæn. p. 460, ad Manassis Fragm. I, 46 ; Burdelot. ad Heliod. pp. 17, 80.

(2) Hanc sententiam, etsi editam, servavi, quum sit ex auctore depromta, quem vix ac ne vix quidem flosculorum id genus decerptores attingebant, Niceta scilicet Eugeniano IX, 191.

(3) Inserui δὲ.

(4) Sic codex. Aliquid periit.

ADDENDA ET CORRIGENDA.

Pag. 1, n. 2. Moschopulus Π. σχ. p. 175, 4: ἡ δὲ θεία φύσις πρὸς ἅπαντα συγκρινομένη κρείττων ἐστὶν ἀσυγκρίτως.

Pag. 3, n. 2. Psalm. CII, 12: καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν.

Pag. 6, n. 2. Conf. p. 29, 10.

Pag. 8, n. 5. In Germani homilia de Mariæ dormitione p. 95, Christus matrem vocat κλίμακα πρὸς οὐρανὸν τοὺς ἀνθρώπους ἀναβιβάζειν ἰσχύουσαν.

Pag. 11, 19. Eadem sententia Nicephorus Callistus Homil. in Mariam Magdal. p. 42: ἔδει τὴν τοιαύτην.....μὴ ἄλλοις αἰτίοις τοῖς (imo τῆς) εἰς φῶς προόδου πατράσι χρήσασθαι ἢ δι' ὧν γέγονε, κἀκείνους μὴ ἄλλης ἢ ταύτης πατέρας ὀφθῆναι.

Pag. 18, n. 5. Et Latinus interpres legebat σκηνήν. Vertit enim: « ibique fixit tentoria. »

Pag. 24, n. 1. In Observationibus Halens. t. x, p. 91, lego hæc Theodoreti verba: ἄπυρον οὖν χρυσίον τὸ καὶ δίχα πυρὸς φαινόμενον δόκιμον, τουτέστιν ἄπεφθον, ὃ νῦν οἱ πολλοὶ εὔρυζον ὀνομάζουσι. Puto reponendum εὔριζον. — N. 4. Illa Gregorii verba adposuit auctor Etymologici Magni, inde inferens Αἴγυπτον apud Theologum significare ἁμαρτίαν. Sed allegorice Gregorius est loquutus, non grammatice, mysticum venatus sensum, non veriverbium. Ejus scholiastes ineditus Basilius (in cod. 573, p. 13, 2), quum egerit grammaticum, est reprehendendus. Gregorianæ orationis XXXVIII, p. 623, locum de Herode ac Christi fuga in Ægyptum interpretaturus, ἑρμηνεύεται, ait, Ἡρώδης πάθος καὶ δερμάτινος φύσις· Αἴγυπτος δὲ πρὸς ἄλλοις ποσὶ καὶ ἁμαρτία καὶ ἄγνοια καὶ κάκωσις. Talia ridere puto qui hebraice sciunt.

Pag. 27, 20. Scripsi ἔθνους e divinatione. Quæ fuit in codice vox, est nunc prorsus evanida.

Pag. 39, n. col. 2, 7. Pro ὁμόχροια scrib. αὐτόχροια. Mox pro ὠμοφόριον, est in codice male ὁμοφόριον. Epiphanius monachus, c. 6, Aphrodisianum describens: μαρτυρεῖ τὸ ἅγιον μαφόριον αὐτῆς. Est recentiorum nomen μαφόριον, de quo multus est in Glossario Cangius, qui et de illo ipso Virginis μαφορίῳ egit. Acta Theclæ in Grabii Spicilegio t. I, p. 119: οὐκ ἴσχυσαν ἐπιδεῖν τὴν τοῦ Θεοῦ δούλην, ἀλλ' ἢ μόνον τοῦ μαφορίου αὐτῆς ἐπελάβοντο. Quod scripsi ὀλιγόλαλος, non alio est accentu notatum in codice, nec in Epiphanio Mingarelli, nec in Cangii nota, qui, ad Zonaram p. 50, Aphrodisiani locum descripsit non multum diligenter. Joannes Mauropus inter meas notas ad Marini Proclum pag. 133: ἄνθρωπος κοντὸς.....

αἰπόλογός ἐστιν.... ἀνὴρ ὀλιγόλογος παχύνους. Sed codex meliore tono *αἰπολόγος, ὀλιγολόγος.* Idem ibidem quid sit *κοντὸς* explicuit : *ἄνθρωπος κοντὸς ἤγουν τὴν ἡλικίαν μικρός·* sed *κοντὸς* inter operarum digitos periisse videtur. Ibidem pag. 131, manus mea non semper nitida, hominibus præsertim exteris, non videtur intellecta fuisse : *εἴ τις ὁμιλῶν τὸν δεξιὸν ὀφθαλμὸν καμμύει, εἰ μὴ διὰ τέχνην, σκολιὸς, ἤτοι δ', ὅταν ἀριστερόν.* Sententia bona; sed codex non *ὅταν*, sed *ὁ τὸν*, quod scripsi vel scribere debui. Sunt et in eo opusculo alia menda, quæ alibi emendandi erit locus.—Monebo obiter in eisdem Cangii commentariis ad Zonaram, pag. 162, reperiri, nec plurimis sine mendis, locum Gregorii Cyprii de Byzantii laudibus, qui apud me legitur nitidior supra t. I, p. 161, 20, ad p. 165, 17.

Pag. 41, n. 5. Germanus in Mariæ dormitionem, p. 94, Mariam vocavit *γέφυραν κλυδωνιζομένων.*

Pag. 42, 1. Forsan, una voce, *ἀπελπίδων.*—8. Forsan *τοῖς περὶ λόγους.*

Pag. 46, 20. De *οὐδὲν ὅ τι* vide t. I, p. 317, n. 1. Justinus in Grabii Spicilegio t. II, p. 181 : *συνουσίας δὲ (ἡ σὰρξ) ὑστερουμένη ἀνόμου, οὐδὲν ὅτι πάσχει κακόν.* Male legit Grabius *ἔτι* pro *ὅ τι*. Anonymus in Procemiis ad Legationes Byzantinas : *πρέσβεις ἢ παρ' ἡμῶν ἢ πρὸς ἡμᾶς ἀποστέλλονται· ἐὰν μὲν οὖν πρὸς ἡμᾶς ἀποστέλλωνται, χρὴ φιλοτίμως τε καὶ δαψιλῶς τούτους ἀποδέχεσθαι,.... τοὺς δὲ ὑπηρετοῦντας αὐτοῖς δι' ἀσφαλείας ἔχειν εἰς τὸ μηδενόστι διδάσκειν ἐπερωτωμένους αὐτούς.* Est recentior, Niebuhrii, puto, emendatio *μηδενόστι*, pro veteri scriptura *μηδενί τι·* quam nollem mutatam, quum *διδάσκειν τί τινι* in tali scriptore ferri possit. Inveni *μηδενί τι* in codice 2991 A.

Pag. 54, n. 4. Sic in homiliis Judæum alloquuti sunt Joannes Chrys. p. 60, 61, Coteler., Severianus pag. 225, Combef.

Pag. 65, 2. Codex, *ὑπερστιρ.* Puto Theodorum, quum confabularetur cum amicis familiari modo, augmentis vix esse usum. Sed scribens, idque oratorie, a regula non recedebat. Choricio in Summum § 24 Fabriciana dedit verbum *ἀπηνέχθη* : sed est rectius in codicibus regiis *ἀπηνέχθη.* Constantinus Porphyr. De admin. c. 21 : *χειρώσαντο τὰς τοῦ Λιβάνου πελωπάς·* melius *ἐχειρώσαντο* in codice 2967.

Pag. 71, n. *. Gabræ cuidam scripsit Nicephorus Chumnus ; atque Joanni Gabræ Gregorius Palamas, teste Fabricio Bibl. Gr. t. XI, p. 499.

Pag. 83, 6. Codex, *τὰ πρός.*—n. 1. Videtur fuisse olim scriptum recte *κατιέναι*, quod ex ductu literarum obliterato conjicio.

Pag. 88, 12. Forsan *παρέχον.*

Pag. 111, 2, Genitivus formæ *ἑλληνικωτέρας* legitur infra pag. 134, 2, 30, *Μαζάριος.*

Pag. 115, n. 1. Lucianus D. M. XIII, 6 : οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστίλλου ἀγαθοῖς ἀνιώμενος. Codex 1310 caret particula ἂν, quam non valde desiderabo. Basilius Mac. Præc. c. 23 : ὁ μὲν γὰρ σπουδαῖος περὶ τοὺς φίλους γεγονὼς, σπουδαῖος ἂν καὶ περὶ σὲ γενέσθαι πιστευθήσεται. Codex 2991 A dat ἄρα pro ἂν non spernendum. Idem c. 46 : μάλιστα δ' ἂν εὐδοκιμήσεις, εἰ τὴν ἑκάστῳ χώραν ἀποδώσεις. Codex, ἂν εὐδοκιμήσῃς : forsan legendum, ἂν εὐδοκιμήσοις.

Pag. 130, n. 3. Narratiunculæ auctor est Maximus Planudes : vide Bibl. Gr. t. XI, p. 688.

Pag. 131, n. 2. Possunt conferri de eodem argumento versus Jo. Mauropi p. 51.

Pag. 133, 8. Forsan νύκτωρ καὶ μεθ' ἡμέραν : qua formula sæpissime auctor est usus.

Pag. 135, 22. Pro κἀπὶ, forsan κἄπι.

Pag. 139, 19. Codex, φίλτατ', ὀλόβωλε. Et sic sæpissime ὀλόβωλος cum tenui.

Pag. 143, 11. Codex, σοι.

Pag. 144, 4. Codex tenet φῶξ : forsan φώρ. — 12. Non est nitide scriptum nomen μαχητάν : de fine dubito. — 15. Forsan, junctis sententiis : οὕτως ἔχειν.

Pag. 150, n. 5. Est σούπασις vox turcica, nomenque prætoris in vico, ut *aga* prætoris in urbe nomen. Id me docuit Νικολόπουλος. In itinere Coppini per Turciam memini me de præfecto militiæ urbanæ legere, quem vocat *soubachi*.

Pag. 151, n. 1. De verbo χαόνειν vide etiam Glossarium Cangii, qui et protulit e codice 1334 versus quos in codice 1310 obvios habui. Nec omittendum numeros 1334 et 1310 ad unum eumdemque codicem pertinere, qui et numero 3118 fuit olim insignitus. In illis igitur versibus, quos de more Cangius inaccurate tractavit, omisit male præfixum lemma, τοῦ Μελιτηνιώτου, male scripsit ζοῆς pro ζωῆς, male τῶν σκελῶν τὰς τε βάσεις pro τ. σκ. τε τὰς β. Dein addit carcinum, Νόσον ἔβαλεν ὁ λιμὸς ὃ ὅμιλον ἔλαβεν ὅσον, codice bene tenente ὅς. Qui versus est Tzetzæ, ut monui p. 335.

Pag. 152, n. 4. Comparandum est omnino librarii Græci nomen qui descripsit codicem Monacensem VII : ἐμμανουήλος μεβεβένης ὁ ἐκ μονεμβασίας καὶ ταύτην τὴν βίβλον ἐξέγραψε. Hardtio vocatus est ***Embebenes***, qui vocandus erat ***Bevenis***.

Pag. 155, n. 5. Potuit tamen nomen illud officii in cognomen vel nomen abire. In Catalogo bibliothecæ Scorialensis, quem Cyrillo in Jeremiam præfixit Barvoetius, reperi p. xxviij Lampadarium, et p. xxix Joannem Lampadarium, ac Manuelem Lampadarium Chrysaphem, quem Chrysaphem forsan respicit Palæologus p. 186.

Pag. 163, 20. Codex πεφενάκηκας. Sed verbo φενακίζω utitur

pp. 129, 23; 182, 5; 183, 21. Inde πφειάκηκας habui pro mero iotacismi mendo.

Pag. 164, 10. Oportuit οὐσῶν, scilicet ἐπαγγελιῶν. Lapsus est calami vel auctoris ipsius, vel librarii, quem correxissem, ni serius animadvertissem.

Pag. 168, 21. Codex, ἐγχειρήσαιμι. Habet p. 169, 2, dittographiam ἐγχειρήσας et ἐγχειρίσας : p. 172, 2, ἐγχειρῆσαι : p. 172, 12, ἐγχείρησον. Sic p. 179, 6, codex exhibet διαχειρῆσαι, quod mutavi.

Pag. 177, 1. Præivisse Libanius videtur t. III, p. 343 : Λήμνια μὲν οὖν ὑμνείτω κακὰ καὶ ἰλιὰς κακῶν.

Pag. 178, 17. Est in ἱεροὶ et ἥρωες consonantia quæsita, quæ perit, si Erasmice legeris.

Pag. 179, 14. Thomas Eleaburcus, scriptor theologus, memoratur in Bibl. Gr. t. XI, p. 719.

Pag. 183, 28. Postulat ἀμνημόνησις verbum ἔσαι, vel, ut homo iste scribit, ἔσπαι, vel simile aliud.

Pag. 187. Est hæc epistola in codice x^mo Monacensi, fol. 435, cum fine ἀνθρωπίνον (sic) ἀντάξιε. Vide Hardtii Catalogum.

Pag. 188. Epistola secunda exstat ibid. fol. 436. Codex Monacensis voce σοφοῦ carere videtur.

Pag. 189. Epistola tertia exstat ibid. f. 390 ; et quarta fol. 366.

Pag. 190. Epistola quinta est in Monacensi libro fol. 406 ; ibid. etiam sexta.

Pag. 191. Epistola septima exstat ibidem fol. 374, inscripta, ut videtur, Joanni Chrysoloræ.

Pag. 193. Exstat ibidem fol. 392 hæc epistola, et integra, cum fine, σοὶ μυρίας ὀφλήσομεν.

Pag. 194. Hæc epistola, quæ integra exstat in Monacensi libro fol. 281, inscripta est, τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ χορταΐτου ἐν Θεσσαλονίκῃ, Μαξίμῳ : initio hocce : Ἀλέξανδρόν φασιν. Conf. Boivinianus Epistolarum Gregoræ catalogus in Μαξίμῳ.

Pag. 197, 24. Pro codicis lectione ἀνηχημένοις, scribe ἀνεχημένοις.

Pag. 211, v. 210. B, πρός.—218. C, ἐλήκηκα.

Pag. 213, n. 1. Πῶς et πως passim permutantur. Plato Epin. p. 977 (t. VI, p. 481 Tauchnitzianæ, quæ una nunc est ad manum) : ὃν δὲ θεὸν ἡγοῦμαι φράζειν χρὴ, καίπερ ἄτοπον ὄντα· καὶ πῶς οὐκ ἄτοπον αὖ; legerim : καί πως οὐκ ἄτοπον αὖ. Quod firmat locus similis initio libri : ἄτοπον μὲν ἀκούσεσθαί σε λόγον οἶμαι, καὶ τινὰ τρόπον οὐκ ἄτοπον αὖ.

Pag. 214, v. 277. BC, ἀνασυρίζω.

Pag. 218, v. 334. Recepit hunc versum Cangius Gloss. in Ἐξασακίναι, cum mala lectione ἐξασακίναι.—n. 7. Repetiti sunt iidem versus in A, p. 213, ubi ἔφιδρος, superscripto ἔφεδρος.—

n. 10. Et altero loco A hemistichium exhibet eodem scriptum modo. Occurrunt nonnunquam politici versus accentu male posito, nec facile corrigendi. Acindynus inter elogia ante Gregoram § VII: Καὶ θεσσαλαλοῦντα φιλικοῖς θεσσρήμασι. Transpositio, Καὶ φιλ. προσρήμασι προσλ., tentanda forsan. Auctor Prosopopœiæ Virtutum a Morellio editæ, de Λύπῃ: Ἐργάζομαι δὲ καὶ λογισμῶν ἐκσταθεῖς· reponas ex editione Gesneriana, ἐκστάσεις. Theodorus Prodr. Rhod. IV, p. 177: Χαίρειν βρυάζῃ τῷ μεγίστῳ Μίστυλος. Restituas facili opere, Μιστύλος. Bis in eodem nomine parique modo peccatum est p. 121. Difficilior res erit in primo versu fabellæ, quam in codice 2991 A, p. 420, reperi inter Ignatianas, quamque conferendam moneo cum fabula 194 collectionis Corayanæ: Θήρᾳ κυνηγὸς εἶλε πέρδικα ποτὲ, Θύειν δ' ἔμελλεν· ἡ (cod. εἰ) δ' « ἄφες ζώειν » λέγει (cod. λέγειν)· « Φωναῖς ἐμαῖς γὰρ περδίκων πλῆθος λάβῃς (cod. λάβοις). » « Πᾶσα » φίλοις πια γε τῆς δίκης θάνῃς. » Forsan Θήρᾳ ποτὲ πέρδ. κυν. εἶλε. Ultimo versu respondet venator nec nitide. Durum est jungere πᾶσα τῆς δίκης, « omnis omnino justitiæ devota » : lego τῇ δίκῃ, et jungo πᾶσα θάνῃς, « tota morieris, idque merito, quæ talis adversus ami- » cos sies. » Malim etiam πιάδε.

Pag. 220, n. 16. A altero loco, μάκτρα.

Pag. 223, 3. Disertum habes hic exemplum encliticæ δέ: conf. pag. 192, n. 2.

Pag. 224, n. 10. A altero loco, στρόβιλος. . . . γῆθι.

Pag. 227, 1. Hic versus recitatus fuit a grammatico in Matthæii Lectt. Mosq. t. II, p. 76.

Pag. 237, 12. Me monet Νικολόπουλος hoc Menandri distichon fuisse a Gaza eo grammaticæ loco adlatum, quo de conjunctionibus ἢ ἤτοι agit. Gazæ libro careo; sed amici doctissimi memoriæ securus confido. In suum librum plurima e veteribus grammaticorum codicibus αὐτολεξεὶ Gaza transtulit.

Pag. 238, 15. Codex, εἴρεται. — 16. Codex, μετοικισάντων.

Pag. 241, 11. D, ἀκριβωμένη.

Pag. 249, 14. C, πελάψαι τὸ παθ. τῇ γυναικί.

Pag. 257, n. 2. B, ψευδεῖ.

Pag. 258, 11. B sine ὡς. In D ὡς lineola subterducta notatum, quod est delendæ vocis signum. — 23. BD, αὐτό.

Pag. 260, n. 5. Illum codicem D inspexi: non habet τῆς, ac p. 259, nn. 3, 4, habet δὲ et ἐπί.

Pag. 262, n. 3. Quæ promisi addenda de vocibus animalium alio, si tanti est, loco proferentur.

Pag. 263, 10. Codex 2929, ἐκεῖνος. Codd. ἐγκλήματι.

Pag. 264 4. Mann. πρῶτον et πρώτου.

Pag. 273, n. 8. Augustinus De doctr. Christ. II, 12 (apud

Menard. ad Barnab. p. 156) : « ὀξὺς apud Græcos et acutum et » velocem significat. »

Pag. 275, 23. B sine οἶον.

Pag. 277, 15. Codices, λελόγχασι.

Pag. 279, 4. A, ἀκούοι.

Pag. 301, 24. Codex, ὅτι : et sic p. 302, 1.

Pag. 308, 9. Addidi καί.

Pag. 309, 9. Codex, ἐλεηνῶς.

Pag. 310, 9. Forsan μεγαλζόμενοι. — 14. Codex, διεξοδικῶς. — 26. Codex, οὐδὲ καταςβέσαι δυνηθ.

Pag. 324, v. 25. Est dittographia Πλέτων.

Pag. 347, 12. Codex, περί.

Pag. 348, 28. Codex, δυσωδέστερον.

Pag. 352, 18. Forsan προπετῶς τε καί. — 24. Codex, παραλοίψαι.

Pag. 373, 12. Conf. p. 317, 14.

Pag. 449, 9. Cod. ῥευμάτων διέξοδον, contra legem accentus. Theodorus Prodr. Tetrast. in Genes. p. 12 : Ὦ πίστις Ἀβραμ, πίστις ἀκραιφνεστάτη! « Ἔξελθε γῆς » ἤκουσε « σῆς· » καί. φεῦ τάχους! Ἐξῆλθεν εὐθύς. Sauvignyus, illa lege ignorata, edidit, facta mutatione eaque pessima : καὶ φύγε ταχύς· ita ut etiam syllaba longior versus protrahatur. Vertendum : « *Egredere de terra tua*, audivit : atque (oh » celeritatem!) egressus est illico. » Sic Ephræmio longiorem versum 3419 contribuit editor : Κωνσταντίνου παῖς παραλαμβάνει τὸ κράτος. Delendus est articulus. Rursus longior est versus 10307 : Ἀνὴρ ἀμεμφὴς παρθένιος διὰ βίου. In nota relicta est, ibi non relinquenda, Allatii bona lectio παρθένος. Ut fieret compensatio, brevior editus est versus 3443 : Σὺν οἷς λιμός τε καὶ βροτῶν φθίσις. Reponendum λιμὸς λοιμός τε (quæ nomina sæpissime junguntur), vel δεινὴ φθίσις. Atque brevior est versus 315 : Ὡς ἐξ αὐτοῦ συλλογίσασθαι δέον : forsan, ὡς ἐξ ἐκείνου συλλ.

Pag. 471, 6. Codex, ἴθι.

Pag. 473, 19. Codex, θαίνη.

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

INDEX ANNOTATIONIS.

FINIS VOLUMINIS TERTII.



Digitized by Google